This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.

+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.

+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.

+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at `http://books.google.com/`



J. L. Galliard. min^e du S. E

AZ 5893.8-9

481227



PLVTARCHI

VITAE PARALLELAE.

NOVA EDITIO ACCVRATA

IN VSVM

PRAELECTIONVM ACADEMICARVM

ET SCHOLARVM.

TOMVS VIII.

AZ 5893/8-9

LIPSIAE

SVMTIBVS I. A. G. WEIGELII.

LVGDVNI BATAVORVM

APVD S. ET J. LVCHTMANS.

1821.

ΤΙΒΕΡΙΟΣ ΚΑΙ ΓΑΙΟΣ ΓΡΑΚΧΟΙ.

Ἡμεῖς δὲ, τὴν πρώτην ἱστορίαν ἀποδεδωκότες, ἔγο- 824
μεν οὐκ ἐλάττονα πάθη τούτων ἐν τῇ Ῥωμαϊκῇ συ-
ζυγίᾳ θεωρῆσαι, τὸν Τιβερίου καὶ Γαΐου βίον ἀν-
τιπαραβάλλοντες. Οὗτοι Τιβερίου Γράκχου παῖδες
ἦσαν᾽ ᾧ τιμητῇ τε Ῥωμαίων γενομένῳ, καὶ δὶς ὑπα-
τεύσαντι, καὶ θριάμβους δυο καταγαγόντι, λαμ-
πρότερον ἦν τὸ ἀπὸ τῆς ἀρετῆς ἀξίωμα. Διὸ καὶ
τὴν Σκηπίωνος, τοῦ καταπολεμήσαντος Ἀννίβαν,
θυγατέρα, Κορνηλίαν, οὐκ ὢν φίλος, ἀλλὰ καὶ
διάφορος τῷ ἀνδρὶ γεγονὼς, λαβεῖν ἠξιώθη μετὰ
τὴν ἐκείνου τελευτήν. Λέγεται δέ ποτε συλλαβεῖν
αὐτὸν ἐπὶ τῆς κλίνης ζεῦγος δρακόντων· τοὺς δὲ
μάντεις, σκεψαμένους τὸ τέρας, ἄμφω μὲν οὐκ ἐᾶν
ἀνελεῖν, οὐδ᾽ ἀφεῖναι· περὶ δὲ θατέρου, διαιρεῖν,
ὡς ὁ μὲν ἄῤῥην τῷ Τιβερίῳ φέροι θάνατον ἀναιρε-
θείς, ἡ δὲ θήλεια τῇ Κορνηλίᾳ. Τὸν οὖν Τιβέ-
ριον, καὶ φιλοῦντα τὴν γυναῖκα, καὶ μᾶλλον αὐτῷ
προσήκειν, ὄντι πρεσβυτέρῳ, τελευτᾶν ἡγούμενον,
ἔτι νέας οὔσης ἐκείνης, τὸν μὲν ἄῤῥενα κτεῖναι τῶν
δρακόντων, ἀφεῖναι δὲ τὴν θήλειαν· εἶτα ὕστερον
οὐ πολλῷ χρόνῳ τελευτῆσαι, δεκαδύο παῖδας ἐκ τῆς
Κορνηλίας αὐτῷ γεγονότας καταλιπόντα. Κορνηλία
δ᾽, ἀναλαβοῦσα τοὺς παῖδας καὶ τὸν οἶκον, οὕτω

σώφρονα καὶ φιλότεκνον καὶ μεγαλόψυχον αὐτὴν παρέσχεν, ὥστε μὴ κακῶς δόξαι βεβουλεῦσθαι τὸν Τιβέριον, ἀντὶ τοιαύτης γυναικὸς ἀποθανεῖν ἑλόμενον· ἢ γε καὶ, Πτολεμαίου τοῦ βασιλέως κοινουμένου τὸ διάθημα, καὶ μνωμένου τὸν γάμον αὐτῆς, ἠρνήσατο, καὶ χηρεύουσα τοὺς μὲν ἄλλους ἀπέβαλε παῖδας, μίαν δὲ τῶν θυγατέρων, ἣ Σκηπίωνι τῷ νεωτέρῳ συνῴκησε, καὶ δύο υἱοὺς, περὶ ὧν τάδε γέγραπται, Τιβέριον καὶ Γάϊον, διαγενομένους αὖτω φιλοτίμως ἐξέθρεψεν, ὥστε παντων εὐφυεστάτους Ῥωμαίων ὁμολογουμένως γεγονότας, πεπαιδεῦσθαι δοκεῖν βέλτιον, ἢ πεφυκέναι, προς ἀρετήν.

II. Ἐπεὶ δ', ὥσπερ ἡ τῶν πλασσομένων καὶ γραφομένων Διοσκούρων ὁμοιότης ἔχει τινὰ τοῦ πυκτικοῦ πρὸς τὸν δρομικὸν ἐπὶ τῆς μορφῆς διαφορὰν, οὕτω τῶν νεανίσκων ἐκείνων ἐν πολλῇ τῇ πρὸς ἀνδρείαν καὶ σωφροσύνην, ἔτι δ' ἐλευθεριότητα καὶ λογιότητα καὶ μεγαλοψυχίαν ἐμφερείᾳ, μεγάλαι περὶ τὰ ἔργα καὶ τὰς πολιτείας οἷον ἐξηνθησαν καὶ διεφάνησαν ἀνομοιότητες· οὐ χεῖρον εἶναί μοι δοκεῖ ταύτας προεκθέσθαι. Πρῶτον μὲν οὖν ἰδέᾳ προσώπου καὶ βλέμματι καὶ κινήματι πρᾷος καὶ κατασυγματικὸς ἦν ὁ Τιβέριος, ἔντονος δὲ καὶ σφοδρὸς ὁ Γάϊος, ὥστε καὶ δημηγορεῖν τὸν μὲν ἐν μιᾷ χώρᾳ βεβηκότα κοσμίως, τὸν δὲ Ῥωμαίων πρῶτον ἐπὶ τοῦ βήματος περιπάτῳ τε χρήσασθαι, καὶ περι-
825 σπάσαι τὴν τήβεννον ἐξ ὤμου λέγοντα, καθαπερεὶ Κλέωνα τὸν Ἀθηναῖον ἱστόρηται λῦσαί τε τὴν περιβολὴν, καὶ τὸν μηρὸν πατάξαι πρῶτον τῶν δημηγορούντων. Ἔπειτα ὁ λόγος τοῦ μὲν Γαΐου φοβερὸς καὶ περιπαθὴς εἰς δεινωσιν, ἡδίων δ' ὁ τοῦ Τιβερίου, καὶ μᾶλλον ἐπαγωγὸς οἴκτου· τῇ δὲ λέξει καθαρὸς καὶ διαπεπονημένος ἀκριβῶς ἐκεῖνος, ὁ δὲ Γαΐου πιθανὸς καὶ γεγανωμένος. Οὕτω δὲ καὶ περὶ τὴν δίαιταν καὶ τράπεζαν εὐτελὴς καὶ ἀφελὴς ὁ Τιβέριος, ὁ δὲ Γάϊος, τοῖς μὲν ἄλλους παραβαλεῖν, σώφρων καὶ αὐστηρὸς, τῇ δὲ πρὸς τὸν ἀδελ-

φὸν διαφορᾷ νεοπρεπὴς καὶ περίεργος· ὡς οἱ περὶ Δροῦσον ἤλεγχον, ὅτι δελφῖνας ἀργυροῦς ἐπρίατο τιμῆς εἰς ἑκάστην λίτραν δραχμῶν χιλίων καὶ διακοσίων πεντήκοντα. Τῷ δ' ἤθει, κατὰ τὴν τοῦ λόγου διαφορὰν, ὁ μὲν ἐπιεικὴς καὶ πρᾷος, ὁ δὲ τραχὺς καὶ θυμοειδής· ὥστε καὶ παρὰ γνώμην ἐν τῷ λέγειν ἐπφερόμενον πολλάκις ὑπ' ὀργῆς, τήν τε φωνὴν ἀποξύνειν, καὶ βλασφημεῖν, καὶ συνταράττειν τὸν λόγον. Ὅθεν καὶ βοήθημα τῆς ἐπιροπῆς ταύτης ἐποιήσατο τὸν Λικίνιον, οἰκέτην οὐκ ἀνόητον, ὃς ἔχων φωνασκικὸν ὄργανον, ᾧ τοὺς φθόγγους ἀναβιβάζουσιν, ὄπισθεν ἑστὼς τοῦ Γαΐου λέγοντος, ὑπηνίκα τραχυνόμενον αἴσθοιτο τῇ φωνῇ καὶ παραῤῥηγνύμενον δι' ὀργὴν, ἐνεδίδου τόνον μαλακὸν, ᾧ τὸ σφοδρὸν ἐκεῖνος εὐθὺς ἅμα τοῦ πάθους καὶ τῆς φωνῆς ἀνιεὶς ἐπραΰνετο, καὶ παρεῖχεν ἑαυτὸν εὐανάκλητον.

III. Αἱ μὲν οὖν διαφοραὶ τοιαῦταί τινες ἦσαν αὐτῶν· ἀνδραγαθία δὲ πρὸς τοὺς πολεμίους, καὶ πρὸς τοὺς ὑπηκόους δικαιοσύνη, καὶ πρὸς τὰς ἀρχὰς ἐπιμέλεια, καὶ πρὸς τὰς ἡδονὰς ἐγκράτεια ἀπεραίλλακτος. Ἦν δὲ πρεσβύτερος ἐνιαυτοῖς ἐννέα ὁ Τιβέριος· καὶ τοῦτο τὴν ἑκατέρου πολιτείαν ἀπηρτημένην τοῖς χρόνοις ἐποίησε, καὶ τὰς πράξεις οὐχ ἥκιστα διελυμήνατο, μὴ συνακμασάντων, μηδὲ συμβαλόντων εἰς τὸ αὐτὸ τὴν δύναμιν, μεγάλην ἂν ἐξ ἀμφοῖν ὁμοῦ καὶ ἀνυπέρβλητον γενομένην. Λεκτέον οὖν ἰδίᾳ περὶ ἑκατέρου, καὶ περὶ τοῦ πρεσβυτέρου πρότερον.

IV. Ἐκεῖνος τοίνυν εὐθὺς ἐκ παίδων γενόμενος, οὕτως ἦν περιβόητος, ὥστε τῆς τῶν Αὐγούρων λεγομένης ἱερωσύνης ἀξιωθῆναι δι' ἀρετὴν μᾶλλον, ἢ διὰ τὴν εὐγένειαν. Ἐβήλωσε δ' Ἄππιος Κλαύδιος, ἀνὴρ ὑπατικὸς καὶ τιμητικὸς καὶ προγεγραμμένος κατ' ἄξίωμα τῆς Ῥωμαίων βουλῆς, καὶ πολὺ φρονήματι τοὺς καθ' αὑτὸν ὑπεραίρων. Ἑστιῶντα γὰρ ἐν ταὐτῷ τῶν ἱερέων, προσαγορεύσας τὸν Τιβέριον, καὶ φιλοφρονηθεὶς, αὐτὸς ἐμνᾶτο τῇ θυγα-

περὶ νυμφίον. Δεξαμένου δ' ἀσμένως ἐκείνου, καὶ τῆς καταινέσεως οὕτω γενομένης, εἰσιὼν ὁ Ἄππιος οἴκαδε πρὸς αὐτὸν, ἀπὸ τῆς θύρας εὐθὺς ἐκάλει τὴν γυναῖκα, μεγάλῃ τῇ φωνῇ βοῶν, „Ὦ Ἀντιστία, τὴν Κλαυδίαν ἡμῶν ἀνδρὶ καθωμολόγηκα.“ Κἀκείνη θαυμάσασα, „Τίς, εἶπεν, ἡ σπουδή; ἢ τί τὸ πάχος, εἰ μὴ Τιβέριον αὐτῇ Γράκχον εὑρίσκεις νυμφίον;“ Οὐκ ἀγνοῶ δ', ὅτι τοῦτό τινες ἐπὶ τὸν πατέρα τῶν Γράκχων, Τιβέριον, καὶ Σκηπίωνα τὸν Ἀφρικανὸν ἀναφέρουσιν· ἀλλ' οἱ πλείους, ὡς ἡμεῖς γράφομεν, ἱστοροῦσι, καὶ Πολύβιος, μετὰ τὴν Σκηπίωνος τοῦ Ἀφρικανοῦ τελευτὴν, τοὺς οἰκείους φησὶν ἐκ πάντων προκρίναντας τὸν Τιβέριον δοῦναι τὴν Κορνηλίαν, ὡς ὑπὸ τοῦ πατρὸς ἀνέκδοτον καὶ ἀνέγγυον ἀπολειφθεῖσαν. Ὁ δ' οὖν νεώτερος Τιβέριος, στρατευόμενος ἐν Λιβύῃ μετὰ τοῦ δευτέρου Σκηπίωνος, ἔχοντος αὐτοῦ τὴν ἀδελφὴν, ὁμοῦ συνδιαιτώμενος ὑπὸ σκηνὴν τῷ στρατηγῷ, ταχὺ μὲν αὐτοῦ τὴν φύσιν κατέμαθε, πολλὰ καὶ μεγάλα πρὸς ζῆλον ἀρετῆς καὶ μίμησιν ἐπὶ τῶν πράξεων ἐκφέρουσαν· ταχὺ δὲ τῶν νέων πάντων ἐπρώτευεν εὐταξίᾳ καὶ ἀνδρείᾳ· καὶ τοῦ γε τείχους ἐπέβη τῶν
826 πολεμίων πρῶτος, ὡς φησι Φάνιος, λέγων καὶ αὐτὸς τῷ Τιβερίῳ συνεπιβῆναι καὶ συμμετασχεῖν ἐκείνης τῆς ἀριστείας. Πολλὴν δὲ καὶ παρὼν εὔνοιαν εἶχεν ἐν τῷ στρατοπέδῳ, καὶ πόθον ἀπαλλαττόμενος αὐτοῦ κατέλιπεν.

V. Μετὰ δὲ τὴν στρατείαν ἐκείνην αἱρεθεὶς ταμίας, ἔλαχε τῶν ὑπάτων Γαΐῳ Μαγκίνῳ συστρατεύειν ἐπὶ Νομαντίνους, ἀνθρώπῳ μὲν οὐ πονηρῷ, βαρυποτμωτάτῳ δὲ Ῥωμαίων στρατηγῷ. Διὸ καὶ μᾶλλον ἐν τύχαις παραλόγοις καὶ πράγμασιν ἐναντίοις τοῦ Τιβερίου διέλαμψεν οὐ μόνον τὸ συνετὸν καὶ ἀνδρεῖον, ἀλλ', ὃ θαυμάσιον ἦν, αἰδὼς τε πολλὴ καὶ τιμὴ τοῦ ἄρχοντος, ὑπὸ τῶν κακῶν οὐδ' ἑαυτὸν, εἰ στρατηγός ἐστιν, ἐπιγνώσκοντος. Ἡττηθεὶς γὰρ μάχαις μεγάλαις, ἐπεχείρησε μὲν ἀναζευγνύναι νυκτὸς, ἐκλιπὼν τὸ στρατόπεδον· αἰσθο-

μένων δὲ τῶν Νομαντίνων, καὶ τὸ μὲν στρατόπεδον εὐθὺς λαβόντων, τοῖς δ' ἀνθρώποις ἐπιπεσόντων φεύγουσι, καὶ τοὺς ἐσχάτους φονευόντων, τὸ δὲ πᾶν ἐγκυκλουμένων στράτευμα, καὶ συνωθούντων εἰς τόπους χαλεπούς καὶ διάφευξιν οὐκ ἔχοντας, ἀπογνοὺς τὴν ἐκ τοῦ βιάζεσθαι σωτηρίαν ὁ Μαγκῖνος, ἐπεκηρυκεύετο περὶ σπονδῶν καὶ διαλύσεως πρὸς αὐτούς· οἱ δὲ πιστεύειν ἔφασαν οὐδενὶ, πλὴν μόνῳ Τιβερίῳ, καὶ τοῦτον ἐκέλευον ἀποστέλλειν πρὸς αὐτούς. Ἐπεπόνθεσαν δὲ τοῦτο καὶ δι' αὐτὸν τὸν ναυήσκον· ἦν γὰρ αὐτοῦ πλεῖστος λόγος ἐπὶ στρατιᾶς· καὶ μεμνημένοι τοῦ πατρὸς Τιβερίου, ὃς πολεμήσας Ἴβηρσι, καὶ πολλοὺς καταστρεψάμενος, εἰρήνην ἔθετο πρὸς τοὺς Νομαντίνους, καὶ ταύτην ἐμπεδοῦντα τὸν δῆμον ὀρθῶς καὶ δικαίως ἀεὶ παρέσχεν. Οὕτω δὴ πεμφθεὶς ὁ Τιβέριος, καὶ συγγενόμενος τοῖς ἀνδράσι, καὶ τὰ μὲν πείσας, τὰ δὲ δεξάμενος ἐσπείσατο, καὶ δισμυρίους ἔσωσε περιφανῶς Ῥωμαίων πολίτας ἄνευ θεραπείας καὶ τῶν ἔξω τάξεως ἑπομένων.

VI. Τὰ δ' ἐν τῷ χάρακι ληφθέντα χρήματα πάντα κατέσχον οἱ Νομαντῖνοι καὶ διεπορθησαν. Ἦν δὲ τούτοις καὶ πινακίδες ἦσαν τοῦ Τιβερίου, γράμματα καὶ λόγους ἔχουσαι τῆς ταμιευτικῆς ἀρχῆς, ἃς περὶ πολλοῦ ποιούμενος ἀπολαβεῖν, ἤδη τοῦ στρατοῦ πραπεχωρηκότος, ἀνέστρεψε πρὸς τὴν πόλιν, ἔχων μεθ' ἑαυτοῦ τρεῖς ἢ τέτταρας ἑταίρους. Ἐκκαλέσας δὲ τῶν Νομαντίνων τοὺς ἄρχοντας, ἠξίου νομισασθαι τὰς δέλτους, ὡς μὴ παράσχοι τοῖς ἐχθροῖς διαβολὴν, οὐκ ἔχων ἀπολογίσασθαι περὶ τῶν ᾠκονομημένων. Ἡσθέντες οὖν οἱ Νομαντῖνοι τῇ συντυχίᾳ τῆς χρείας, παρεκάλουν αὐτὸν εἰσελθεῖν εἰς τὴν πόλιν· ὡς δ' εἰσῆκει βουλευόμενος, ἐγγὺς προσελθόντες ἐνεφύοντο ταῖς χερσὶ, καὶ λιπαρεῖς ἦσαν, δεόμενοι, μηκέτι νομίζειν αὐτοὺς πολεμίους, ἀλλ' ὡς φίλοις χρῆσθαι καὶ πιστεύειν. Ἔδοξεν οὖν τῷ Τιβερίῳ ταῦτα ποιεῖν, τῶν τε δέλτων περιεχομένῳ, καὶ δεδοικότι παροξύ-

νειν, ὡς ἀπιστουμένους, τοὺς Νομαντίνους. Εἰσελθόντι δ' εἰς τὴν πόλιν πρῶτον μὲν ἄριστον παρέθεσαν, καὶ πᾶσαν ἐποιήσαντο δέησιν ἐμφαγεῖν τὰ κοινῇ μετ' αὐτῶν καθήμενον· ἔπειτα τὰς δέλτους ἀπέδοσαν, καὶ τῶν ἄλλων, ἃ βούλοιτο, χρημάτων λαβεῖν ἐκέλευον. Ὁ δ' οὐδέν, ἢ τὸν λιβανωτὸν, ᾧ πρὸς τὰς δημοσίας ἐχρῆτο θυσίας, λαβὼν, ἀπῆλθεν ἀσπασάμενος καὶ φιλοφρονηθεὶς τοὺς ἄνδρας.

VII. Ἐπεὶ δ' εἰς Ῥώμην ἐπανῆλθεν, ἡ μὲν ὅλη πρᾶξις, ὡς δεινὴ καὶ καταισχύνουσα τὴν Ῥώμην, αἰτίαν εἶχε καὶ κατηγορίαν· οἱ δὲ τῶν στρατιωτῶν οἰκεῖοι καὶ φίλοι, μέγα μέρος ὄντες τοῦ δήμου, συνέτρεχον πρὸς τὸν Τιβέριον, τὰ μὲν αἴσχρα τῶν γεγονότων ἀναφέροντες εἰς τὸν ἄρχοντα, δι' αὐτὸν δὲ σώζεσθαι τοσούτους πολίτας φάσκοντες. Οἱ
827 μέντοι δυσχεραίνοντες τὰ πεπραγμένα μιμεῖσθαι τοὺς προγόνους ἐκέλευον. Καὶ γὰρ ἐκεῖνοι τοὺς ἀγαπήσαντας ὑπὸ Σαυνιτῶν ἀφεθῆναι στρατηγοὺς, αὐτούς τε τοῖς πολεμίοις γυμνοὺς προσέρριψαν, καὶ τοὺς ἐφαψαμένους καὶ μεταχόντας τῶν σπονδῶν, οἷον ταμίας καὶ χιλιάρχους, ὁμοίως προὔβαλλον, εἰς ἐκείνους τὴν ἐπιορκίαν καὶ τὴν διάλυσιν τῶν ὡμολογημένων τρέποντες. Ἔνθα δὴ καὶ μάλιστα τὴν πρὸς τὸν Τιβέριον εὔνοιαν καὶ σπουδὴν ἐξέφηνεν ὁ δῆμος. Τὸν μὲν γὰρ ὕπατον ἐψηφίσαντο γυμνὸν καὶ δεδεμένον παραδοῦναι τοῖς Νομαντίνοις, τῶν δ' ἄλλων ἐφείσαντο πάντων διὰ Τιβέριον. Δοκεῖ δὲ καὶ Σκιπίων βοηθῆσαι, μέγιστος ὢν τότε, καὶ πλεῖστον δυνάμενος Ῥωμαίων· ἀλλ' οὐδὲν ἦττον ἐν αἰτίαις ἦν, ὅτι τὸν Μαγκῖνον οὐ περιέσωσεν, οὐδὲ τὰς σπονδὰς ἐμπεδωθῆναι τοῖς Νομαντίνοις ἐσπούδασε, δι' ἀνδρὸς οἰκείου καὶ φίλου, τοῦ Τιβερίου, γενομένας. Τὸ δὲ πλεῖστον ἔοικεν ἐκ φιλοτιμίας, καὶ τῶν ἐπαιρόντων τὸν Τιβέριον φίλων καὶ σοφιστῶν, ἐκγενέσθαι τὰ τῆς διαφορᾶς. Ἀλλ' αὕτη γε πρὸς οὐδὲν ἀνήκεστον, οὐδὲ φαῦλον ἐξέπεσε. Δοκεῖ δ' ἄν μοι μηδαμῶς

περιπεσοῦν ὁ Τιβέριος, οἷς ἔπαθεν, εἰ παρῆν αὐτοῦ τοῖς πολιτεύμασι Σκιπίων ὁ Ἀφρικανὸς νῦν δ' ἐκείνου περὶ Νομαντίαν ὄντος ἤδη καὶ πολεμοῦντος, ἥψατο τῆς περὶ τοὺς νόμους πολιτείας ἐκ τοιαύτης αἰτίας.

VIII. Ῥωμαίοις τῆς τῶν ἀστυγειτόνων χώρας ὅσην ἀπετέμοντο πολέμῳ, τὴν μὲν ἐπίπρασκον, τὴν δὲ ποιούμενοι δημοσίαν, ἐδίδοσαν νέμεσθαι τοῖς ἀκτήμοσι καὶ ἀπόροις τῶν πολιτῶν, ἀποφορὰν οὐ πολλὴν εἰς τὸ δημόσιον τελοῦσιν. Ἀρξαμένων δὲ τῶν πλουσίων ὑπερβάλλειν τὰς ἀποφοράς, καὶ τοὺς πένητας ἐξελαυνόντων, ἐγράφη νόμος, σὺν ἐῶν πλέθρα γῆς ἔχειν πλείονα πεντακοσίων. Καὶ βραχὺν μὲν χρόνον ἐπίσχε τὴν πλεονεξίαν τὸ γράμμα τοῦτο, καὶ τοῖς πένησιν ἐβοήθησε, κατὰ χώραν μένουσιν ἐπὶ τῶν μεμισθωμένων, καὶ νεμομένοις ἣν ἕκαστος ἐξ ἀρχῆς εἶχε μοῖραν. Ὕστερον δὲ, τῶν γειτνιώντων πλουσίων ὑποβλήτους προσώπους μεταφερόντων τὰς μισθώσεις εἰς ἑαυτούς, τέλος δὲ φανερῶς ἤδη δι' ἑαυτῶν τὰ πλείστα κατεχόντων, ἐξασθένησαν οἱ πένητες, οὔτε ναῦς στρατείας ἔτι προθύμους παρεῖχον ἑαυτοὺς, ἠμέλουν τε παίδων ἀναστροφῆς, ὥστε ταχὺ τὴν Ἰταλίαν ἅπασαν ὀλιγανδρίας ἐλευθέραν αἰσθέσθαι, δουλωνηρίων δὲ βαρβαρικῶν ἐμπεπλῆσθαι, δι' ὧν ἐγεώργουν οἱ πλουσιοι τὰ χωρία, τοὺς πολίας ἐξελάσαντες. Ἐπεχείρησε μὲν οὖν τῇ διορθώσει Γάϊος Λαίλιος, ὁ Σκιπίωνος ἑταῖρος· ἀντεπρουσάντων δὲ τῶν δυνατῶν, φοβηθεὶς τὸν θόρυβον καὶ παυσάμενος, ἐπεκλήθη σοφὸς, ἢ φρόνιμος· ἑκάτερον γὰρ ἐδόκει σημαίνειν ὁ σάπιενς. Ὁ Τιβέριος δὲ, δήμαρχος ἀποδειχθεὶς, εὐθὺς ἐπ' αὐτὴν ὥρμησε τὴν πρᾶξιν, ὡς μὲν οἱ πλεῖστοι λέγουσι, Διοφάνους τοῦ ῥήτορος καὶ Βλοσσίου τοῦ φιλοσόφου παρορμησάντων αὐτόν· ἦν ὁ μὲν Διοφάνης φυγὰς ἦν Μιτυληναῖος, ὁ δ' αὐτόθεν ἐξ Ἰταλίας Κυμαῖος, Ἀντιπάτρου τοῦ Ταρσέως γεγονὼς ἐν ἄστει συνήθης, καὶ τετιμημένος ὑπ' αὐτοῦ προσφωνήσεσι γραμμάτων φιλοσό-

φων. Ἔνιοι δὲ καὶ Κορνηλίαν συνεπαιτιῶνται, τὴν μητέρα, πολλάκις τοὺς υἱοὺς ὀνειδίζουσαν, ὅτι Ῥωμαῖοι Σκηπίωνος αὐτὴν ἔτι πενθερὰν, οὔπω δὲ μητέρα Γράκχων προσαγορεύουσιν. Ἄλλοι δὲ Σπόριόν τινα Ποστούμιον λέγουσιν αἴτιον γενέσθαι, ἡλικιώτην τοῦ Τιβερίου, καὶ πρὸς δόξαν ἐφάμιλλον αὐτῷ περὶ τὰς συνηγορίας· ὃν, εἰς ἐπανῆλθεν ἀπὸ τῆς στρατείας, εὑρὼν πολὺ τῇ δόξῃ καὶ τῇ δυνάμει παρηλλαγότα καὶ θαυμαζόμενον, ἠθέλησεν, ὡς ἔοικεν, ὑπερβαλέσθαι, πολιτεύματος παραβόλου
828 καὶ μεγάλην προσδοκίαν ἔχοντες ἀψάμενος. Ὁ δ' ἀδελφὸς αὐτοῦ, Γάϊος, ἔν τινι βιβλίῳ γέγραφεν, εἰς Νομαντίαν πορευόμενον διὰ τῆς Τυρρηνίας τὸν Τιβέριον, καὶ τὴν ἐρημίαν τῆς χώρας ὁρῶντα, καὶ τοὺς γεωργοῦντας, ἢ νέμοντας, οἰκέτας ἐπείσακτους καὶ βαρβάρους, τότε πρῶτον ἐπὶ νοῦν βαλέσθαι τὴν μυρίων κακῶν ἄρξασαν αὐτοῖς πολιτείαν. Τὴν δὲ πλείστην αὐτὸς ὁ δῆμος ὁρμὴν καὶ φιλοτιμίαν ἐξῆψε, προκαλούμενος διὰ γραμμάτων αὐτὸν ἐν στοαῖς καὶ τοίχοις καὶ μνήμασι καταγραφομένων, ἀναλαβεῖν τοῖς πένησι τὴν δημοσίαν χώραν.

IX. Οὐ μὴν ἐφ' αὐτοῦ γε συνέθηκε τὸν νόμον, τοῖς δὲ πρωτεύουσιν ἀρετῇ καὶ δόξῃ τῶν πολιτῶν συμβούλοις χρησάμενος· ὧν καὶ Κράσσος ἦν, ὁ ἀρχιερεὺς, καὶ Μούκιος Σκαιουόλας, ὁ νομοδείκτης, ὑπατεύων τότε, καὶ Κλαύδιος Ἄππιος, ὁ κηδεστὴς τοῦ Τιβερίου. Καὶ δοκεῖ νόμος εἰς ἀδικίαν καὶ πλεονεξίαν τοσαύτην μηδέποτε πρώτερος γραφῆναι καὶ μαλακώτερος. Οὓς γὰρ ἔδει δίκην τῆς ἀπειθείας δοῦναι, καὶ μετὰ ζημίας ἦν παρὰ τοὺς νόμους ἁρποῦντο χώραν ἀφεῖναι, τούτους ἐπέλευσε τιμὴν προσλαμβάνοντας ἐκβαίνειν ὧν ἀδίκως ἐκέκτηντο, καὶ παραδέχεσθαι τοὺς βοηθείας δεομένους τῶν πολιτῶν. Ἀλλὰ, καίπερ οὕτω τῆς ἐπανορθώσεως οὔσης εὐγνώμονος, ὁ μὲν δῆμος ἠγάπα, παρεὶς τὰ γεγενημένα, παύσασθαι τὸ λοιπὸν ἀδικούμενος· οἱ δὲ πλούσιοι καὶ πεπαιδευμένοι πλεονεξίᾳ μὲν

τὸν νόμον· ὀργῇ δὲ καὶ φιλονεικίᾳ τὸν συμβάντην δὲ ἔχθους ἔχοντες, ἐπεχείρουν ἀποτρέπειν τὸν δῆμον, εἰς μῆς ἀνεδασμὸν ἐπὶ συγχύσει τῆς πολιτείας εἰσάγοντος τοῦ Τιβερίου, καὶ πάντα πράγματα κινοῦντος. Ἀλλ' οὐδὲν ἐπέραινον· ὁ γὰρ Τιβέριος, πρὸς καλὴν ὑπόθεσιν καὶ δικαίαν ἀγωνιζόμενος λόγῳ καὶ φανλότερα κοσμῆσαι δυναμένῳ πράγματα, δεινὸς ἦν καὶ ἅμαχος, ὁπότε, τοῦ δήμου τῷ βήματι περικεχυμένου, κατασταὶς λίγοι περὶ τῶν πενήτων, οἷς τὰ μὲν θηρία, τὰ τὴν Ἰταλίαν νεμόμενα, καὶ φωλεὸν ἔχει, καὶ κοιταῖόν ἐστιν αὐτῶν ἐκάστῳ· καὶ κατάδυσις, τοῖς δ' ὑπὲρ τῆς Ἰταλίας μαχομένοις καὶ ἀποθνήσκουσιν ἀέρος καὶ φωτὸς, ἄλλου δ' οὐδενὸς, μέτεστιν, ἀλλ' ἄοικοι καὶ ἀνίδρυτοι μετὰ τέκνων πλανῶνται καὶ γυναικῶν· οἱ δ' αὐτοκράτορες ψεύδονται, τοὺς στρατιώτας ἐν ναῖς μάχαις παρακαλοῦντες ὑπὲρ τάφων καὶ ἱερῶν ἀμύνεσθαι τοὺς πολεμίους· οὐδενὶ γὰρ ἔστιν οὐ βωμὸς πατρῷος, οὐκ ἠρίον προγονικὸν τῶν τοσούτων Ῥωμαίων, ἀλλ' ὑπὲρ ἀλλοτρίας τρυφῆς καὶ πλούτου πολεμοῦσι καὶ ἀποθνήσκουσι, κύριοι τῆς οἰκουμένης εἶναι λεγόμενοι, μίαν δὲ βῶλον ἰδίαν οὐκ ἔχοντες.

X. Τούτους ἀπὸ φρονήματος μεγάλου καὶ πάθους ἀληθινοῦ τοὺς λόγους κατιόντας εἰς τὸν δῆμον ἐνθουσιῶντα καὶ συνεξαναστάμενον οὐδεὶς ὑφίστατο τῶν ἐναντίων. Ἑώρωντες οὖν τὸ ἀντιλέγειν ἐπὶ Μάρκον Ὀκταούϊον τρέποντας, τῶν δημάρχων ἕνα, νεανίαν ἐμβριθῆ τὸ ἦθος καὶ κόσμιον, ἑταῖρον δὲ τοῦ Τιβερίου καὶ συνήθη. Διὸ τὸ μὲν πρῶτον αἰδούμενος ἐκεῖνον ἀνεδύετο· πολλῶν δὲ καὶ δυνατῶν δεομένων καὶ λιπαρούντων, ὥσπερ ἐκβιασθείς, ἀντικαθίστατο τῷ Τιβερίῳ, καὶ διεκρούετο τὸν νόμον. Ἔστι δὲ τοῦ κωλύοντος ἐν τοῖς δημάρχοις τὸ κράτος· οὐδὲν γὰρ οἱ πολλοὶ κελεύοντες περαίνουσιν, ἑνὸς ἐνισταμένου. Πρὸς τοῦτο παροξυνθεὶς ὁ Τιβέριος, τὸν μὲν φιλάνθρωπον ἐπανείλετο νόμον· τὸν δ' ἡδίω τε τοῖς πολλοῖς καὶ σφοδρότερον ἐπὶ τοὺς ἀδικοῦντας εἰσέφερεν, ἤδη κελεύων

ἐξίστασθαι τῆς χώρας, ἣν ἐκέκτηντο παρὰ τοὺς
πρότερους νόμους. Ἦσαν οὖν ὁμοῦ τι καθ' ἑκά-
στην ἡμέραν ἀγῶνες αὐτῷ πρὸς τὸν Ὀκταούϊον
829 ἐπὶ τοῦ βήματος· ἐν οἷς καίπερ ἐξ ἄκρας σπου-
δῆς καὶ φιλονικίας ἀντειπόντες, οὐδὲν εἰπεῖν λέ-
γοντας περὶ ἀλλήλων φαῦλον, οὐδὲ ῥῆμα πραπε-
σεῖν θατέρου πρὸς τὸν ἕτερον δι' ὀργὴν ἀναπυθό-
μενον. Οὐ γὰρ μόνον ἐν βακχεύμασιν, ὡς ἔοικεν,
ἀλλὰ καὶ ἐν φιλοτιμίαις καὶ ὀργαῖς, τὸ πεφυκέ-
ναι καλῶς καὶ πεπαιδεῦσθαι σωφρόνως ἐφίστησι
καὶ καταπαμεῖ τὴν διάνοιαν. Ἐπεὶ δ' ἔφαρε τὸν
Ὀκταούϊον ἐνεχόμενον τῷ νόμῳ καὶ κινδυνεύοντα τῆς
δημοσίας χώραν συχνὴν ὁ Τιβέριος, ἐδεῖτο παρεῖ-
ναι τὴν φιλονεικίαν, ὑφιστάμενος αὐτῷ τὴν τιμὴν
ἀποδώσειν ἐκ τῶν ἰδίων, καίπερ οὐ λαμπρῶν ὄν-
των. Οὐκ ἀνασχομένου δὲ τοῦ Ὀκταουΐου, διε-
γράμματι τὰς ἄλλας ἀρχὰς ἁπάσας ἐκώλυσε χρη-
ματίζειν, ἄχρις ἂν ἡ περὶ τοῦ νόμου διενεχθῇ ψῆ-
φος· τῷ δὲ τοῦ Κρόνου ναῷ σφραγῖδας ἰδίας ἐπέ-
βαλεν, ὅπως οἱ ταμίαι μηδὲν ἐξ αὐτοῦ λαμβάνοιεν,
μηδ' εἰσφέροιεν· καὶ τοῖς ἀπειθήσασι τῶν στρατη-
γῶν ζημίαν ἐπεκήρυξεν, ὥστε πάντας ὑποδείσαντας
ἀφεῖναι τὴν ἑκάστῳ προσήκουσαν οἰκονομίαν.
Ἐντεῦθεν οἱ κτηματικοὶ τὰς μὲν ἐσθῆτας μετέβαλον,
καὶ περιήεσαν οἰκτροὶ καὶ ταπεινοὶ κατὰ τὴν ἀγο-
ράν· ἐπεβούλευον δὲ τῷ Τιβερίῳ κρύφα, καὶ συνέ-
βασαν ἐπ' αὐτὸν τοὺς ἀναιρήσοντας· ὥστε κἀκεῖ-
νον, οὐδενὸς ἀγνοοῦντος, ὑποζώννυσθαι ξιφίδιον
λῃστρικὸν, ὃ δόλωνα καλοῦσιν.

XI. Ἐνστάσης δὲ τῆς ἡμέρας, καὶ τὸν δῆμον
αὐτοῦ καλοῦντος ἐπὶ τὴν ψῆφον, ἠρπάσθησαν ὑπὸ
τῶν πλουσίων αἱ ὑδρίαι, καὶ τὰ γινόμενα πολλὴν
εἶχε σύγχυσιν. Οὐ μὴν ἀλλὰ τῶν περὶ τὸν Τιβέ-
ριον πληθεῖ βιάσασθαι δυναμένων, καὶ συστρεφο-
μένων ἐπὶ τοῦτο, Μάλλιος καὶ Φούλβιος, ἄνδρες
ὑπατικοὶ, προσπεσόντες τῷ Τιβερίῳ, καὶ χειρῶν
ἁπτόμενοι καὶ δακρύοντες ἐδέοντο παύσασθαι. Τοῦ
δὲ καὶ τὸ μέλλον ὅσον οὔπω δεινὸν ἤδη συμφορο-

νοῦντος, καὶ δι' αἰδῶ τῶν ἀνδρῶν πυθομένου, τί κελεύουσι πράττειν αὐτὸν, οὐκ ἔφασαν ἀξιόχρεω εἶναι πρὸς τηλικαύτην συμβουλίαν, ἐπιτρέψαι δὲ τῇ βουλῇ κελεύοντες καὶ δεόμενοι συνέπεισαν. Ὡς δ' οὐδὲν ἐπέραινεν ἡ βουλὴ συνελθοῦσα διὰ τοὺς πλουσίους ἰσχύοντας ἐν αὐτῇ, τρέπεται πρὸς ἔργον οὐ νόμιμον, οὐδ' ἐπιεικὲς, ἀφελέσθαι τῆς ἀρχῆς τὸν Ὀκταούϊον, ἀμηχανῶν ἄλλως ἐπαγαγεῖν τῷ νόμῳ τὴν ψῆφον. Καὶ πρῶτον μὲν ἐδεῖτο φανερῶς αὐτοῦ, λόγους τε προσφέρων φιλανθρώπους, καὶ χειρῶν ἁπτόμενος, ἐνδοῦναι καὶ χαρίσασθαι τῷ δήμῳ δίκαια μὲν αἰτοῦντι, μικρὰ δ' ἀντὶ μεγάλων πόνων καὶ κινδύνων ληψομένῳ. Διαθρυλλουμένου δὲ τοῦ Ὀκταουΐου τὴν ἔντευξιν, ὑπεισπὼν ὁ Τιβέριος, ὡς οὐκ ἔστιν ἄρχοντας ἀμφοτέρους, καὶ περὶ πραγμάτων μεγάλων ἀπ' ἴσης ἐξουσίας διαφερομένους, ἄνευ πολέμου διεξελθεῖν τὸν χρόνον, ἓν ἴαμα τούτου μόνον ὁρᾶν ἔφη, τὸ παύσασθαι τῆς ἀρχῆς τὸν ἕτερον. Καὶ περὶ αὐτοῦ γε πρότερόν τὸν Ὀκταούϊον ἐκέλευσε τῷ δήμῳ ψῆφον ἀναδοῦναι· καταβήσεσθαι γὰρ εὐθὺς ἰδιώτης γενόμενος, ἂν τοῦτο δόξῃ τοῖς πολίταις· τοῦ δ' Ὀκταουΐου μὴ θέλοντος, αὐτὸς ἔφη περὶ ἐκείνου ψῆφον ἀναδώσειν, ἐὰν μὴ μεταγνῷ βουλευσάμενος.

XII. Καὶ τότε μὲν ἐπὶ τούτοις διέλυσε τὴν ἐκκλησίαν· τῇ δ' ὑστεραίᾳ τοῦ δήμου συνελθόντος, ἀναβὰς ἐπὶ τὸ βῆμα, πάλιν ἐπειρᾶτο πείθειν τὸν Ὀκταούϊον· ὡς δ' ἦν ἀμετάπειστος, εἰσήνεγκε νόμον ἀφαιρούμενον αὐτοῦ τὴν δημαρχίαν, καὶ τοὺς πολίτας εὐθὺς ἐκάλει τὴν ψῆφον ἐπιφέροντας. Οὐσῶν δὲ πέντε καὶ τριάκοντα φυλῶν, ὡς αἱ δεκαπτὰ τὴν ψῆφον ἐπενηνόχεισαν, καὶ μιᾶς ἔτι προσγενομένης, ἔδει τὸν Ὀκταούϊον ἰδιώτην γενέσθαι, κελεύσας ἐπισχεῖν, αὖθις ἐδεῖτο τοῦ Ὀκταουΐου, καὶ περιέβαλλεν αὐτὸν ἐν ὄψει τοῦ δήμου καὶ κατησπάζετο, λιπαρῶν καὶ δεόμενος, μήθ' ἑαυτὸν ἄτιμον περιϊδεῖν γενόμενον, μήτ' ἐκεῖνο βαρέως οὕτω καὶ σνθρωπου πολιτεύματος αἰτίαν προσάψαι.

Τούτων τῶν δεήσεων οὐ παντελῶς ἄτεγκτον οὐδ' ἀτενῆ λέγουσιν ἀκροᾶσθαι τὸν Ὀκταούϊον, ἀλλὰ καὶ δακρύων ὑποπίμπλασθαι τὰ ὄμματα, καὶ σιωπᾷν ἐπὶ πολὺν χρόνον. Ὡς μέντοι πρὸς τοὺς πλουσίους καὶ τοὺς κτηματικοὺς συνεστῶτας ἀπέβλεψεν, αἰδεσθεὶς δοκεῖ καὶ φοβηθεὶς τὴν παρ' ἐκείνοις ἀδοξίαν ὑποστῆναι καὶ πᾶν δεινὸν οὐκ ἀγεννῶς, καὶ κελεῦσαι πράττειν, ὃ βούλεται, τὸν Τιβέριον. Οὕτω δὴ τοῦ νόμου κυρωθέντος, ὁ μὲν Τιβέριος τῶν ἀπελευθέρων τινὶ προσέταξεν ἀπὸ τοῦ βήματος ἑλκύσαι τὸν Ὀκταούϊον· ἐχρῆτο δ' ὑπηρέταις ἀπελευθέροις ἰδίοις· καὶ τοῦτο τὴν ὄψιν οἰκτροτέραν τοῦ Ὀκταουΐου παρέσχεν, ἑλκομένου πρὸς ὕβριν. Ὁ δὲ δῆμος ἐφώρμησεν αὐτῷ, καὶ τῶν πλουσίων συνδραμόντων, καὶ διασχόντων τὰς χεῖρας, ὁ μὲν Ὀκταούϊος ἐσώθη μόλις ἐξαρπαγεὶς καὶ διαφυγὼν τὸν ὄχλον, οἰκέτην δ' αὐτοῦ πιστὸν ἔμπροσθεν ἑστῶτα καὶ προτεταγμένον ἐξετύφλωσαν, ἄκοντος τοῦ Τιβερίου, καὶ πρὸς τὸν θόρυβον, ὡς ἤσθετο τὰ γινόμενα, πολλῇ σπουδῇ καταδραμόντος.

XIII. Ἐκ τούτου κυροῦται μὲν ὁ περὶ τῆς χώρας νόμος, αἱροῦνται δὲ τρεῖς ἄνδρες ἐπὶ τὴν διάκρισιν καὶ διανομήν, αὐτὸς Τιβέριος, καὶ Κλαύδιος Ἄππιος, ὁ πενθερὸς, καὶ Γάϊος Γράκχος, ὁ ἀδελφὸς, οὐ παρὼν οὗτος, ἀλλ' ὑπὸ Σκηπίωνι πρὸς Νομαντίαν στρατευόμενος. Ταῦτα τοῦ Τιβερίου διαπραξαμένου μαθ' ἡσυχίαν, μηδενὸς ἐνισταμένου, καὶ πρὸς τούτοις δήμαρχον ἀντικαταστήσαντος οὐδένα τῶν ἐπιφανῶν, ἀλλὰ Μούμιόν τινα, πελάτην αὐτοῦ, πρὸς πάντα δυσχεραίνοντες οἱ δυνατοὶ, καὶ φοβούμενοι τοῦ Τιβερίου τὴν αὔξησιν, ἐν τῇ βουλῇ προεπηλάκιζον αὐτὸν, αἰτουμένῳ μὲν, ὡς ἔθος ἐστὶν, ἐκ δημοσίου σκηνὴν, ὅπως ἔχοι διανέμων τὴν χώραν, οὐ δόντες, ἑτέρων ἐπ' ἐλαττοσι χρείαις πολλάκις λαβόντων, ἀναλωμα δ' εἰς ἑκαστην ἡμέραν ἐννέα ὀβολοὺς τάξαντες· εἰσηγουμένου ταῦτα Ποπλίου Νασικᾶ, καὶ

δεδωκότος ἑαυτὸν εἰς τὴν πρὸς ἐκεῖνον ἔχθραν ἀφειδῶς· πλείστην γὰρ ἐκέκτητο γῆν δημοσίαν, καὶ χαλεπῶς ἔφερεν ἐκβαίνειν αὐτῆς ἀναγκαζόμενος. Ὁ δὲ δῆμος ἔτι μᾶλλον ἐξεκαίετο· καὶ φίλου τινὸς τῷ Τιβερίῳ τελευτήσαντος αἰφνιδίως, καὶ σημείων τῷ νεκρῷ μοχθηρῶν ἐπιδραμόντων, βοῶντες, ὑπὸ φαρμάκων ἀνῃρῆσθαι τὸν ἄνθρωπον, ἐπὶ τὴν ἐκφορὰν συνέδραμον, καὶ τὸ λέχος ἤραντο, καὶ θαπτομένῳ παρέστησαν, οὐ φαύλως ὑποπτεύσαι τὴν φαρμακείαν δόξαντες. Ἐρράγη γὰρ ὁ νεκρὸς, καὶ διεφθορότων ὑγρῶν πλῆθος ἐξέβλυσεν, ὥστ' ἀποσβέσαι τὴν φλόγα καὶ φερόντων ἄλλην, αὖθις οὐκ ἐκαίετο, πρὶν εἰς ἕτερον τόπον μετακομισθῆναι, καὶ πολλὰ πραγματευσαμένων, μόλις ἥψατο τὸ πῦρ αὐτοῦ. Πρὸς ταῦτα τοὺς πολλοὺς ἔτι μᾶλλον ὁ Τιβέριος παροξύνων, μετέβαλε τὴν ἐσθῆτα, καὶ τοὺς παῖδας προαγαγών, ἐδεῖτο τοῦ δήμου τούτων κήδεσθαι καὶ τῆς μητρὸς, ὡς αὐτὸς ἀπεγνωκὼς ἑαυτόν.

XIV. Ἐπεὶ δὲ, τοῦ Φιλομήτορος Ἀττάλου τελευτήσαντος, Εὔδημος ὁ Περγαμηνὸς ἀνήνεγκε διαθήκην, ἐν ᾗ κληρονόμος ἐγέγραπτο τοῦ βασιλέως ὁ Ῥωμαίων δῆμος· εὐθὺς ὁ Τιβέριος δημαγωγῶν εἰσήνεγκε νόμον, ὅπως τὰ βασιλικὰ χρήματα κομισθέντα τοῖς τὴν χώραν διαλαγχάνουσι τῶν πολιτῶν ὑπάρχοι πρὸς κατασκευὴν καὶ γεωργίας ἀφορμήν. Περὶ δὲ τῶν πόλεων, ὅσαι τῆς Ἀττάλου βασιλείας ἦσαν, οὐδὲν ἔφη τῇ συγκλήτῳ βουλευεσθαι προσήκειν, ἀλλὰ τῷ δήμῳ γνώμην αὐτὸς προθήσειν. Ἐκ τούτου μάλιστα προσέκρουσε τῇ βουλῇ· καὶ Πομπηΐος μὲν ἀναστὰς 831
ἔφη γειτνιᾶν τῷ Τιβερίῳ, καὶ διὰ τοῦτο γινώσκειν Εὔδημον αὐτῷ τὸν Περγαμηνὸν τῶν βασιλικῶν διάθημα δεδωκότα καὶ πορφύραν, ὡς μέλλοντι βασιλεύειν ἐν Ῥώμῃ· Κόϊντος δὲ Μέτελλος ᾐνίδισε τὸν Τιβέριον, ὅτι, τοῦ μὲν πατρὸς αὐτοῦ τιμητεύοντος, ὀσάκις ἀγαλύοι μετὰ δεῖπνον οἴκαδε,

τὰ φῶνα κατεσβέννυσαν οἱ πολῖται, φοβούμενοι, μὴ πορρωτέρω τοῦ μετρίου δόξωσιν ἐν συνουσίαις εἶναι καὶ πότοις, τούτῳ δὲ παραφαίνουσι νυκτὸς οἱ θρασύτατοι καὶ ἀπορώτατοι τῶν δημοτῶν. Τίτος δ' Ἄννιος, οὐκ ἐπιεικὴς μὲν, οὐδὲ σώφρων ἄνθρωπος, ἐν δὲ λόγῳ περὶ τὰς ἐρωτήσεις καὶ ἀποκρίσεις ἄμαχος εἶναι δοκῶν, εἰς ὁρισμόν τινα προὐκαλεῖτο τὸν Τιβέριον, ἢ μὴν ἱερὸν ὄντα καὶ ἄσυλον ἐκ τῶν νόμων ἠτιμωκέναι τὸν συνάρχοντα. Θορυβούντων δὲ πολλῶν, ἐκπηδήσας ὁ Τιβέριος τόν τε δῆμον συνεκάλει, καὶ τὸν Ἄννιον ἀχθῆναι κελεύσας ἐβούλετο κατηγορεῖν. Ὁ δὲ, καὶ τῷ λόγῳ καὶ τῇ δόξῃ πολὺ λειπόμενος, εἰς τὴν ἑαυτοῦ δεινότητα κατεδύετο, καὶ παρεκάλει μικρὰ πρὸ τῶν λόγων ἀποκρίνασθαι τὸν Τιβέριον. Συγχωροῦντος δ' ἐρωτᾶν ἐκεῖνον, καὶ σιωπῆς γενομένης, εἶπεν ὁ Ἄννιος· „Ἆρ' οὐ μέν ἀτιμοῦν με βούλῃ καὶ προπηλακίζειν, ἐγὼ δέ τινα τῶν σῶν ἐπικαλέσωμαι συναρχόντων, ὃ δ' ἀναβῆ βοηθήσων, σὺ δ' ὀργισθῇς· ἆρά γ' αὐτοῦ τὴν ἀρχὴν ἀφαιρήσῃ;" Πρὸς ταύτην λέγεται τὴν ἐρώτησιν οὕτω διαπορηθῆναι τὸν Τιβέριον, ὥστε, πάντων ὄντα καὶ τῷ λέγειν ἑτοιμότατον, καὶ τῷ θαρρεῖν ἰταμότατον, ἀποσιωπῆσαι.

XV. Τότε μὲν οὖν διέλυσε τὴν ἐκκλησίαν. Αἰσθανόμενος δὲ τῶν πολιτευμάτων τὸ περὶ τὸν Ὀκταούιον οὐ τοῖς δυνατοῖς μόνον, ἀλλὰ καὶ τοῖς πολλοῖς ἐκπαθέστερον, (μέγα γάρ τι καὶ καλὸν ἐδόκει τὸ τῶν δημάρχων ἀξίωμα μέχρι τῆς ἡμέρας ἐκείνης διατετηρημένον ἀνηρῆσθαι καὶ καθυβρίσθαι) λόγον ἐν τῷ δήμῳ διεξῆλθεν, οὐ μικρὰ παραθέσθαι τῶν ἐπιχειρημάτων οὐκ ἄτοπον ἦν, ὥστε ὑπονοηθῆναι τὴν πιθανότητα καὶ πυκνότητα τοῦ ἀνδρός. Ἔφη γὰρ, ἱερὸν τὸν δήμαρχον εἶναι καὶ ἄσυλον, ὅτι τῷ δήμῳ καθωσίωται, καὶ τοῦ δήμου προέστηκεν. Ἂν οὖν μεταβαλόμενος τὸν δῆμον ἀδικῇ, καὶ τὴν ἰσχὺν κολούῃ, καὶ παραιρῆται τὴν ψῆφον, αὐτὸς ἑαυτὸν ἀπεστέρηκε τῆς τιμῆς, ἐφ'

οἷς ἔλαβεν; οὐ ποιῶν· ἐπεὶ καὶ τὸ Καπετώλιον κατασκάπτοντα, καὶ τὸ νεώριον ἐμπιπράντα δήμαρχον ἂν δήσει. Καὶ ταῦτα μὲν ποιῶν δήμαρχός ἐστι πονηρός· ἐὰν δὲ καταλύῃ τὸν δῆμον, οὐδὲ δήμαρχός ἐστι. Πῶς οὖν οὐ δεινὸν, εἰ τὸν μὲν ὕπατον ὁ δῆμαρχος ἄξει, τὸν δὲ δήμαρχον οὐκ ἀφαιρήσεται τὴν ἐξουσίαν ὁ δῆμος, ὅταν αὐτῇ κατὰ τοῦ δεδωκότος χρῆται; καὶ γὰρ ὕπατον καὶ δήμαρχον ὁμοίως ὁ δῆμος αἱρεῖται. Καὶ μὴν ἥ γε βασιλεία, πρὸς τῷ πᾶσαν ἀρχὴν ἔχειν ἐν ἑαυτῇ συλλαβοῦσα, καὶ ταῖς μεγίσταις ἱερουργίαις καθωσίωτο πρὸς τὸ θεῖον· ἀλλὰ Ταρκύνιον ἐξέβαλεν ἡ πόλις ἀδικοῦντα, καὶ δι' ἑνὸς ἀνδρὸς ὕβριν ἡ πάτριος ἀρχὴ καὶ πίσασα τὴν Ῥώμην κατελύθη. Τί δ' οὕτως ἅγιον ἐν Ῥώμῃ καὶ σεμνὸν, ὡς αἱ περιέπουσαι παρθένοι καὶ φυλάττουσαι τὸ ἄφθιτον πῦρ; ἀλλ' εἴ τις ἂν ἁμάρτῃ αὐτῶν, ζῶσα κατορύσσεται· τὸ γὰρ ἄσυλον οὐ φυλάττουσιν ἀσεβοῦσαι εἰς τοὺς θεούς, ὃ διὰ τοὺς θεοὺς ἔχουσιν. Οὔκουν οὐδὲ δήμαρχος, ἀδικῶν δῆμον, ἔχειν τὴν διὰ τὸν δῆμον ἀσυλίαν δίκαιός ἐστιν· ἡ γὰρ ἰσχύει δυνάμει, ταύτην ἀναιρεῖ. Καὶ μὴν εἰ δικαίως ἔλαβε τὴν δημαρχίαν, τῶν πλείστων φυλῶν ψηφισαμένων, πῶς οὐχὶ κἂν ἀφαιρεθείη δικαιότερον, πασῶν ἀποψηφισαμένων; Ἱερὸν δὲ καὶ ἄσυλον οὐδὲν οὕτως ἐστὶν, ὡς τὰ τῶν θεῶν ἀνατθήματα· χρῆσθαι δὲ τούτοις, καὶ πωλεῖν καὶ μετατιθέναι, ὡς βούλεται, τὸν δῆμον οὐδεὶς κεκώλυκεν. Ἐξὴν οὖν αὐτῷ καὶ τὴν δημαρχίαν ὡς ἀνάθημα μετενεγκεῖν εἰς ἕτερον. Ὅτι δ' οὐκ ἄσυλον, οὐδ' ἀναφαίρετον ἡ ἀρχὴ, δῆλόν ἐστι τῷ πολλάκις ἔχοντας τινὰς ἀρχὴν ἐξομνυσθαι καὶ παραιτεῖσθαι δι' αὐτῶν.

XVI. Τοιαῦτα μὲν ἦν τὰ κεφάλαια τῆς τοῦ Τιβερίου δικαιολογίας. Ἐπεὶ δὲ συνορῶντες οἱ φίλοι τὰς ἀπειλὰς καὶ τὴν σύστασιν, ᾠοντο δεῖν ἑτέρας περιέχεσθαι δημαρχίας εἰς τὸ μέλλον, αὖθις ἄλλους νόμους ἀνελάμβανε τὰ πλῆθος, τούς τε χρε-

νους τῶν στρατειῶν ἀφαιρῶν, καὶ διδοὺς ἐπικαλεῖσθαι τὸν δῆμον ἀπὸ τῶν δικαστῶν, καὶ τοῖς πρίνουσι τότε, συγκλητικοῖς οὖσι, καταμιγνὺς ἐκ τῶν ἱππέων τὸν ἴσον ἀριθμὸν, καὶ πάντα τρόπον ἤδη τῆς βουλῆς τὴν ἰσχὺν κολούων, πρὸς ὀργὴν καὶ φιλονεικίαν μᾶλλον, ἢ τὸν τοῦ δικαίου καὶ συμφέροντος λογισμόν. Ἐπεὶ δὲ, τῆς ψήφου φερομένης, ἠσθοντο τοὺς ἐναντίους κρατοῦντας, (οὐ γὰρ παρῆν ἅπας ὁ δῆμος) πρῶτον μὲν εἰς βλασφημίας τραπόμενοι τῶν συναρχόντων, εἶλκον τὸν χρόνον· ἔπειτα τὴν ἐκκλησίαν ἀφῆκαν, εἰς τὴν ὑστεραίαν ἁπαντᾶν κελεύσαντες. Καὶ πρῶτον μὲν εἰς τὴν ἀγορὰν καταβὰς ὁ Τιβέριος, ἱκέτευε τοὺς ἀνθρώπους ταπεινὸς καὶ δεδακρυμένος, ἔπειτα δεδοικέναι φήσας, μὴ νυκτὸς ἐκκόψωσι τὴν οἰκίαν οἱ ἐχθροὶ, καὶ διαφθείρωσιν αὐτὸν, οὕτως τοὺς ἀνθρώπους διέθηκεν, ὥστε περὶ τὴν οἰκίαν αὐτοῦ παμπόλλους τινὰς αὐλίσασθαι καὶ διανυκτερεῦσαι παραφυλάττοντας.

XVII. Ἅμα δ' ἡμέρᾳ παρῆν ὁ τὰς ὄρνιθας, αἷς διαμαντεύονται, κομίζων, καὶ προέβαλε τροφὴν αὐταῖς. Αἱ δ' οὐ προῆλθον, εἰ μὴ μία μόνη, διασεισαντος εὖ μάλα τοῦ ἀνθρώπου τὸ ἀγγεῖον· οὐδ' αὕτη γε τῆς τροφῆς ἔθιγεν, ἀλλ' ἐπάρασα τὴν ἀριστερὰν πτέρυγα, καὶ παρατείνασα τὸ σκέλος, πάλιν εἰς τὸ ἀγγεῖον κατέφυγε. Τοῦτο καὶ τοῦ προτέρου σημείου τὸν Τιβέριον ἀνέμνησεν. Ἦν γὰρ αὐτῷ κράνος, ᾧ πρὸς τὰς μάχας ἐχρῆτο, κεκοσμημένον ἐκπρεπῶς καὶ δεισήμον εἰς τοῦτο καταδύντες ὄφεις, ἔλαθον ἐντεκόντες ᾠά, καὶ ταῦτα ἐξεγλύψαντο. Διὸ καὶ μᾶλλον ὁ Τιβέριος τοῖς περὶ τὰς ὄρνιθας ἐταράττετο. Προῆει δ' ὅμως ἄνω, τὸν δῆμον ἠθροῖσθαι περὶ τὸ Καπετώλιον πυνθανόμενος· καὶ πρὶν ἐξελθεῖν, προσέπταισε πρὸς τὸν οὐδὸν, σφοδρᾶς οὕτω πληγῆς γενομένης, ὥστε τὸν μὲν ὄνυχα τοῦ μεγάλου δακτύλου ῥαγῆναι, τὸ δ' αἷμα διὰ τοῦ ὑποδήματος ἔξω

φέρεσθαι. Μικρὸν δ' αὐτοῦ προελθόντος, ὤρθησαν ὑπὲρ κεράμου μαχόμενοι κόρακες ἐν ἀριστερᾷ· καὶ πολλῶν, ὡς εἰκὸς, ἀνθρώπων παρερχομένων, κατ' αὐτὸν τὸν Τιβέριον λίθος ἀπορρυεὶς ὑπὸ θατέρου τῶν κοράκων ἔπεσε παρὰ τὸν πόδα. Τοῦτο καὶ τοὺς θρασυτάτους τῶν περὶ αὐτὸν ἐπέστησεν· ἀλλὰ Βλόσσιος ὁ Κυμαῖος παρὼν, αἰσχύνην ἔφη καὶ κατήφειαν παρεῖναι πολλὴν, εἰ Τιβέριος, Γράκχου μὲν υἱὸς, Ἀφρικανοῦ δὲ Σκηπίωνος θυγατριδοῦς, προστάτης δὲ τοῦ Ῥωμαίων δήμου, κόρακα δείσας, οὐχ ὑπακούσειε τοῖς πολίταις καλοῦσι· τοῦτο μέντοι τὸ αἰσχρὸν οὐκ ἐν γέλωτι θήσεσθαι τοὺς ἐχθροὺς, ἀλλ' ὡς τυραννοῦντος καὶ τρυφῶντος ἤδη καταβοήσεσθαι πρὸς τὸν δῆμον. Ἅμα δὲ καὶ προσέθεον πολλοὶ τῷ Τιβερίῳ παρὰ τῶν ἐν Καπετωλίῳ φίλων, ἐπείγεσθαι πελεύοντες, ὡς τῶν ἐπεῖ καλῶς ἐχόντων. Καὶ τὰ γε πρῶτα λαμπρῶς ἀπήντα τῷ Τιβερίῳ, φανέντι μὲν εὐθὺς ἀραμένων βοὴν φίλιον, ἀναβαίνοντα δὲ προθύμως δεχομένων, καὶ περὶ αὐτὸν, ὡς μηδεὶς πελάσειεν ἀγνῶς, παρατασσομένων.

XVIII. Ἀρξαμένου δὲ πάλιν τοῦ Μουκίου τὰς φυλὰς ἀναγορεύειν, οὐδὲν ἐπαινέτο τῶν 833
εἰωθότων διὰ τὸν ἀπὸ τῶν ἑσχάτων θόρυβον, ὠθουμένων καὶ ὠθούντων τοὺς ἐναντίους εἰσβιαζομένους καὶ ἀναμιγνυμένους. Ἐν δὲ τούτῳ Φλάβιος Φλάκκος, ἀπὸ βουλῆς ἀνὴρ, εἰς ἐμφανὲς καταστὰς, ὡς οὐκ ἦν φθεγγόμενον ἐφικέσθαι, διεσήμηνε τῇ χειρὶ φράσαι τι βουλόμενον αὐτὸν ἰδίᾳ τῷ Τιβερίῳ. Καὶ πελεύσαντος ἐκείνου διασχεῖν τὸ πλῆθος, ἀναβὰς μόλις καὶ προσελθὼν, ἀπήγγειλεν, ὅτι, τῆς βουλῆς συγκαθεζομένης, οἱ πλούσιοι, τὸν ὕπατον μὴ πείθοντες, αὐτοὶ διανοοῦνται καθ' αὐτοὺς ἀποκτιννύναι τὸν Τιβέριον, πολλοὺς ἐπὶ τοῦτο δούλους καὶ φίλους ὡπλισμένους ἔχοντες.

XIX. Ὡς οὖν ταῦτα τοῖς περὶ αὐτὸν ἐξήγ-

γελεν ὁ Τιβέριος, οὗτοι μὲν εὐθὺς τὰς τε τηβέννους περιεζώννυντο, καὶ τὰ τῶν ὑπηρετῶν δόρατα συγκλῶντες, οἷς ἀνείργουσι τὸν ὄχλον, διελάμβανον, ὡς ἀμυνούμενοι τοῖς κλάσμασι τοὺς ἐπερχομένους. Τῶν δ' ἀπωτέρω θαυμαζόντων τὰ γινόμενα, καὶ πυνθανομένων, ὁ Τιβέριος ἤψατο τῇ χειρὶ τῆς κεφαλῆς, ἐνδεικνύμενος τῇ ὄψει τὸν κίνδυνον, ἐπεὶ τῆς φωνῆς οὐκ ἐπήκουον. Οἱ δ' ἐναντίοι τοῦτ' ἰδόντες, ἔθεον πρὸς τὴν βουλὴν, ἀπαγγέλλοντες αἰτεῖν διάθημα τὸν Τιβέριον· καὶ τοῦτο, σημεῖον εἶναι τὸ τῆς κεφαλῆς ἐπιθιγγάνειν. Πάντες μὲν οὖν ἐθορυβήθησαν· ὁ δὲ Νασικᾶς ἤξίου τὸν ὕπατον τῇ πόλει βοηθεῖν, καὶ καταλύειν τὸν τύραννον. Ἀποριναμένου δὲ πρός ἐκεῖνου, βίας μὲν οὐδεμιᾶς ὑπάρξειν, οὐδ' ἀναιρήσειν οὐδένα τῶν πολιτῶν ἄκριτον, εἰ μέντοι ψηφίσαιτό τι τῶν παρανόμων ὁ δῆμος ὑπὸ τοῦ Τιβερίου πεισθεὶς, ἢ βιασθεὶς, τοῦτο κύριον μὴ φυλάξειν· ἀναπηδήσας ὁ Νασικᾶς, „Ἐπεὶ τοίνυν, ἔφη, προδίδωσιν ὁ ἄρχων τὴν πόλιν, οἱ βουλόμενοι τοῖς νόμοις βοηθεῖν ἀκολουθεῖτε.“ Καὶ ταῦτα λέγων ἅμα, καὶ τὸ κράσπεδον τοῦ ἱματίου θέμενος ἐπὶ τῆς κεφαλῆς ἐχώρει πρὸς τὸ Καπετώλιον. Ἕκαστος δὲ τῶν ἑπομένων αὐτῷ, τῇ χειρὶ τὴν τήβεννον περιελίξας, ἐώθει τοὺς ἐμποδὼν, οὐδενὸς ἐνισταμένου πρὸς τὸ ἀξίωμα τῶν ἀνδρῶν, ἀλλὰ φευγόντων καὶ πατούντων ἀλλήλους. Οἱ μὲν οὖν περὶ αὐτοὺς ῥόπαλα καὶ σκυτάλας ἐκόμιζον οἴκοθεν· αὐτοὶ δὲ τῶν δίφρων, καταγνυμένων ὑπὸ τοῦ φεύγοντος ὄχλου, τὰ κλάσματα καὶ τοὺς πόδας λαμβάνοντες, ἀνέβαινον ἐπὶ τὸν Τιβέριον, ἅμα παίοντες τοὺς προτεταγμένους. Καὶ τούτων μὲν ἦν τροπὴ καὶ φόνος· αὐτοῦ δὲ τοῦ Τιβερίου φεύγοντος ἀντελάβετό τις τῶν ἱματίων. Ὁ δὲ τὴν τήβεννον ἀφεὶς, καὶ φεύγων ἐν τοῖς χιτῶσιν, ἐσφάλη, καὶ κατηνέχθη περί τινας τῶν πρὸ αὐτοῦ πεπτωκότας. Ἀνισταμένων δ' αὐτῶν ὁ μὲν ἐμφανῶς καὶ πρῶτος εἰς τὴν

κεφαλὴν παράξας ποδὶ θέφρου Πόπλιος ἦν Σατυρήϊος, εἷς τῶν συναρχόντων τῆς δὲ δευτέρας ἀντεποιεῖτο πλησὶς Λεύκιος Ῥοῦφος, ὡς ἐπὶ παλῷ τινι σεμνυνόμενος. Τῶν δ' ἄλλων ἀπέθανον ὑπὲρ τριακοσίους ξύλοις καὶ λίθοις συγκοπέντες, σιδήρῳ δ' οὐδείς.

XX. Ταύτην πρώτην ἱστοροῦσιν ἐν Ῥώμῃ στάσιν, ἀφ' οὗ τὸ βασιλεύεσθαι κατέλυσαν, αἵματι καὶ φόνῳ πολιτῶν διακριθῆναι· τὰς δ' ἄλλας, οὔτε μικρὰς, οὔτε περὶ μικρῶν γενομένας, ἀνθυπείκοντες ἀλλήλοις, φόβῳ μὲν οἱ δυνατοὶ τῶν πολλῶν, αἰδούμενοι δὲ τὴν βουλὴν ὁ δῆμος, ἔπαυσαν. Λοιπὸν δὲ καὶ τότε μὴ χαλεπῶς ἂν ἐνδοῦναι παρηγορηθεὶς ὁ Τιβέριος· ἔτι δὲ ῥᾴον εἶχε θέμα φόνου καὶ τραυμάτων ἐπισῶσαι· οὐ γὰρ πλείονες, ἢ τροχίλοι, περὶ αὐτὸν ἦσαν. Ἀλλ' ἔδωκεν ὀργῇ τῶν πλουσίων καὶ μᾶσει πλέον, ἢ δι' ὃ ἐσκήπτοντο προφάσεις, ἢ σύστασις ἐπ' αὐτὸν γενέσθαι· καὶ τοῦτον μέγα νεμήριον ὡμῶς καὶ παρανόμως ὑβρισθεὶς ὁ νεκρός. Οὐ γὰρ ἐπέ- 834
τρεψαν ἀνελέσθαι τὸ σῶμα τῷ ἀδελφῷ δεομένῳ, καὶ θάψαι νυκτὸς, ἀλλὰ μετὰ τῶν ἄλλων νεκρῶν εἰς τὸν ποταμὸν ἔῤῥιψαν. Καὶ τοῦτο πάρεργον οὐκ ἦν, ἀλλὰ καὶ τῶν φίλων αὐτοῦ τοὺς μὲν ἐξεπήρυτον ἀφρίτους, τοὺς δὲ συλλαμβάνοντες ἀπεκτίνυσαν· ἐν οἷς καὶ Δεσφάνης, ὁ ῥήτωρ, ἀπώλετο. Γάϊόν δέ τινα Βίλλιον εἰς ἀγγεῖον καθειρξάντες, καὶ συνεμβαλόντες ἐχίδνας καὶ δράκοντας, οὕτω διέφθειραν. Ὁ δὲ Κυμαῖος Βλόσσιος ἀνήχθη μὲν ἐπὶ τοὺς ὑπάτους, ἐρωτώμενος δὲ περὶ τῶν γεγονότων, ὡμολόγει πεποιηκέναι πάντα Τιβερίου κελεύοντος. Εἰπόντος δὲ τοῦ Νασικᾶ πρὸς αὐτόν· „Τί οὖν, εἴ σε Τιβέριος ἐκέλευσεν ἐμπρῆσαι τὸ Καπετώλιον;“ τὸ μὲν πρῶτον ἀντέλεγεν, ὡς οὐκ ἂν τοῦτο Τιβερίου κελεύσαντος· πολλάκις δὲ καὶ πολλῶν τὰ αὐτὸ πυνθανομένων, „Ἀλλ' ἐκείνου γε προστάσσοντος,“ ἔφη, „καλῶς κἀμοὶ τοῦτο πρᾶξαι εἶχεν· οὐ γὰρ ἂν Τιβέριος τοῦτο προσέτα-

ξεν, εἰ μὴ τῷ δήμῳ συνέφερεν." Οὗτος μὲν οὖν διαφυγὼν, ὕστερον ᾤχετο πρὸς Ἀριστόνικον εἰς Ἀσίαν καὶ τῶν ἐκείνου πραγμάτων διαφθαρέντων, ἑαυτὸν ἀνεῖλεν.

XXI. Ἡ δὲ βουλὴ, θεραπεύουσα τὸν δῆμον ἐκ τῶν παρόντων, οὔτε πρὸς τὴν διανομὴν ἔτι τῆς χώρας ἠναντιοῦτο, καὶ ἕτερον ἀντὶ τοῦ Τιβερίου προὔθηκε τοῖς πολλοῖς ὁριστὴν ἑλέσθαι. Λαβόντες δὲ τὰς ψήφους, εἵλοντο Πόπλιον Κράσσον, οἰκεῖον ὄντα Γράκχῳ· θυγάτηρ γὰρ αὐτοῦ, Λικινία, Γαΐῳ Γράκχῳ συνῴκει. Καίτοι Νέπως ὁ Κορνήλιος φησὶν, οὐ Κράσσου, Βρούτου δὲ τοῦ θριαμβεύσαντος ἀπὸ Λυσιτανῶν, θυγατέρα γῆμαι Γαΐου· ἀλλ' οἱ πλείους, ὡς ἡμεῖς γράφομεν, ἱστοροῦσιν. Ἐπεὶ δὲ χαλεπῶς μὲν ὁ δῆμος εἶχε τῷ θανάτῳ τοῦ Τιβερίου, καὶ φανερὸς ἦν ἀμύνης περιμένων καιρὸν, ἤδη δὲ καὶ δίκαι τῷ Νασικᾷ προσανεσείοντο, δείσασα περὶ τοῦ ἀνδρὸς ἡ βουλὴ, ψηφίζεται μηδὲν δεομένῃ, πέμπειν αὐτὸν εἰς Ἀσίαν. Οὐ γὰρ ἀπεκρύπτοντο κατὰ τὰς ἀπαντήσεις οἱ ἄνθρωποι τὴν δυσμένειαν, ἀλλ' ἐξηγριαίνοντο, καὶ κατεβόων, ὅπου προστύχοιεν, ἐναγῆ καὶ τύραννον καὶ μεμιαγκότα φόνῳ σώματος ἀσύλου καὶ ἱεροῦ τὸ ἀγιώτατον καὶ φρικωδέστατον ἐν τῇ πόλει τῶν ἱερῶν ἀποκαλοῦντες. Οὕτω μὲν οὖν ὑπεξῆλθε τῆς Ἰταλίας ὁ Νασικᾶς, καίπερ ἐνδεδεμένος ταῖς μεγίσταις ἱερουργίαις· ἦν γὰρ ὁ μέγιστος καὶ πρῶτος τῶν ἱερέων. Ἔξω δ' ἀλύων καὶ πλανώμενος ἀδόξως, οὐ μετὰ πολὺν χρόνον κατέστρεψε περὶ Πέργαμον. Οὐ δεῖ δὲ θαυμάζειν, εἰ Νασικᾶν μεμίσηκεν οὕτως ὁ δῆμος, ὅπου καὶ Σκηπίων ὁ Ἀφρικανὸς, οὗ δοκοῦσι Ῥωμαῖοι μηδένα δικαιότερον μηδὲ μᾶλλον ἀγαπῆσαι, παρὰ μικρὸν ἦλθεν ἐκπεσεῖν καὶ στέρεσθαι τῆς πρὸς τὸν δῆμον εὐνοίας, ὅτι πρῶτον μὲν ἐν Νομαντίᾳ τὴν τελευτὴν τοῦ Τιβερίου πυθόμενος, ἀνεφώνησεν ἐκ τῶν Ὁμηρικῶν·

Ὡς ἀπόλοιτο καὶ ἄλλος, ὅ τις τοιαῦτά γε ῥέζοι.

ἔπειτα τῶν περὶ Γάϊον καὶ Φούλβιον αὐτοῦ δι' ἐκκλησίας πυνθανομένων, τί φρονοίη περὶ τῆς Τιβερίου τελευτῆς, οὐκ ἀρεσκομένην τοῖς ὑπ' ἐκείνου πεπολιτευμένοις ἀπόκρισιν ἔδωκεν. Ἐκ τούτου γὰρ ὁ μὲν δῆμος ἀντέκρουσεν αὐτῷ λέγοντι, μηδέπω τοῦτ' παίσας πρότερον· αὐτὸς δὲ τὸν δῆμον εἰπεῖν κακῶς προήχθη. Περὶ μὲν οὖν τούτων ἐν τῷ Σκηπίωνος βίῳ τὰ καθ' ἕκαστα γέγραπται.

Γ. ΓΡΑΚΧΟΣ.

Γάϊος δὲ Γράκχος, ἐν ἀρχῇ μὲν, ἢ δεδιὼς τοὺς ἐχθροὺς, ἢ φθόνον συνάγων ἐπ' αὐτοὺς, ὑπεξέστη τε τῆς ἀγορᾶς, καὶ καθ' ἑαυτὸν ἡσυχίαν ἔχων διέτριβεν, ὡς ἄν τις ἔν τε τῷ παρόντι ταπεινὰ πράττων, καὶ τὸ λοιπὸν οὕτως ἀπραγμόνως βιωσόμενος· ὥστε καὶ λόγον τισὶ κατ' αὐτοῦ παρασχεῖν, ὡς δυσχεραίνοντος καὶ προβεβλημένου τὴν τοῦ Τιβερίου πολιτείαν. Ἦν δὲ καὶ μειράκιον παντάπασιν· ἐννέα γὰρ ἐνιαυτοῖς ἐλείπετο τὰδελφοῦ καθ' ἡλικίαν· ἐκεῖνος δ' οὔπω τριάκοντα γεγονὼς ἀπέθανεν. Ἐπεὶ δὲ, προϊόντος τοῦ χρόνου, τόν τε τρόπον ἡσυχῇ διέφαινεν, ἀργίας καὶ μαλακίας καὶ πότων καὶ χρηματισμῶν ἀλλότριον ὄντα, καὶ τὸν λόγον, ὥσπερ ὠκύπτερα, κατασκευαζόμενος ἐπὶ τὴν πολιτείαν, δῆλος ἦν οὐκ ἠρεμήσων, δίκην τε τινὶ τῶν φίλων φεύγοντι, Βεττίῳ, συνεπὼν, τοῦ δήμου συνενθουσιῶντος ὑφ' ἡδονῆς καὶ βακχεύοντος περὶ αὐτὸν, ἀπέδειξε τοὺς ἄλλους ῥήτορας παίδων μηδὲν διαφέροντας· εἰς φόβον αὖθις οἱ δυνατοὶ καθίσταντο, καὶ πολὺς ἦν ἐν αὐτοῖς λόγος, ὡς οὐκ ἐάσουσιν ἐπὶ δημαρχίαν τὸν Γάϊον προελθεῖν. Συντυγχάνει δ' ἀπὸ ταυτομάτου λαχεῖν αὐτῷ εἰς Σαρδὼ ταμίαν Ὀρέστῃ, τῷ ὑπάτῳ· καὶ τοῦτο τοῖς μὲν ἐχθροῖς καθ' ἡδονὴν ἐγεγόνει, τὸν δὲ Γάϊον οὐκ ἐλύπησεν. Ἅτε

γὰρ ὢν πολεμικὸς, καὶ χεῖρον οὐδὲν πρὸς στρατείας ἠσκημένος, ἢ δίκας, ἔτι δὲ τὴν πολιτείαν καὶ τὸ βῆμα φρίττων, ἀντέχειν δὲ καλοῦντι τῷ δήμῳ καὶ τοῖς φίλοις οὐ δυνάμενος, παντάπασι τὴν ἀποδημίαν ἐκείνην ἠγάπησε. Καίτοι κρατεῖ δόξα πολλὴ, τοῦτον ἄκρατον γενέσθαι δημαγωγὸν, καὶ πολὺ τοῦ Τιβερίου λαμπρότερον πρὸς τὴν ἀπὸ τῶν ὄχλων δόξαν. Οὐκ ἔχει δ' οὕτω τὸ ἀληθὲς· ἀλλ' ἔοικεν ὑπ' ἀνάγκης τινὸς μᾶλλον οὗτος, ἢ προαιρέσεως, ἐμπεσεῖν εἰς τὴν πολιτείαν. Ἱστορεῖ δὲ καὶ Κικέρων, ὁ ῥήτωρ, ὡς ἄρα φεύγοντι πᾶσαν ἀρχὴν τῷ Γαΐῳ, καὶ μεθ' ἡσυχίας ἤρημένῳ ζῆν, ὁ ἀδελφὸς ὅναρ φανεὶς, καὶ προσαγορεύσας, „Τί δῆτα," φαίη, „Γάϊε, βραδύνεις; Οὐκ ἔστιν ἀπόδρασις, ἀλλ' εἷς μὲν ἡμῖν ἀμφοτέροις βίος, εἷς δὲ θάνατος, ὑπὲρ τοῦ δήμου πεπολιτευμένοις πέπρωται."

II. Γενόμενος οὖν ὁ Γαΐος ἐν Σαρδόνι, πᾶσαν ἀρετῆς ἀπόδειξιν ἐδίδου, καὶ πολὺ πάντων διέφερε τῶν νέων ἐν τοῖς πρὸς τοὺς πολεμίους ἀγῶσι, καὶ ἐν τοῖς πρὸς τοὺς ὑπηκόους δικαίοις, καὶ ἐν τῇ πρὸς τὸν στρατηγὸν εὐνοίᾳ καὶ τιμῇ· σωφροσύνῃ δὲ καὶ λιτότητι καὶ φιλοπονίᾳ παρήλλαττε καὶ τοὺς πρεσβυτέρους. Ἰσχυροῦ δὲ καὶ νοσώδους ἅμα χειμῶνος ἐν Σαρδόνι γενομένου, καὶ τοῦ στρατηγοῦ τὰς πόλεις ἐσθῆτα τοῖς στρατιώταις αἰτοῦντος, ἔπεμψαν εἰς Ῥώμην παραιτούμενοι. Δεξαμένης δὲ τῆς βουλῆς τὴν παραίτησιν αὐτῶν, καὶ τὸν στρατηγὸν ἄλλοθεν ἀμφιέζειν τοὺς στρατιώτας κελευούσης, ἀποροῦντος δ' ἐκείνου, καὶ τῶν στρατιωτῶν κακοπαθούντων, ἐπελθὼν τὰς πόλεις ὁ Γαΐος, αὐτοὺς ἀφ' ἑαυτῶν ἐποίησεν ἐσθῆτα πέμψαι, καὶ βοηθῆσαι τοῖς Ῥωμαίοις. Ταῦτα πάλιν εἰς Ῥώμην ἀπαγγελλόμενα, καὶ δοκοῦντα δημαγωγίας προάγωνες εἶναι, διετάραττε τὴν βουλήν. Καὶ πρῶτον μὲν ἐν Λιβύῃ παρὰ Μικιψᾷ, τοῦ βασιλέως, πρέσβεις παραγενομένους, καὶ λέγοντας, ὡς ὁ βασιλεὺς χάριτι Γαΐου Γράκχου πέμψειεν εἰς Σαρδόνα σῖτον τῷ στρατηγῷ, δυσχεραίνοντες ἐξέβαλον· ἔπειτα δόγμα

ποιοῦνται, τοῖς μὲν στρατιώταις διαδοχὴν ἀποστα-
λῆναι, τὸν δ' Ὀρέστην ἐπιμένειν, ὡς δὴ καὶ τοῦ
Γαΐου διὰ τὴν ἀρχὴν παραμενοῦντος. Ὁ δὲ, τού-
των αὐτῷ προσπεσόντων, εὐθὺς ἐξέπλευσε πρὸς
ὀργὴν, καὶ φανεὶς ἐν Ῥώμῃ παρ' ἐλπίδας, οὐ μό-
νον ὑπὸ τῶν ἐχθρῶν αἰτίαν εἶχεν, ἀλλὰ καὶ τοῖς
πολλοῖς ἀλλόκοτον ἐδόκει, τὸ ταμίαν ὄντα προαπο-
στῆναι τοῦ ἄρχοντος. Οὐ μὴν ἀλλὰ κατηγορίας
αὐτῷ γενομένης ἐπὶ τῶν τιμητῶν, αἰτησάμενος λό-
γον, οὕτω μετέστησε τὰς γνώμας τῶν ἀκουσάντων,
ὥστ' ἀπελθεῖν ἠδικῆσθαι τὰ μέγιστα δόξας. Ἐ-
στρατεῦσθαι μὲν γὰρ ἔφη δώδεκα ἔτη, τῶν ἄλλων
δ56 δέκα στρατευομένων ἐν ἀνάγκαις· ταμιεύων δὲ τῷ
στρατηγῷ παραμεμενηκέναι τριετίαν, τοῦ νόμου
μετ' ἐνιαυτὸν ἐπαγελθεῖν διδόντος· μόνος δὲ τῶν
στρατευσαμένων πλῆρες τὸ βαλλάντιον εἰσενηνοχὼς
κενὸν ἐξενηνοχέναι, τρὶς δ' ἄλλους ἐκπιόντας ὃν εἰσ-
ήνεγκαν οἶνον, ἀργυρίου καὶ χρυσίου μεστοὺς δεῦ-
ρο τοὺς ἀμφορεῖς ἥκειν κομίζοντας.

III. Ἐκ τούτου πάλιν ἄλλας αἰτίας αὐτῷ καὶ
δίκας ἐπῆγον, ὡς τοὺς συμμάχους ἀφιστάντι καὶ
κεκοινωνηκότι τῆς περὶ Φρέγελλαν ἐνδειχθείσης
συνωμοσίας. Ὁ δὲ πᾶσαν ὑποψίαν ἀπολυσάμενος,
καὶ φανεὶς καθαρὸς, εὐθὺς ἐπὶ δημαρχίαν ὥρμησε,
τῶν μὲν γνωρίμων ἀνδρῶν ἁμαλῶς ἁπάντων ἐναν-
τιουμένων πρὸς αὐτὸν, ὄχλου δὲ τοσούτου συρρέον-
τος εἰς τὴν πόλιν ἐκ τῆς Ἰταλίας, καὶ συναρχαι-
ρεσιάζοντος, ὡς πολλοῖς μὲν οἰκήσεις ἐπιλιπεῖν, τοῦ
δὲ πεδίου μὴ δεξαμένου τὸ πλῆθος, ἀπὸ τῶν τε-
γῶν καὶ τῶν κεράμων τὰς φωνὰς συνηχεῖν. Το-
σοῦτον δ' οὖν ἐξεβιάσαντο τὸν δῆμον οἱ δυνατοὶ,
καὶ τῆς ἐλπίδος τοῦ Γαΐου καθεῖλον, ὅσον οὐχ, ὡς
προσεδόκησε, πρῶτον, ἀλλὰ τέταρτον ἀναγορευθῆ-
ναι. Παραλαβὼν δὲ τὴν ἀρχὴν, εὐθὺς ἦν ἁπάν-
των πρῶτος, ἰσχύων τε τῷ λέγειν, ὡς ἄλλος οὐδεὶς,
καὶ τοῦ πάθους αὐτῷ παρρησίαν πολλὴν διδόντος
ἀνακλαιομένῳ τὸν ἀδελφὸν. Ἐνταῦθα γὰρ ἐξ ἁπά-
σης προφάσεως περιῆγε τὸν δῆμον, ἀναμιμνήσκων

τῶν γεγονότων, καὶ παρατιθεὶς τὰ τῶν προγόνων, ὡς ἐκεῖνοι μὲν καὶ Φαλίσκους ἐπολέμησαν ὑπὲρ Γενυκίου τινὸς, δημάρχου, λοιδορηθέντος, καὶ Γαΐου Βουττουρίου θάνατον κατέγνωσαν, ὅτι δημάρχῳ πορευομένῳ δι' ἀγορᾶς οὐχ ὑπεξέστη μόνος. „Ὑμῶν δ' ὁρώντων, ἔφη, Τιβέριον ξύλοις συνέκοπτον οὗτοι, καὶ διὰ μέσης τῆς πόλεως ἐσύροντο νεκρὸς ἐκ Καπετωλίου, ῥιφησόμενος εἰς τὸν ποταμόν· οἱ δ' ἁλισκόμενοι τῶν φίλων ἀπέθνησκον ἄκριτοι. Καίτοι πατρίων ἐστιν ἡμῖν, εἴ τις ἔχων δίκην θανατικὴν μὴ ὑπακούει, τούτου πρὸς τὰς θύρας ἕωθεν ἐλθόντα σαλπιγκτὴν, ἀνακαλεῖσθαι τῇ σάλπιγγι, καὶ μὴ πρότερον ἐπιφέρειν ψῆφον αὐτῷ τοὺς δικαστάς. Οὕτως εὐλαβεῖς καὶ πεφυλαγμένοι περὶ τὰς κρίσεις ἦσαν."

IV. Τοιούτοις λόγοις προανασείσας τὸν δῆμον, (ἦν δὲ καὶ μεγαλοφωνότατος καὶ ῥωμαλεώτατος ἐν τῷ λέγειν) δύο νόμους εἰσέφερε, τὸν μὲν, εἴ τινος ἄρχοντος ἀφῄρητο τὴν ἀρχὴν ὁ δῆμος, οὐκ ἐῶντα τούτῳ δευτέρας ἀρχῆς μετουσίαν εἶναι· τὸν δ', εἴ τις ἄρχων ἄκριτον ἐκκεκηρύχοι πολίτην, κατὰ τούτου κρίσιν διδόντα τῷ δήμῳ. Τούτων τῶν νόμων ἀντικρυς ὁ μὲν Μάρκον Ὀκταούϊον ἠτίμου, τὸν ὑπὸ Τιβερίου τῆς δημαρχίας ἐκπεσόντα, τῷ δ' ἐνείχετο Ποπίλλιος· οὗτος γὰρ στρατηγῶν τοὺς τοῦ Τιβερίου φίλους ἐξεκήρυξε. Καὶ Ποπίλλιος μὲν οὐχ ὑποστὰς τὴν κρίσιν, ἔφυγεν ἐξ Ἰταλίας· τὸν δ' ἕτερον νόμον Γάϊος αὐτὸς ἐπανείλετο, φήσας, τῇ μητρὶ Κορνηλίᾳ δεηθείσῃ χαρίζεσθαι τὸν Ὀκταούϊον. Καὶ ὁ δῆμος ἠγάσθη καὶ συνεχώρησε, τιμῶν τὴν Κορνηλίαν οὐδὲν ἧττον ἀπὸ τῶν παίδων, ἢ τοῦ πατρός· ἧς γε καὶ χαλκῆν εἰκόνα στήσας ὕστερον, ἐπέγραψε Κορνηλίαν, μητέρα Γράκχων. Ἀπομνημονεύεται δὲ καὶ τοῦ Γαΐου πολλὰ ῥητορικῶς καὶ ἀγοραίως ὑπὲρ αὐτῆς εἰρημένα πρός τινα τῶν ἐχθρῶν· „Σὺ γὰρ, ἔφη, Κορνηλίαν λοιδορεῖς, τὴν Τιβέριον τεκοῦσαν;" Ἐπεὶ δὲ διαβεβλημένος ἦν εἰς μαλακίαν ὁ λοιδορηθείς· „Τίνα δ', εἶπεν,

ἔχων παῤῥησίαν, συγκρίνεις Κορνηλίᾳ σεαυτόν; Ἕτερος γάρ, ὡς ἐκείνη; Καὶ μὴν πάντες ἴσασι Ῥωμαῖοι πλείω χρόνον ἐκείνην ἀπ' ἀνδρὸς οὖσαν, ἢ σέ, τὸν ἄνδρα." Τοιαύτη μὲν ἡ πικρία τῶν λόγων ἦν αὐτοῦ, καὶ πολλὰ λαβεῖν ἐκ τῶν γεγραμμένων ἐστὶν ὅμοια.

837 V. Τῶν δὲ νόμων, οὓς εἰσέφερε τῷ δήμῳ χαριζόμενος καὶ καταλύων τὴν σύγκλητον, ὁ μὲν ἦν κληρουχικὸς, ἅμα νέμων τοῖς πένησι τὴν δημοσίαν· ὁ δὲ στρατιωτικὸς, ἐσθῆτά τε πελεύων δημοσίᾳ χορηγεῖσθαι, καὶ μηδὲν εἰς τοῦτο τῆς μισθοφορᾶς ὑφαιρεῖσθαι τῶν στρατευομένων, καὶ νεώτερον ἑπτὰ ἐτῶν καὶ δέκα μὴ καταλέγεσθαι στρατιώτην· ὁ δὲ συμμαχικὸς, ἰσοψήφους ποιῶν τοῖς πολίταις τοὺς Ἰταλιώτας· ὁ δὲ σιτικὸς, ἐπευωνίζων τοῖς πένησι τὴν ἀγοράν· ὁ δὲ δικαστικὸς, ᾧ τὸ πλεῖστον ἀπέκοψε τῆς τῶν συγκλητικῶν δυνάμεως. Μόνοι γὰρ ἔκριναν τὰς δίκας, καὶ διὰ τοῦτο φοβεροὶ τῷ τε δήμῳ καὶ τοῖς ἱππεῦσιν ἦσαν· ὁ δὲ τριακοσίους τῶν ἱππέων προσκατέλεξεν αὐτοῖς, οὓς τριακοσίους, καὶ τὰς κρίσεις κοινὰς τῶν ἑξακοσίων ἐποίησε. Τοῦτον τὸν νόμον εἰσφέρων, τά τ' ἄλλα λέγεται σπουδάσαι διαφερόντως, καὶ τῶν πρὸ αὐτοῦ πάντων δημαγωγῶν πρὸς τὴν σύγκλητον ἀφορώντων καὶ τὸ καλούμενον κομίτιον, πρῶτος τότε σταφεὶς ἔξω πρὸς τὴν ἀγορὰν δημηγορῆσαι, καὶ τὸ λοιπὸν οὕτω ποιεῖν ἐξ ἐκείνου, μικρᾷ παρεγκλίσει καὶ μεταθέσει σχήματος μέγα πρᾶγμα κινήσας, καὶ μετενεγκὼν τρόπον τινὰ τὴν πολιτείαν ἐκ τῆς ἀριστοκρατίας εἰς τὴν δημοκρατίαν, ὡς τῶν πολλῶν δέον, οὐ τῆς βουλῆς, στοχάζεσθαι τοὺς λέγοντας.

VI. Ἐπεὶ δ' οὐ μόνον ἐδέξατο τὸν νόμον τοῦτον ὁ δῆμος, ἀλλὰ καὶ ἐκεῖνο τοὺς κρίνοντας ἐκ τῶν ἱππέων ἔδωκε καταλέξαι, μοναρχικὴ τις ἰσχὺς ἐγεγόνει περὶ αὐτόν· ὥστε καὶ τὴν σύγκλητον ἀνέχεσθαι συμβουλεύοντος αὐτοῦ. Συνεβούλευε δ' ἀεὶ

τι τῶν ἐκείνῃ πρεπόντων εἰσηγούμενος· οἷον ἦν καὶ τὸ περὶ τοῦ σίτου δόγμα μετριώτατον καὶ κάλλιστον, ὃν ἔπεμψε μὲν ἐξ Ἰβηρίας Φάβιος ἀντιστράτηγος· ἐκεῖνος δ' ἔπεισε τὴν βουλὴν ἀποδομένην τὸν σῖτον, ἀναπέμψαι ταῖς πόλεσι τὸ ἀργύριον, καὶ προσεπαιτιάσασθαι τὸν Φάβιον, ὡς ἐπαχθῆ καὶ ἀφόρητον ποιοῦντα τὴν ἀρχὴν τοῖς ἀνθρώποις· ἐφ' ᾧ μεγάλην ἔσχε δόξαν μετ' εὐνοίας ἐν ταῖς ἐπαρχίαις. Ἔγραψε δὲ καὶ πόλεις ἀποικίδας ἐκπέμπεσθαι, καὶ τὰς ὁδοὺς ποιεῖσθαι, καὶ κατασκευάζεσθαι σιτοβόλια· τούτοις ἅπασι πραττομένοις αὐτὸν ἄρχοντα καὶ διοικητὴν ἱστάς, καὶ πρὸς οὐδὲν ἀποτρυόμενος τῶν τοσούτων καὶ τηλικούτων, ἀλλὰ καὶ θαυμαστῷ τινι τάχει καὶ πόνῳ τῶν γινομένων, ὡς μόνον, ἕκαστον ἐξεργαζόμενος· ὥστε καὶ τοὺς πάνυ μισοῦντας αὐτὸν καὶ δεδοικότας ἐκπλήττεσθαι τὸ διὰ πάντων ἀνύσιμον καὶ τελεσιουργόν. Οἱ δὲ πολλοὶ καὶ τὴν ὄψιν αὐτὴν ἐθαύμαζον, ἐξηρτημένον ὁρῶντες αὐτοῦ πλῆθος ἐργολάβων, τεχνιτῶν, πρεσβευτῶν, ἀρχόντων, στρατιωτῶν, φιλολόγων· οἷς πᾶσιν ἐντυγχάνων μετ' εὐκολίας, καὶ τὸ σεμνὸν ἐν τῷ φιλανθρώπῳ διαφυλάττων, καὶ νέμων αὐτοῦ τὸ ἁρμόττον οἰκείως ἑκάστῳ, χαλεπους ἀπεδείκνυε συκοφάντας τοὺς φοβεροὺς αὐτὸν, ἢ φορτικὸν ὅλως, ἢ βίαιον ἀποκαλοῦντας. Οὕτω δεινότερος ἦν ἐν ταῖς ὁμιλίαις καὶ ταῖς πράξεσιν, ἢ τοῖς ἀπὸ τοῦ βήματος λόγοις δημαγωγός.

VII. Ἐσπούδασε δὲ μάλιστα περὶ τὴν ὁδοποιΐαν, τῆς τε χρείας ἅμα καὶ τοῦ πρὸς χάριν καὶ κάλλος ἐπιμεληθείς. Εὐθεῖαι γὰρ ἦγοντο διὰ τῶν χωρίων ἀπρεμεῖς· καὶ τὰ μὲν ἐστόρνυτο πέτρᾳ ξεστῇ, τὸ δ' ἄμμου χώμασι συνηνειμένοις ἐπυκνοῦτο. Πεμπλαμένων δὲ τῶν κοίλων, καὶ ζευγνυμένων γεφύραις, ἅσα χειμαῤῥοι διέκοπτον, ἡ φάραγγες, ὕψος τε τῶν ἑκατέρωθεν ἴσον καὶ παράλληλον λαμβανόντων, ὁμαλὴν καὶ καλὴν ὄψιν εἶχε δι' ὅλου τὸ ἔργον. Πρὸς δὲ τούτοις διαμετρήσας κατὰ μίλιον 858

ὁδὸν πᾶσαν, (τὸ δὲ μίλιον ἀπὸ σταδίων ὀλίγον ἀποδεῖ) κίονας λιθίνους σημεῖα τοῦ μέτρου κατέστησεν. Ἄλλους δὲ λίθους ἔλαττον ἀπέχοντας ἀλλήλων ἑκατέρωθεν τῆς ὁδοῦ διέθηκεν, ὡς εἴη ῥᾳδίως τοῖς ἵπποις ἔχουσιν ἐπιβαίνειν ἀπ' αὐτῶν, ἀναβολέως μὴ δεομένοις.

VIII. Ἐπὶ τούτοις τοῦ δήμου μεγαλύνοντος αὐτὸν, καὶ πᾶν ὁτιοῦν ἑτοίμως ἔχοντος ἐνδείκνυσθαι πρὸς εὔνοιαν, ἔφη ποτὲ δημηγορῶν αὐτὸς αἰτήσειν χάριν, ἣν λαβὼν μὲν, ἀντὶ παντὸς ἕξειν· εἰ δ' ἀποτύχοι, μηδὲν ἐκείνοις μεμψιμοιρήσειν. Τοῦτο ῥηθὲν ἔδοξεν αἴτησις ὑπατείας εἶναι, καὶ προσδοκίαν πᾶσιν, ὡς ἅμα μὲν ὑπατείαν, ἅμα δὲ δημαρχίαν μετιὼν, παρέσχεν. Ἐναντίων δὲ τῶν ὑπατικῶν ἀρχαιρεσίων, καὶ μετεώρων ὄντων ἁπάντων, ὤφθη Γάϊον Φάννιον κατάγων εἰς τὸ πεδίον, καὶ συναρχαιρεσιάζων ἐκείνῳ μετὰ τῶν φίλων. Τοῦτο ῥοπὴν ἤνεγκε τῷ Φαννίῳ μεγάλην. Κἀκεῖνος μὲν ὕπατος, Γάϊος δὲ δήμαρχος ἀπεδείχθη τὸ δεύτερον, οὐ παραγγέλλων, οὐδὲ μετιὼν, ἀλλὰ τοῦ δήμου σπουδάσαντος. Ἐπεὶ δ' ἑώρα τὴν μὲν συγκλητον ἐχθρὰν ἀντικρυς, ἀμβλὺν δὲ τῇ πρὸς αὐτὸν εὐνοίᾳ τὸν Φάννιον, αὖθις ἑτέροις νόμοις ἀπήρτησε τὸ πλῆθος· ἀποικίας μὲν εἰς Τάραντα καὶ Καπύην πέμπεσθαι κράφων, καλῶν δ' ἐπὶ κοινωνίᾳ πολιτείας τοὺς Λατίνους. Ἡ δὲ βουλὴ, δείσασα, μὴ παντάπασιν ἄμαχος γένηται, καινὴν καὶ ἀσυνήθη πεῖραν ἐπῆγε τοῖς πολλοῖς ἀποτροπῆς, ἀντιδημαγωγοῦσα καὶ χαριζομένη παρὰ τὸ βέλτιστον. Ἦν γὰρ εἷς τῶν τοῦ Γαΐου συναρχόντων Λίβιος Δρεῦσος, ἀνὴρ οὔτε γεγονὼς τινὸς Ῥωμαίων, οὔτε τεθραμμένος χεῖρον· ἤθει δὲ καὶ λόγῳ καὶ πλούτῳ ἐν τοῖς μάλιστα τιμωμένοις καὶ δυναμένοις ἀπὸ τούτων ἐναμιλλος. Ἐπὶ τοῦτον μὲν οὖν οἱ γνωριμώτατοι τρέπονται· καὶ παρεκάλουν αὐτὸν ἅψασθαι τοῦ Γαΐου, καὶ μετ' αὐτῶν ἐπὶ τὸν ἄνδρα συστῆναι, μὴ βιαζόμενον, μηδ' ἀντικρούοντα τοῖς πολλοῖς, ἀλλὰ πρὸς

ἡδονὴν ἄρχοντα, καὶ χαριζόμενον, ὑπὲρ ὧν καὶ ἀπεχθάνεσθαι καλῶς εἶχεν.

IX. Ἐπιδοὺς οὖν ὁ Λίβιος εἰς ταῦτα τῇ βουλῇ τὴν ἑαυτοῦ δημαρχίαν, νόμους ἔγραψεν, οὔτε τῶν καλῶν τινας, οὔτε τῶν λυσιτελῶν ἐχομένους, ἀλλ' ἓν μόνον, ὑπερβαλέσθαι τὸν Γαΐου ἡδονῇ καὶ χάριτι τῶν πολλῶν, ὥσπερ ἐν κωμῳδίᾳ, σπεύδων καὶ διαμιλλώμενος. Ὧι καὶ καταφανεστάτην ἐποίησεν ἑαυτὴν ἡ σύγκλητος, οὐ δυσχεραίνουσα τοῖς τοῦ Γαΐου πολιτεύμασιν, ἀλλ' αὐτὸν ἐκεῖνον ἀπελεῖν, ἢ ταπεινῶσαι παντάπασι βουλομένη. Τὸν μὲν γὰρ ἀποικίας δύο γράψαντα, καὶ τοὺς χαριεστάτους τῶν πολιτῶν εἰσάγοντα, δημοκοπεῖν ἠτιῶντο· Λιβίῳ δὲ, δώδεκα κατοικίζοντι, καὶ τρισχιλίους εἰς ἑκάστην ἀποστέλλοντι τῶν ἀπόρων, συνελαμβάνοντο. Κἀκείνῳ μέν, ὅτι χώραν διένειμε τοῖς πένησι, προστάξας ἑκάστῳ τελεῖν ἀποφορὰν εἰς τὸ δημόσιον, ὡς κολακεύοντι τοὺς πολλοὺς ἀπηχθάνοντο· Λίβιος δὲ καὶ τὴν ἀποφορὰν ταύτην τῶν νεμεμένων ἀφαιρῶν, ἤρεσκεν αὐτοῖς. Ἔτι δ', ὁ μὲν τοῖς Λατίνοις ἰσοψηφίαν διδοὺς ἐλύπει· τοῦ δ', ὅπως μηδ' ἐπὶ στρατείας ἐξῇ τινὰ Λατίνων ῥάβδοις αἰκίσασθαι, γράψαντος, ἐβοήθουν τῷ νόμῳ. Καὶ μέντοι καὶ αὐτὸς ὁ Λίβιος ἀεὶ δημηγορῶν ἔλεγεν, ὡς γράφοι ταῦτα τῇ βουλῇ δοκοῦντα κηδομένῃ τῶν πολλῶν· ὃ δὴ καὶ μόνον ἀπὸ τῶν πολιτευμάτων αὐτοῦ χρήσιμον ὑπῆρχεν. Ἡμερώτερον γὰρ ἔσχε πρὸς τὴν βουλὴν ὁ δῆμος· καὶ τοὺς γνωριμωτάτους αὐτοῦ πρότερον ὑφορωμένου καὶ μισοῦντος, ἐξέλυσε καὶ κατεπράϋνε τὴν μνησικακίαν καὶ χαλεπότητα ταύτην ὁ Λίβιος, ὡς ἐκ τῆς ἐκείνων ὁρμώμενος γνώμης ἐπὶ τὸ δημαγωγεῖν καὶ χαρίζεσθαι τοῖς πολλοῖς. 839

X. Μεγίστη δὲ τῷ Δρούσῳ πίστις εὐνοίας πρὸς τὸν δῆμον ἐγίνετο καὶ δικαιοσύνης, τὸ μηδὲν αὐτῷ, μηδ' ὑπὲρ ἑαυτοῦ, φαίνεσθαι γράφοντα. Καὶ γὰρ οἰκιστὰς ἑτέρους ἐξέπεμπε τῶν πόλεων, καὶ διοικη-

σεως χρημάτων οὐ προσῆει, τοῦ Γαΐου τὰ πλεῖστα καὶ μέγιστα τῶν τοιούτων αὐτῷ προστιθέντος. Ἐπεὶ δὲ, Ῥουβρίου, τῶν συναρχόντων ἑνὸς, οἰκίζεσθαι Καρχηδόνα γράψαντος, ἀπῃρημένην ὑπὸ Σκηπίωνος, πλήρωι λαχὼν ὁ Γαΐος ἐξέπλευσεν εἰς Λιβύην ἐπὶ τὸν κατοικισμόν, ἔτι μᾶλλον ἐποβὰς ὁ Δροῦσος ἀπόντος αὐτοῦ, τὸν δῆμον ὑπελάμβανε καὶ προσήγετο, μάλιστα ταῖς κατὰ τοῦ Φουλβίου διαβολαῖς. Ὁ δὲ Φούλβιος οὗτος ἦν τοῦ Γαΐου φίλος, καὶ συνάρχων ἐπὶ τὴν διανομὴν τῆς χώρας ἠρημένος· ἦν δὲ θορυβώδης, καὶ μισούμενος μὲν ὑπὸ τῆς βουλῆς ἀντικρυς, ὑποπτος δὲ καὶ τοῖς ἄλλοις, ὡς τὰ συμμαχικὰ διακινῶν, καὶ παροξύνων κρύφα τοὺς Ἰταλιώτας πρὸς ἀπόστασιν. Οἷς ἀναποδείκτως καὶ ἀνελέγκτως λεγομένοις αὐτὸς προσετίθει πίστιν ὁ Φούλβιος, οὐχ ὑγιαινούσης οὐδ' εἰρηνικῆς ὢν προαιρέσεως. Τοῦτο μάλιστα κατέλυε τὸν Γαΐον, ἀπολαύοντα τοῦ μίσους. Καὶ ὅτε Σκηπίων Ἀφρικανὸς ἐξ οὐδενὸς αἰτίου προφανοῦς ἐτελεύτησε, καὶ σημεῖά τινα τῷ νεκρῷ πληγῶν καὶ βίας ἐπιδραμεῖν ἔδοξεν, ὡς ἐν τοῖς περὶ ἐκείνου γέγραπται· τὸ μὲν πλεῖστον ἐπὶ τὸν Φούλβιον ἦλθε τῆς διαβολῆς, ἐχθρὸν ὄντα, καὶ τὴν ἡμέραν ἐκείνην ἐπὶ τοῦ βήματος τῷ Σκηπίωνι λελοιδορημένον· ἥψατο δὲ καὶ τοῦ Γαΐου ὑπόνοια. Καὶ δεινὸν οὕτως ἔργον, ἐπ' ἀνδρὶ τῷ πρώτῳ καὶ μεγίστῳ Ῥωμαίων τολμηθέν, οὐκ ἔτυχε δίκης, οὐδ' εἰς ἔλεγχον προῆλθεν. Ἐνίστησαν γὰρ οἱ πολλοὶ, καὶ κατέλυσαν τὴν κρίσιν, ὑπὲρ τοῦ Γαΐου φοβηθέντες, μὴ περιπετὴς τῇ αἰτίᾳ τοῦ φόνου ζητουμένου γένηται. Ταῦτα μὲν οὖν ἐγεγόνει πρότερον.

XI. Ἐν δὲ τῇ Λιβύῃ περὶ τὸν τῆς Καρχηδόνος κατοικισμὸν, ἣν ὁ Γαΐος Ἰουνωνίαν, ὅπερ ἐστὶν Ἡραίαν, ὠνόμασε, πολλὰ κωλύματα γενέσθαι παρὰ τοῦ δαιμονίου λέγουσιν. Ἥ τε γὰρ πρώτη σημαία, πνεύματος ἁρπάζοντος αὐτὴν, τοῦ δὲ φέροντος ἐκρατῶς ἀντεχομένου, συνετρίβη· καὶ τὰ ἱερὰ τοῖς βωμοῖς ἐπικείμενα διεσκέδασεν ἀνέμου θύελλα, καὶ

διέβησεν ὑπὲρ τοὺς ὅρους τῆς γεγενημένης ὑπογραφῆς· αὐτοὺς δὲ τοὺς ὅρους ἀνέσπασαν ἐπελθόντες λύκοι, καὶ μακρὰν ᾤχοντο φέροντες. Οὐ μὴν ἀλλὰ πάντα συντάξας καὶ διακοσμήσας ὁ Γάϊος ἡμέραις ἑβδομήκοντα ταῖς πάσαις, ἐπανῆλθεν εἰς Ῥώμην, πιέζεσθαι τὸν Φούλβιον ὑπὸ τοῦ Δρούσου πυνθανόμενος, καὶ τῶν πραγμάτων τῆς αὐτοῦ παρουσίας δεομένων. Λεύκιος γὰρ Ὀπίμιος, ἀνὴρ ὀλιγαρχικὸς καὶ δυνατὸς ἐν τῇ βουλῇ, πρότερον μὲν ἐξέπεσεν, ὑπατείαν παραγγέλλων, τοῦ Γαΐου τὸν Φάννιον προαγαγόντος, ἐκεῖνον δὲ καταχαιρεσιάσαντος· τότε δὲ πολλῶν βοηθούντων, ἐπίδοξος ἦν ὑπατεύσειν, ὑπατεύων δὲ, καταλύσειν τὸν Γάϊον, ἤδη τρόπον τινὰ τῆς δυνάμεως αὐτοῦ μαρτυρομένης, καὶ τοῦ δήμου μεστοῦ γεγονότος τῶν νεωτέρων πολιτευμάτων, διὰ τὸ πολλοὺς τοὺς πρὸς χάριν δημαγωγοῦντας εἶναι, καὶ τὴν βουλὴν ὑπείκειν ἐκοῦσαν.

XII. Ἐπανελθὼν δὲ, πρῶτον μὲν ἐκ τοῦ Παλατίου μετῴκησεν εἰς τὸν ὑπὸ τὴν ἀγορὰν τόπον, ὡς δημοτικώτερον, ὅπου πλείστους τῶν ταπεινῶν καὶ πενήτων συνέβαινεν οἰκεῖν· ἔπειτα τῶν νόμων ἐξέθηκε τοὺς λοιποὺς, ὡς ἐπάξων τὴν ψῆφον αὐτοῖς. Ὄχλου δὲ πανταχόθεν αὐτῷ συνιόντος, ἔπεισεν ἡ βουλὴ τὸν ὕπατον, Φάννιον, ἐκβαλεῖν τοὺς ἄλλους, πλὴν Ῥωμαίων, ἅπαντας. Γενομένου δὲ κηρύγματος ἀήθους καὶ ἀλλοκότου, μηδένα τῶν συμμάχων, μηδὲ τῶν φίλων, ἐν Ῥώμῃ φανῆναι περὶ τὰς ἡμέρας ἐκείνας, ἀντεξέθηκεν ὁ Γάϊος διάγραμμα, κατηγορῶν τοῦ ὑπάτου, καὶ τοῖς συμμάχοις, ἂν μένωσι, βοηθήσειν ἐπαγγελλόμενος. Οὐ μὴν ἐβοήθησεν, ἀλλ' ὁρῶν ἕνα τῶν ξένων αὐτοῦ καὶ συνήθων ἑλκόμενον ὑπὸ τῶν ὑπηρετῶν τῶν τοῦ Φαννίου, παρῆλθε, καὶ οὐ προσῆμυνεν· εἴτε τὴν ἰσχὺν, ἐπιλειπουσαν ἤδη, δεδιὼς ἐλέγχειν, εἴτε μὴ βουλόμενος, ὡς ἔλεγεν, ἀψιμαχίας αὐτὸς καὶ συμπλοκὰς ἀρχὰς ζητοῦσι τοῖς ἐχθροῖς παρασχεῖν. Συνέτυχε δ' αὐτῷ καὶ πρὸς τοὺς συναίροντας ἐν ὀργῇ γενέσθαι διὰ τοιαύτην αἰτίαν. Ἔμελλεν ὁ δῆμος θεᾶσθαι μονομάχους ἐν ἀγορᾷ,

καὶ τῶν ἀρχόντων οἱ πλεῖστοι θεωρητήρια κύκλῳ κατασκευάσαντες ἐξεμίσθουν. Ταῦτα ὁ Γάϊος ἐκέλευεν αὐτοὺς καθαιρεῖν, ὅπως οἱ πένητες ἐκ τῶν τόπων ἐκείνων ἀμισθὶ θεάσασθαι δύνωνται. Μηδενὸς δὲ προσέχοντος, ἀναμείνας τὴν πρὸ τῆς θέας νύκτα, καὶ τῶν τεχνιτῶν, ὅσους εἶχεν ἐργολάβους ὑφ' ἑαυτῷ, παραλαβὼν, τὰ θεωρητήρια καθεῖλε, καὶ τῷ δήμῳ σχολάζοντα μεθ' ἡμέραν ἀπέδειξε τὸν τόπον· ἐφ' ᾧ τοῖς μὲν πολλοῖς ἀνὴρ ἔδοξεν εἶναι, τοὺς δὲ συναρχοντας, ὡς ἰταμὸς καὶ βίαιος, ἐλύπησεν. Ἐπ τούτου καὶ τὴν τρίκην ἔδοξε δημαρχίαν ἀφῃρῆσθαι, ψήφων μὲν αὐτῷ πλείστων γενομένων, ἀδίκως δὲ καὶ κακούργως τῶν συναρχόντων ποιησαμένων τὴν ἀναγόρευσιν καὶ ἀνάδειξιν. Ἀλλὰ ταῦτα μὲν ἀμφισβήτησιν εἶχεν. Ἤνεγκε δ' οὐ μετρίως ἀποτυχὼν, καὶ πρός γε τοὺς ἐχθροὺς ἐπεγελῶντας αὐτῷ λέγεται θρασύτερον τοῦ δέοντος εἰπεῖν, ὡς Σαρδόνιον γέλωτα γελῶσιν, οὐ γινώσκοντες, ὅσον αὐτοῖς σκότος ἐκ τῶν αὐτοῦ περικέχυται πολιτευμάτων.

XIII. Ἐπεὶ δὲ καὶ τὸν Ὀπίμιον καταστήσαντες ὕπατον, τῶν νόμων πολλοὺς διέγραφον, καὶ τὴν Καρχηδόνος ἐκίνουν διάταξιν, ἐρεθίζοντες τὸν Γάϊον, ὡς ἂν αἰτίαν ὀργῆς παρασχὼν ἀναιρεθείη, τὸν μὲν πρῶτον χρόνον ἐκαρτέρει, τῶν δὲ φίλων, καὶ μάλιστα τοῦ Φουλβίου παροξύνοντος, ὥρμησε πάλιν συνάγειν τοὺς ἀντιταξομένους πρὸς τὸν ὕπατον. Ἐνταῦθα καὶ τὴν μητέρα λέγουσιν αὐτῷ συστασιάσαι, μισθουμένην ἀπὸ τῆς ξένης κρύφα καὶ πέμπουσαν εἰς Ῥώμην ἄνδρας, ὡς δὴ θεριστάς· ταῦτα γὰρ ἐν τοῖς ἐπιστολίοις αὐτῆς ἠνιγμένα γεγράφθαι πρὸς τὸν υἱόν. Ἕτεροι δὲ, καὶ πάσῃ τῇ Κορνηλίᾳ δυσχεραινούσῃ, ταῦτα πράττεσθαι λέγουσιν. Ἦν δ' οὖν ἔμελλον ἡμέρᾳ τοὺς νόμους λύσειν οἱ περὶ τὸν Ὀπίμιον, κατείληπτο μὲν ὑπ' ἀμφοτέρων ἕωθεν εὐθὺς τὸ Καπετώλιον θύσαντος δὲ τοῦ ὑπάτου, τῶν ὑπηρετῶν τις αὐτοῦ, Κόϊντος Ἀντύλλιος, διαφέρων ἑτέρωσε τὰ σπλάγχνα, πρὸς

τοὺς περὶ τὸν Φούλβιον εἶπε· „Δότε τόπον ἀγαθοῖς, κακοὶ πολῖται.“ Τινὲς δέ φασιν, ἅμα τῇ φωνῇ ταύτῃ καὶ τὸν βραχίονα γυμνὸν οἷον ἐφ' ὕβρει σχηματίζοντα παρενεγκεῖν. Ἀποθνήσκει γοῦν εὐθὺς ὁ Ἀντύλλιος ἐκεῖ, μεγάλοις γραφείοις κεντούμενος, ἐπ' αὐτὸ τοῦτο πεποιῆσθαι λεγομένοις. Καὶ τὸ μὲν πλῆθος διεταράχθη πρὸς τὸν φόνον, ἐναντία δὲ τοὺς ἡγεμόνας ἔσχε διάθεσις. Ὁ μὲν γὰρ Γάϊος ἤχθετο, καὶ κακῶς ἔλεγε τοὺς περὶ αὐτὸν, ὡς αἰτίαν δεομένοις πάλαι καθ' ἑαυτῶν τοῖς ἐχθροῖς δεδωκότας· ὁ δ' Ὀπίμιος, ὥσπερ ἐνδόσιμον λαβὼν, ἐπῆρτο, καὶ παρώξυνε τὸν δῆμον ἐπὶ τὴν ἄρυναν.

XIV. Καὶ τότε μὲν, ὄμβρου γενομένου, διελύθησαν· ἅμα δ' ἡμέρᾳ τὴν μὲν βουλὴν ὁ ὕπατος συνάγων, ἔνδον ἐχρημάτιζεν, ἕτεροι δὲ τὸ τοῦ Ἀντυλλίου σῶμα γυμνὸν ἐπὶ κλίνης προθέμενοι, δι' ἀγορᾶς παρὰ τὸ βουλευτήριον ἐπίηδες παρεκόμιζον, οἰμωγῇ χρώμενοι καὶ θρήνῳ, γινώσκοντες μὲν τοῦ 841
Ὀπιμίου τὰ πραττόμενα, προσποιουμένου δὲ θαυμάζειν· ὥστε καὶ τοὺς βουλευτὰς προελθεῖν. Καταπεθείσης δὲ τῆς κλίνης εἰς μέσον, οἱ μὲν ἐσχετλίαζον, ὡς ἐπὶ δεινῷ καὶ μεγάλῳ πάθει· τοῖς δὲ πολλοῖς ἔπῆει μισεῖν καὶ προβάλλεσθαι τοὺς ὀλιγαρχικοὺς, ὡς Τιβέριον μὲν Γράκχον ἐν Καπετωλίῳ φονεύσαντες αὐτοὶ, δήμαρχον ὄντα, καὶ τὸν νεκρὸν προσεξέβαλον· ὁ δ' ὑπηρέτης, Ἀντύλλιος, οὐ δίκαια μὲν ἴσως πεπονθὼς, τὴν δὲ πλείστην αἰτίαν εἰς τὸ παθεῖν αὐτῷ παρασχών, ἐν ἀγορᾷ πρόκειται, καὶ περιέστηκεν ἡ Ῥωμαίων βουλὴ θρηνοῦσα, καὶ συνεκκομίζουσα, μισθωτὸν ἄνθρωπον ἐπὶ τῷ τὸν ἔτι λειπόμενον ἀνελεῖν τῶν τοῦ δήμου κηδομένων. Ἐκ τούτου πάλιν εἰς τὸ βουλευτήριον ἀπελθόντες, ἐψηφίσαντο καὶ προσέταξαν Ὀπιμίῳ, τῷ ὑπάτῳ, σώζειν τὴν πόλιν, ὅπως δύναιτο, καὶ καταλύειν τοὺς τυράννους. Ἐκείνου δὲ προειπόντος, ἐπὶ τὰ ὅπλα χωρεῖν τοὺς συγκλητικοὺς, καὶ τῶν ἱππέων ἑκάστῳ παράγγελμα δόντος, ἄγειν ἕωθεν οἰκέτας δύο καθω-

πλισμένους, ὁ μὲν Φούλβιος ἀντιπαρεσκευάζετο, καὶ συνῆγεν ὄχλον· ὁ δὲ Γάϊος, ἐκ τῆς ἀγορᾶς ἀπερχόμενος, ἔστη κατὰ τὸν τοῦ πατρὸς ἀνδριάντα, καὶ πολὺν χρόνον ἐμβλέψας εἰς αὐτὸν, οὐδὲν ἐφθέγξατο, δακρύσας δὲ καὶ στενάξας ἀπῆει. Τοῦτο πολλοῖς τῶν ἰδόντων οἰκτεῖραι τὸν Γάϊον ἐπῆλθε· καὶ κακίσαντες αὐτοὺς, ὡς ἐγκαταλείποντες τὸν ἄνδρα καὶ προδιδόντες, ἦκον ἐπὶ τὴν οἰκίαν, καὶ παρενυκτέρευον ἐπὶ τῶν θυρῶν, οὐχ ὁμοίως τοῖς τὸν Φούλβιον φυλάττουσιν. Ἐκεῖνοι μὲν γὰρ ἐν κρότοις καὶ ἀλαλαγμοῖς πίνοντες καὶ θρασυνόμενοι διετέλεσαν, αὐτοῦ τοῦ Φουλβίου πρώτου μεθυσκομένου, καὶ πολλὰ φορτικῶς παρ' ἡλικίαν φθεγγομένου καὶ πράττοντος· οἱ δὲ περὶ τὸν Γάϊον ὡς ἐπὶ συμφορᾷ κοινῇ τῆς πατρίδος ἡσυχίαν ἄγοντες, καὶ περισκοποῦμενοι τὸ μέλλον, ἐν μέρει φυλάττοντες καὶ ἀναπαυόμενοι διῆγον.

XV. Ἅμα δ' ἡμέρᾳ τὸν μὲν Φούλβιον, ἐν τοῦ πότου καθεύδοντα, μόλις ἐπεγείραντες, ὡπλίζοντο τοῖς περὶ τὴν οἰκίαν αὐτοῦ λαφύροις, ἃ Γαλάτας νενικηκὼς, ὅτε ὑπάτευεν, εἰλήφει, καὶ μετὰ πολλῆς ἀπειλῆς καὶ κραυγῆς ἐχώρουν καταληψόμενοι τὸν Ἀβεντῖνον λόφον. Ὁ δὲ Γάϊος ὁπλίσασθαι μὲν οὐκ ἠθέλησεν, ἀλλ', ὥσπερ εἰς ἀγοράν, ἐν τηβέννῳ προῆει, μικρὸν ἐπεζωσμένος ἐγχειρίδιον. Ἐξιόντι δ' αὐτῷ περὶ τὰς θύρας ἡ γυνὴ προσπεσοῦσα, καὶ περιπτύξασα τῶν χειρῶν τῇ μὲν αὐτὸν ἐκεῖνον, τῇ δὲ τὸ παιδίον, „Οὐκ ἐπὶ τὸ βῆμά σε, εἶπεν, ὦ Γάϊε, προπέμπω δήμαρχον, ὡς πρότερον, καὶ νομοθέτην, οὐδ' ἐπὶ πόλεμον ἔνδοξον, ἵνα μοι καὶ παθών τι τῶν κοινῶν ἀπολίπῃς τιμώμενον γοῦν πένθος· ἀλλὰ τοῖς Τιβερίου φονεῦσιν ὑποβάλλεις σεαυτὸν, ἄνοπλον μὲν καλῶς, ἵνα πάθῃς τι μᾶλλον, ἢ δράσῃς, πρὸς οὐδὲν δὲ τοῖς κοινοῖς ὄφελος ἀπολῇ. Κεκράτηκεν ἤδη τὰ χείρω βίᾳ καὶ σιδήρῳ τὰς δίκας πράττουσιν. Εἰ περὶ Νομαντίαν ὁ σὸς ἀδελφὸς ἔπεσεν, ὑπόσπονδος ἂν ἡμῖν ἀπεδόθη νεκρός· νῦν δ' ἴσως κἀγὼ ποταμοῦ τινος ἢ θαλάσσης ἐκ-

τις ἔσομαι, φῆναί ποτε τὸ σὸν σῶμα φρουρούμενον. Τί γὰρ ἢ νόμοις ἔτι πιστὸν, ἢ θεοῖς, μετὰ τὸν Τιβερίου φόνον;" Τοιαῦτα τῆς Λικιννίας ὀδυρομένης, ἀτρέμα τὰς περιβολὰς ἀπολυσάμενος αὐτῆς ὁ Γάϊος, ἐχώρει σιωπῇ μετὰ τῶν φίλων. Ἡ δὲ τοῦ ἱματίου λαβέσθαι γλιχομένη, καταῤῥεῖσα πρὸς τοὔδαφος, ἔκειτο πολὺν χρόνον ἄναυδος· ἄχρις οὗ λειποθυμήσασαν αὐτὴν οἱ θεράποντες ἀράμενοι, πρὸς Κράσσον ᾤχοντο, τὸν ἀδελφὸν, κομίζοντες.

XVI. Ὁ δὲ Φούλβιος, ὡς ἐγένοντο πάντες ἀθρόοι, πεισθεὶς ὑπὸ τοῦ Γαΐου, πέμπει τῶν υἱῶν τὸν νεώτερον, ἔχοντα κηρύκιον, εἰς ἀγοράν. Ἦν δὲ κάλλι- 842
στος ὁ νεανίσκος ὀφθῆναι· καὶ τότε καταστὰς κοσμίως καὶ μετ' αἰδοῦς δεδακρυμένος, ἐποιήσατο συμβατικοὺς λόγους πρὸς τὸν ὕπατον καὶ τὴν σύγκλητον. Οἱ μὲν οὖν πολλοὶ τῶν παρόντων οὐκ ἀηδῶς πρὸς τὰς διαλύσεις εἶχον· ὁ δ' Ὀπίμιος οὐ δι' ἀγγέλων ἔφη χρῆναι πείθειν τὴν σύγκλητον, ἀλλὰ καταβάντας, ὡς ὑπευθύνους πολίτας, ἐπὶ κρίσιν, καὶ παραδόντας αὑτοὺς οὕτως παραιτεῖσθαι τὴν ὀργήν. τῷ δὲ μειρακίῳ καὶ διηγόρευσεν ἐπὶ τούτοις κατιέναι πάλιν, ἢ μὴ κατιέναι. Γάϊος μὲν οὖν, ὥς φασιν, ἐβούλετο βαδίζειν καὶ πείθειν τὴν σύγκλητον· οὐδενὸς δὲ τῶν ἄλλων συγχωροῦντος, αὖθις ἔπεμψεν ὁ Φούλβιος τὸν παῖδα διαλεξόμενον ὑπὲρ αὐτῶν ὅμοια τοῖς προτέροις. Ὁ δ' Ὀπίμιος σπεύδων μάχην συνάψαι, τὸ μὲν μειράκιον εὐθὺς συνέλαβε καὶ παρέδωκεν εἰς φυλακήν· τοῖς δὲ περὶ τὸν Φούλβιον ἐπῆει μετὰ πολλῶν ὁπλιτῶν καὶ τοξοτῶν Κρητῶν, οἳ μάλιστα βάλλοντες αὐτοὺς καὶ κατατραυματίζοντες συνετάραξαν. Γενομένης δὲ τῆς τροπῆς, ὁ μὲν Φούλβιος, εἴς τι βαλανεῖον ἠμελημένον καταφυγὼν, καὶ μετὰ μικρὸν ἀνευρεθεὶς, κατεσφάγη μετὰ τοῦ πρεσβυτέρου παιδός· ὁ δὲ Γάϊος ὤφθη μὲν ὑπ' οὐδενὸς μαχόμενος, ἀλλὰ δυσανασχετῶν τοῖς γινομένοις, ἀνεχώρησεν εἰς τὸ τῆς Ἀρτέμιδος ἱερόν· ἐκεῖ δὲ βουλόμενος ἑαυτὸν ἀνελεῖν, ὑπὸ τῶν πιστοτάτων ἑταίρων ἐκωλύθη, Πομπωνίου καὶ Λικιννίου· παρόντες γὰρ οὗτοι τό τε ξίφος ἀφεί-

λοντο, καὶ πάλιν φεύγειν ἐπῆραν φυτόν. Ἔνθα δὴ λέγεται καθισθεὶς εἰς γόνυ, καὶ τὰς χεῖρας ἀνατείνας πρὸς τὴν θεὸν, ἐπεύξασθαι, τὸν Ῥωμαίων δῆμον ἀντὶ τῆς ἀχαριστίας ἐκείνης καὶ προδοσίας μηδέποτε παύσασθαι δουλεύοντα. Φανερῶς γὰρ οἱ πλεῖστοι μετεβάλοντο, κηρύγματι δοθείσης ἀδείας.

XVII. Φεύγοντι γοῦν τῷ Γαΐῳ τῶν ἐχθρῶν ἐπιφερομένων, καὶ καταλαμβανόντων περὶ τὴν ξυλίνην γέφυραν, οἱ μὲν δύο φίλοι προχωρεῖν αὐτὸν κελεύσαντες, αὐτοὶ τοὺς διώκοντας ὑπέστησαν, καὶ μαχόμενοι πρὸ τῆς γεφύρας, οὐδένα παρῆκαν, ἕως ἀπέθανον. Τῷ δὲ Γαΐῳ συνέφευγεν εἷς οἰκέτης, ὄνομα Φιλοκράτης· πάντων μὲν, ὥσπερ ἐν ἀμίλλῃ, παρακελευομένων, οὐδενὸς δὲ βοηθοῦντος, οὐδ' ἵππον αἰτουμένῳ παρασχεῖν ἐθελήσαντος· ἐπέκειντο γὰρ ἐγγὺς οἱ διώκοντες. Ὁ δὲ φθάνει μικρὸν εἰς ἱερὸν ἄλσος Ἐρινύων καταφυγὼν, κἀκεῖ διαφθείρεται, τοῦ Φιλοκράτους ἀνελόντος ἑαυτὸν ἐπισφάξαντος. Ὡς δ' ἔνιοι φασὶν, ἀμφότεροι μὲν ὑπὸ τῶν πολεμίων κατελήφθησαν ζῶντες· τοῦ δὲ θεράποντος τὸν δεσπότην περιβαλόντος, οὐδεὶς ἐκεῖνον ἠδυνήθη πατάξαι πρότερον, ἢ τοῦτον ὑπὸ πολλῶν παιόμενον ἀναιρεθῆναι. Τὴν δὲ κεφαλὴν τοῦ Γαΐου λέγουσιν ἄλλον μὲν ἀποκόψαι καὶ κομίζειν, ἀφελέσθαι δὲ τοῦτου φίλον Ὀπιμίου τινὰ, Σεπτουμουλήϊον· ἦν γὰρ προκεκηρυγμένον ἐν ἀρχῇ τῆς μάχης ἐσοτάσιον χρυσίον τοῖς ἀνενεγκοῦσι τὴν Γαΐου καὶ Φουλβίου κεφαλήν. Ἀνηνέχθη δὲ ὑπὸ τοῦ Σεπτουμουληΐου περιπεπαρμένη δόρατι πρὸς τὸν Ὀπίμιον, καὶ ζυγοῦ κομισθέντος ἐντεθεῖσα λίτρας ἑπταπαίδεκα καὶ δίμοιρον εἵλκυσε, τοῦ Σεπτουμουληΐου καὶ περὶ τοῦτο μικρολόγου γενομένου καὶ πανουργήσαντος· ἐξελὼν γὰρ τὸν ἐγκέφαλον, ἐκέτηξε μόλιβδον. Οἱ δὲ τοῦ Φουλβίου τὴν κεφαλὴν κομίσαντες (ἦσαν γὰρ τῶν ἀσημοτέρων οὐδὲν ἔλαβον. Τὰ δὲ σώματα καὶ τούτων καὶ τῶν ἄλλων εἰς τὸν ποταμὸν ἐρρίφη, τρισχιλίων ἀναιρεθέντων· καὶ τὰς οὐσίας αὐτῶν ἀπέδοσαν πρὸς τὸ δημόσιον. Ἀπει-

πων δὲ πενθεῖν ταῖς γυναιξὶ, τὴν δὲ Γαΐου Λικινίαν καὶ τῆς προικὸς ἀπεστέρησαν. Ὡμότατα δὲ 843
προσειργάσαντο τοῦ Φουλβίου τὸν νεώτερον υἱὸν, οὔτε χεῖρας ἀνταιρόμενον, οὔτ' ἐν τοῖς μαχομένοις γενόμενον, ἀλλ' ἐπὶ σπονδὰς ἐλθόντα πρὸ τῆς μάχης συλλαβόντες, καὶ μετὰ τὴν μάχην ἀνελόντες. Οὐ μὴν ἀλλὰ καὶ τούτου καὶ τῶν ἄλλων ἁπάντων μᾶλλον ἠνίασε τοὺς πολλοὺς τὸ κατασκευασθὲν Ὁμονοίας ἱερὸν ὑπὸ τοῦ Ὀπιμίου· σεμνύνεσθαι γὰρ ἔδοκει καὶ μέγα φρονεῖν, καὶ τρόπον τινὰ θριαμβεύειν ἐπὶ φόνοις τοσούτοις πολιτῶν. Διὸ καὶ νυκτὸς ὑπὸ τὴν ἐπιγραφὴν τοῦ νεὼ παρενέγραψάν τινες τὸν στίχον τοῦτον

Ἔργον ἀπονοίας ναὸν Ὁμονοίας ποιεῖ.

XVIII. Οὗτος μέντοι πρῶτος ἐξουσίᾳ δικτάτωρος ἐν ὑπατείᾳ χρησάμενος, καὶ κατακρίνας ἀκρίτους ἐπὶ τρισχιλίοις πολίταις Γάϊον Γράκχον καὶ Φούλβιον Φλάκκον, ὧν ὁ μὲν ἦν ὑπατικὸς καὶ θριαμβικὸς, ὁ δὲ τῆς καθ' αὑτὸν ἡλικίας ἀρετῇ καὶ δόξῃ πεπρωτευκὼς, οὐκ ἀπέσχετο κλοπῆς, ἀλλὰ πεμφθεὶς ὡς Ἰουγούρθαν τὸν Νομάδα πρεσβευτὴς, διεφθάρη χρήμασιν ὑπ' αὐτοῦ· καὶ δίκην ὄφλων αἰσχίστην δωροδοκίας, ἐν ἀτιμίᾳ κατεγήρασε, μισούμενος καὶ προπηλακιζόμενος ὑπὸ τοῦ δήμου, παρ' αὐτὰ μὲν τὰ πραχθέντα ταπεινοῦ γενομένου καὶ συσταλέντος, ὀλίγῳ δ' ὕστερον ἐκφήναντος, ὅσον εἶχεν ἱμέρου καὶ πόθου τῶν Γράκχων. Εἰκόνας τε γὰρ αὐτῶν ἀναδείξαντες, ἐν φανερῷ προὐτίθεντο, καὶ τοὺς τόπους, ἐν οἷς ἐφονεύθησαν, ἀφιερώσαντες, ἀπήρχοντο μὲν, ὧν ὧραι φέρουσι, πάντων· ἔθυον δὲ καθ' ἡμέραν πολλοὶ καὶ προσέπιπτον, ὥσπερ θεῶν ἱεροῖς ἐπιφοιτῶντες.

XIX. Καὶ μέντοι καὶ ἡ Κορνηλία λέγεται τά τ' ἄλλα τῆς συμφορᾶς εὐγενῶς καὶ μεγαλοψύχως ἐνεγκεῖν, καὶ περὶ τῶν ἱερῶν, ἐν οἷς ἀνῃρέθησαν, εἰπεῖν, ὡς ἀξίους οἱ νεκροὶ τάφους ἔχουσιν. Αὕτη δὲ περὶ τοὺς καλουμένους Μισηνοὺς διέτριβεν, οὐδὲν μεταλλάξασα τῆς συνήθους διαίτης. Ἦν δὲ καὶ

πολύφιλος, καὶ διὰ φιλοξενίαν εὐτράπεζος, ἀεὶ μὲν Ἑλλήνων καὶ φιλολόγων περὶ αὐτὴν ὄντων, ἁπάντων δὲ τῶν βασιλέων καὶ δεχομένων παρ' αὐτῆς δῶρα καὶ πεμπόντων. Ἡδίστη μὲν οὖν ἦν αὕτη τοῖς ἀφικνουμένοις καὶ συνοῦσι διηγουμένη τὸν τοῦ πατρὸς Ἀφρικανοῦ βίον καὶ δίαιταν, θαυμασιωτάτη δὲ τῶν παίδων ἀπενθὴς καὶ ἀδάκρυτος μνημονεύουσα, καὶ πάθη καὶ πράξεις αὐτῶν, ὥσπερ ἀρχαίων τινῶν, ἐξηγουμένη τοῖς πυνθανομένοις. Ὅθεν ἔδοξεν ἐνίοις ἔκνους ὑπὸ γήρως ἢ μεγέθους κακῶν γεγονέναι, καὶ τῶν ἀτυχημάτων ἀναίσθητος· αὐτοῖς ὡς ἀληθῶς ἀναισθήτοις οὖσιν, ὅσον ἐξ εὐφυΐας καὶ τοῦ γεγονέναι καὶ τετράφθαι καλῶς ὄφελός ἐστι πρὸς ἀλυπίαν ἀνθρώποις, καὶ ὅτι τῆς ἀρετῆς ἡ τύχη φυλαττομένης μὲν τὰ κακὰ πολλάκις περίεστιν, ἐν δὲ τῷ πταῖσαι τὸ φέρειν εὐλογίστως οὐ παραιρεῖται.

COMPARATIO AGIDIS ET CLEOMENIS CVM GRACCHIS.

Ἡμῖν δὲ καὶ ταύτης πέρας ἐχούσης τῆς διηγήσεως, ὑπολείπεται λαβεῖν ἐκ παραλλήλου τῶν βίων τὴν ἀποθεώρησιν. Τοὺς μὲν οὖν Γράκχους οὐδ' οἱ πάνυ τἆλλα κακῶς λέγοντες καὶ μισοῦντες ἐτόλμησαν εἰπεῖν, ὡς οὐκ εὐφυέστατοι πρὸς ἀρετὴν ἐγένοντο Ῥωμαίων ἁπάντων, καὶ τροφῆς τε καὶ παιδεύσεως ἐκπρεποῦς ἔτυχον· ἡ δ' Ἄγιδος καὶ Κλεομένους φύσις ἐῤῥωμενεστέρα φαίνεται τῆς ἐκείνων γενομένη, παρ' ὅσον οὔτε παιδείας μεταλαβόντες ὀρθῆς, ἔθεσί τε καὶ διαίταις ἐντραφέντες, ὑφ' ὧν οἱ πρεσβύτεροι πάλαι διεφθόρεισαν, αὐτοὺς 844
ἡγεμόνας εὐτελείας καὶ σωφροσύνης παρέσχον. Ἔτι δ' οἱ μὲν, ὅτε λαμπρότατον εἶχεν ἡ Ῥώμη καὶ μέγιστον ἀξίωμα, καὶ καλῶν ἔργων ζῆλον, ὥσπερ διαδοχὴν ἀρετῆς πατρῴας καὶ προγονικῆς ἰσχύνθησαν ἐγκαταλιπεῖν· οἱ δὲ καὶ πατέρων τἀναντία προῃρημένων γεγονότες, καὶ τὴν πατρίδα μοχθηρὰ πράττουσαν καὶ νοσοῦσαν παραλαβόντες, οὐδέν τι διὰ ταῦτα τὴν πρὸς τὸ καλὸν ἀπήμβλυναν ὁρμήν. Καὶ μὴν τῆς γε Γράκχων ἀφιλοχρηματίας καὶ πρὸς ἀργύριον ἐγκρατείας μέγιστόν ἐστιν, ὅτι λημμάτων ἀδίκων καθαροὺς ἐν ἀρχαῖς καὶ πολιτείαις διεφύλαξαν ἑαυτούς· Ἄγις δὲ κἂν διηγανά-

κτησεν ἐπὶ τῷ μηδὲν ἀλλότριον λαβεῖν ἐπαινούμενος, ὃς τὴν οὐσίαν τὴν ἑαυτοῦ τοῖς πολίταις ἐπέδωκεν, ἄνευ τῶν ἄλλων κτημάτων, ἑξακόσια τάλαντα νομίσματος ἔχουσαν. Πηλίκον οὖν ἐνόμιζε κακὸν εἶναι τὸ κερδαίνειν ἀδίκως ὃ καὶ δικαίως πλέον ἔχειν ἑτέρου πλεονεξίαν ἡγούμενος;

II. Ἡ γε μὴν ἐπιβολὴ καὶ τόλμα τῶν καινοτομουμένων πολὺ τῷ μεγέθει παρήλλαττεν. Ἐπολιτεύοντο γὰρ ὁ μὲν ὁδῶν κατασκευὰς καὶ πόλεων κτίσεις· καὶ τὸ πάντων ἀνοσιώτατον ἦν Τιβερίῳ μὲν ἀνασῶσαι δημοσίους ἀγροὺς, Γαΐῳ δὲ μίξαι τὰ δικαστήρια, προσεμβαλόντι τῶν ἱππικῶν τριακοσίους· ὁ δ' Ἄγιδος καὶ Κλεομένους νεωτερισμὸς, τὸ μικρὰ καὶ κατὰ μέρος τῶν ἡμαρτημένων ἰᾶσθαι καὶ ἀποκόπτειν, ὕδραν τινὰ τέμνοντος, ὡς φησιν ὁ Πλάτων, ἡγησάμενος εἶναι, τὴν ὅμα πάντα ἀπαλλάξαι κακὰ καὶ μετασκευάσαι δυναμένην μεταβολὴν ἐπῆγε τοῖς πράγμασιν. Ἀληθέστερον δ' ἴσως εἰπεῖν ἐστιν, ὅτι τὴν πάντα ἀπεργασαμένην κακὰ μεταβολὴν ἐξήλαυνεν, ἀπάχων καὶ καθιστὰς εἰς τὸ οἰκεῖον σχῆμα τὴν πόλιν. Ἐπεὶ καὶ τοῦτ' ἄν τις εἴποι, τῇ μὲν Γράκχων πολιτείᾳ τοὺς μεγίστους ἐνίστασθαι Ῥωμαίων, οἷς δ' Ἄγις ἐνεχείρησε, Κλεομένης δὲ τὸ ἔργον ἐπέθηκε, τῶν παραδειγμάτων τὸ κάλλιστον ὑπέκειτο καὶ μεγαλοπρεπέστατον, αἱ πάτριοι ῥῆτραι περὶ σωφροσύνης καὶ ἰσότητος· ὧν τούτοις μὲν ὁ Λυκοῦργος, ἐκείνοις δὲ ὁ Πύθιος βεβαιωτής. Ὃ δὲ μέγιστον, ὅτι τοῖς μὲν ἐκείνων πολιτεύμασιν εἰς οὐδὲν ἡ Ῥώμη μεῖζον ἐπέδωκε τῶν ὑπαρχόντων· ἐκ δ' ὧν ὁ Κλεομένης ἔπραξεν, ὀλίγου χρόνου τὴν Σπάρτην τῆς Πελοποννήσου κρατοῦσαν ἡ Ἑλλὰς ἐπεῖδε, καὶ τοῖς τότε μέγιστον δυναμένοις διαγωνιζομένην ἀγῶνα τὸν περὶ τῆς ἡγεμονίας· οὗ τέλος ἦν, ἀπαλλαχεῖσαν Ἰλλυρικῶν ὅπλων καὶ Γαλατικῶν τὴν Ἑλλάδα, κοσμεῖσθαι πάλιν ὑφ' Ἡρακλείδαις.

III. Οἶμαι δὲ καὶ τὰς τελευτὰς τῶν ἀνδρῶν ἐμ-

φαίνειν τινὰ τῆς ἀρετῆς διαφοράν. Ἐκεῖνοι μὲν γὰρ μαχόμενοι πρὸς τοὺς πολίτας, εἶτα φεύγοντες ἐτελεύτησαν· τούτων δ' Ἄγις μὲν ὑπὲρ τοῦ μηδένα κτεῖναι τῶν πολιτῶν ὀλίγου δεῖν ἑκὼν ἀπέθανε, Κλεομένης δὲ προπηλακισθεὶς καὶ ἀδικηθεὶς, ὥρμησε μὲν ἀμύνασθαι, τοῦ δὲ καιροῦ μὴ παρασχόντος, αὐτὸν εὐτόλμως ἀνεῖλε. Πάλιν δὲ τἀναντία σκοπεῖσθαι, Ἄγις μὲν οὐδὲν ἀπεδείξατο στρατηγίας ἔργον, ἀλλὰ προαιρεῖθη· ταῖς δὲ Κλεομένους νίκαις, πολλαῖς καὶ καλαῖς γενομέναις, παραβαλεῖν ἐστι Τιβερίου τὴν ἐν Καρχηδόνι τοῦ τείχους κατάληψιν, οὐ μικρὸν ἔργον, καὶ τὰς ἐν Νομαντίᾳ σπονδὰς, αἷς διεμυρίους στρατιώτας Ῥωμαίων, οὐκ ἔχοντας ἄλλην ἐλπίδα σωτηρίας, περιεποίησε· καὶ Γάϊος δὲ πολλὴν μὲν αὐτάθη, πολλὴν δ' ἐν Σαρδόνι στρατευόμενος ἀνδραγαθίαν ἔφηνεν ὥστε τοῖς πρώτοις ἐναμίλλους Ῥωμαίων γενέσθαι ἂν στρατηγοῖς, εἰ μὴ προαιρέθησαν.

IV. Τῆς δὲ πολιτείας ὁ μὲν Ἄγις ἔοικεν ἅψασθαι μαλακώτερον, ἐκκρουσθεὶς ὑπ' Ἀγησιλάου, καὶ ψευσάμενος τὸν ἀναδασμὸν τοῖς πολίταις, καὶ 845
ὅλως ἐλλιπὴς καὶ ἀτελὴς, ὧν προείλετο καὶ κατήγγειλεν, ὑπ' ἀτολμίας διὰ τὴν ἡλικίαν γενόμενος· ὁ δὲ Κλεομένης τοὐναντίον θρασύτερον καὶ βιαιότερον ἐπὶ τὴν μεταβολὴν ἦλθε τῆς πολιτείας, ἀποκτείνας τοὺς ἐφόρους παρανόμως, οὓς καὶ προσαγαγέσθαι ταῖς ὅπλοις κρατοῦντα, καὶ μεταστῆσαι ἐμέλλησεν ἦν, ὥσπερ οὐκ ὀλίγους ἄλλους μετέστησαν ἐκ τῆς πόλεως. Τὸ γὰρ ἄνευ τῆς ἐσχάτης ἀνάγκης ἐπιφέρειν σίδηρον, οὔτ' ἰατρικὸν, οὔτε πολιτικὸν, ἀλλ' ἀτεχνίας μὲν ἀμφότερα· τούτῳ δὲ καὶ τὸ ἀδικεῖν μετ' ὠμότητος προαιρεῖσθαι. Τῶν δὲ Γράκχων οὐδέτερος μὲν ἤρξατο σφαγῆς ἐμφυλίου· Γάϊος δὲ λέγεται μηδὲ βαλλόμενος ὁρμῆσαι πρὸς ἄμυναν, ἀλλὰ λαμπρότατος ὢν ἐν ταῖς πολεμικοῖς, ἀργότατος ἐν τῇ στάσει γενέσθαι. Καὶ γὰρ προῆλθεν ἄοπλος, καὶ μαχομένων ἀνεχώρησε, καὶ ὅλως πλείονα τοῦ μή τι δρᾶσαι πρὸ-

νοιαν, ἢ τοῦ μὴ παθεῖν, ἔχων ἐωράτο. Διὸ καὶ τὴν φυγὴν αὐτῶν οὐκ ἀτολμίας σημεῖον, ἀλλ' εὐλαβείας, ποιητέον. Ἔδει γὰρ ὑπεῖξαι τοῖς ἐπιφερομένοις, ἢ μένοντας ὑπὲρ τοῦ μὴ παθεῖν τῷ δρᾶν ἀμύνασθαι.

V. Τῶν τοίνυν ἐγκλημάτων τῶν κατὰ Τιβερίου μέγιστόν ἐστιν, ὅτι τὸν συνάρχοντα τῆς δημαρχίας ἐξέβαλε, καὶ δευτέραν αὐτὸς τῷ Γαΐῳ δημαρχίαν μετήει· Γαΐῳ δὲ τὸν Ἀντυλλίου φόνον οὐ δικαίως οὐδ' ἀληθῶς προσετρίβοντο· διεφθάρη γὰρ, ἄκοντος αὐτοῦ καὶ ἀγανακτοῦντος. Κλεομένης δ', ἵνα τὰς σφαγὰς τῶν ἐφόρων ἐάσωμεν, ἠλευθέρωσε μὲν ἅπαντας τοὺς οἰκέτας, ἐβασίλευσε δὲ τῷ μὲν ἔργῳ μόνος, τῷ δ' ὀνόματι δεύτερος, Εὐκλείδαν, τὸν ἀδελφὸν, ἐκ μιᾶς οἰκίας αὑτῷ προσελόμενος· Ἀρχίδαμον δ', ᾧ προσῆκον ἦν, ἀπὸ τῆς ἑτέρας οἰκίας ὄντι, συμβασιλεύειν, ἔπεισε μὲν ἐκ Μεσσήνης κατελθεῖν, ἀπαθανόντος δὲ τὸν φόνον οὐκ ἐπεξελθών, ἐβεβαίωσε τὴν αἰτίαν καθ' αὑτοῦ τῆς ἀναιρέσεως. Καίτοι Λυκοῦργος, ὃν προσεποιεῖτο μιμεῖσθαι, τὴν μὲν βασιλείαν ἑκὼν ἀπέδωκε τῷ παιδὶ τοῦ ἀδελφοῦ, Χαρίλλῳ· φοβούμενος δὲ, μὴ, κἂν ἄλλως ἀποθάνῃ τὸ μειράκιον, αἰτία τις ἐπ' αὐτὸν ἔλθῃ, πολὺν χρόνον ἔξω πλανηθεὶς, οὐ πρότερον ἐπανῆλθεν, ἢ παῖδα τῷ Χαρίλλῳ γενέσθαι, διάδοχον τῆς ἀρχῆς. Ἀλλὰ Λυκούργῳ μὲν οὐδ' ἄλλος τις Ἑλλήνων παραβλητὸς οὐδείς. Ὅτι δὲ τοῖς Κλεομένους πολιτεύμασι καινοτομίαι καὶ παρανομίαι μείζονες ἔνεισι, δεδήλωται. Καὶ μὴν οἵ γε τὸν τρόπον αὐτῶν ψέγοντες, τούτοις μὲν ἐξ ἀρχῆς τυραννικὸν καὶ πολεμοποιὸν αἰτιῶνται γενέσθαι· τῇ δ' ἐκείνων φύσει φιλοτιμίας ἀμετρίαν, ἄλλο δ' οὐδὲν οἱ φθονοῦντες ἐπικαλεῖν εἶχον· ἐκριπισθέντας δὲ τῷ πρὸς τοὺς ἐνισταμένους ἀγῶνι καὶ θυμῷ παρὰ τὴν αὐτῶν φύσιν, ὥσπερ πνοαῖς ἐφεῖναι περὶ τὰ ἔσχατα τὴν πολιτείαν ὁμολόγουν. Ἐπεὶ τῆς γε πρώτης ὑποθέσεως τί κάλλιον ἢ δικαιότερον ἦν, εἰ μὴ κατὰ βίαν καὶ δυναστείαν ἐπιχειρήσαντες ἐξῶσαι τὸν

νόμον οἱ πλούσιοι, περιέστησαν ἀμφοτέροις ἀγῶνας, τῷ μὲν φοβουμένῳ ὑπὲρ αὐτοῦ, τῷ δ' ἐκδικοῦντι τὸν ἀδελφὸν ἄνευ δίκης καὶ δόγματος, οὐδ' ὑπ' ἄρχοντος ἀναιρεθέντα; Συνορᾷς μὲν οὖν καὶ αὐτὸς ἐκ τῶν εἰρημένων τὴν διαφοράν. Εἰ δὲ δεῖ καὶ καθ' ἕκαστον ἀποφήνασθαι, Τιβέριον μὲν ἀρετῇ πεπρωτευκέναι τίθημι πάντων, ἐλάχιστα δὲ τὸ μειράκιον ἡμαρτηκέναι Ἄγιν, πράξει δὲ καὶ τόλμῃ Γάϊον οὐκ ὀλίγῳ Κλεομένους ὕστερον γεγονέναι.

ΑΗΜΟΣΘΕΝΗΣ.

846 Ὁ μὲν γράψας τὸ ἐπὶ τῇ νίκῃ τῆς Ὀλυμπιάσιν ἱπποδρομίας εἰς Ἀλκιβιάδην ἐγκώμιον, εἴτ' Εὐριπίδης, (ὡς ὁ πολὺς κρατεῖ λόγος) εἴθ' ἕτερός τις ἦν, Σόσσιε, φησὶ χρῆναι τῷ εὐδαίμονι πρῶτον ὑπάρξαι τὴν πόλιν εὐδόκιμον· ἐγὼ δὲ τῷ μὲν εὐδαιμονήσειν μέλλοντι τὴν ἀληθινὴν εὐδαιμονίαν, ἧς ἐν ἤθει καὶ διαθέσει τὸ πλεῖστόν ἐστιν, οὐδὲν διαφέρειν ἡγοῦμαι, ἀδόξου καὶ ταπεινῆς πατρίδος, ἢ μητρὸς ἀμόρφου καὶ μικρᾶς γενέσθαι. Γέλοιον γάρ, εἴ τις οἴοιτο, τὴν Ἰουλίδα, μέρος μικρὸν οὖσαν οὐ μεγάλης νήσου, τῆς Κέω, καὶ τὴν Αἴγιναν, ἣν τῶν Ἀττικῶν τις ἐκέλευεν ὡς λήμην ἀφαιρεῖν τοῦ Πειραιῶς, ὑποκριτὰς μὲν ἀγαθοὺς τρέφειν καὶ ποιητὰς, ἄνδρα δ' οὐκ ἄν ποτε δύνασθαι δίκαιον καὶ αὐτάρκη καὶ νοῦν ἔχοντα καὶ μεγαλόψυχον προενεγκεῖν. Τὰς γὰρ ἄλλας τέχνας εἰκός ἐστι, πρὸς ἐργασίαν ἢ δόξαν συνισταμένας, ἐν ταῖς ἀδόξοις καὶ ταπειναῖς πόλεσιν ἀπομαραίνεσθαι, τὴν δ' ἀρετὴν, ὥσπερ ἰσχυρὸν καὶ διαρκὲς φυτὸν, ἐν ἅπαντι ῥιζοῦσθαι τόπῳ, φύσεώς τε χρηστῆς καὶ φιλοπόνου ψυχῆς ἐπιλαμβανομένην. Ὅθεν οὐδ' ἡμεῖς, εἰ τοῦ φρονεῖν, ὡς δεῖ, καὶ βιοῦν ἐλλείπομεν, τοῦτο τῇ σμικρότητι τῆς πατρίδος, ἀλλ' αὐτοῖς δικαίως ἀναθήσομεν.

II. Τῷ μέντοι σύνταξιν ὑποβεβλημένῳ καὶ ἱστορίαν ἐξ οὐ προχείρων, οὐδ' οἰκείων, ἀλλὰ ξένων τε πολλῶν καὶ διεσπαρμένων ἐν ἑτέροις συνηθροισμένην, τῷ ἄντι χρὴ πρῶτον ὑπάρχειν καὶ μάλιστα τὴν πόλιν εὐδόκιμον καὶ φιλόκαλον καὶ πολυανθρωπον, ὡς βιβλίων τε παντοδαπῶν ἀφθονίαν ἔχων, καὶ ὅσα τοὺς γράφοντας διαφεύγοντα σωτηρίᾳ μνήμης ἐπιφανεστέρων εἵληφε πίστιν, ὑπολαμβάνων ἀκοῇ καὶ διαπυνθανόμενος, μὴ πολλῶν, μηδ' ἀναγκαίων ἐνδεὴς ἀποδιδοίη τὸ ἔργον. Ἡμεῖς δὲ μικρὰν οἰκοῦντες πόλιν, καὶ ἵνα μὴ μικροτέραν γένηται, φιλοχωροῦντες, ἐν δὲ Ῥώμῃ καὶ ταῖς περὶ τὴν Ἰταλίαν διατριβαῖς οὐ σχολῆς οὔσης γυμνάζεσθαι περὶ τὴν Ῥωμαϊκὴν διάλεκτον ὑπὸ χρειῶν πολιτικῶν καὶ τῶν διὰ φιλοσοφίαν πλησιαζόντων, ὀψέ ποτε καὶ πόρρω τῆς ἡλικίας ἠρξάμεθα Ῥωμαϊκοῖς γράμμασιν ἐντυγχάνειν. Καὶ πρᾶγμα θαυμαστὸν μέν, ἀλλ' ἀληθὲς ἐπάσχομεν. Οὐ γὰρ οὕτως ἐκ τῶν ὀνομάτων τὰ πράγματα συνιέναι καὶ γνωρίζειν συνέβαινεν ἡμῖν, ὡς ἐκ τῶν πραγμάτων, ὧν ἀμωσγέπως εἴχομεν ἐμπειρίαν, ἐπακολουθεῖν διὰ ταῦτα καὶ τοῖς ὀνόμασι. Κάλλους δὲ Ῥωμαϊκῆς ἀπαγγελίας καὶ τάχους αἰσθάνεσθαι, καὶ μεταφορᾶς ὀνομάτων καὶ ἁρμονίας, καὶ τῶν ἄλλων, οἷς ὁ λόγος ἀγάλλεται, χάριν μὲν ἡγούμεθα καὶ οὐκ ἀπειρίᾳ· ἡ δὲ πρὸς τοῦτο μελέτη καὶ ἄσκησις οὐκ εὐχερὴς, ἀλλ' οἷς τισι πλείων τε σχολὴ καὶ τὰ τῆς ὥρας ἔτι πρὸς τὰς τοιαύτας ἐπιχωρεῖ φιλοτιμίας.

III. Διὸ καὶ γράφοντες ἐν τῷ βιβλίῳ τούτῳ, 847 τῶν παραλλήλων ὄντι πέμπτῳ, περὶ Δημοσθένους καὶ Κικέρωνος, ἀπὸ τῶν πράξεων καὶ τῶν πολιτειῶν τὰς φύσεις αὐτῶν καὶ τὰς διαθέσεις πρὸς ἀλλήλας ἐπισκεψόμεθα· τὸ δὲ τοὺς λόγους ἀντεξετάζειν, καὶ ἀποφαίνεσθαι, πότερος ἡδίων, ἢ δεινότερος εἰπεῖν, ἐάσομεν. Κἀκεῖ γὰρ, ὡς φησιν ὁ Ἴων, δελφῖνος ἐν χέρσῳ βία· ἦν ὁ περιττὸς ἐν ἅπασι Καικίλιος ἀγνοήσας, ἐπανιεύσατο σύγκρισιν τοῦ Δη-

μοσθένους καὶ Κικέρωνος ἐξενεγκεῖν. Ἀλλὰ γὰρ ἴσως, εἰ παντὸς ἦν τὸ Γνῶθι σαυτὸν ἔχειν πρόχειρον, οὐκ ἂν ἐδόκει πρόσταγμα θεῖον εἶναι. Δημοσθένη γὰρ καὶ Κικέρωνα τὸν αὐτὸν ἔοικε πλάττων ἀπ' ἀρχῆς ὁ δαίμων, πολλὰς μὲν ἐμβαλεῖν εἰς τὴν φύσιν αὐτῶν τῶν ὁμοιοτήτων, ὥσπερ τὸ φιλότιμον καὶ φιλελεύθερον ἐν τῇ πολιτείᾳ, πρὸς δὲ κινδύνους καὶ πολέμους ἄτολμον· πολλὰ δ' ἀναμίξαι καὶ τῶν τυχηρῶν. Δύο γὰρ ἑτέρους οὐκ ἂν εὑρεθῆναι δοκῶ ῥήτορας, ἐκ μὲν ἀδόξων καὶ μικρῶν ἰσχυροὺς καὶ μεγάλους γενομένους, προσκρούσαντας δὲ βασιλεῦσι καὶ τυράννοις, φυγατέρας δ' ἀποβαλόντας, ἐκπεσόντας δὲ τῆς πατρίδος, κατελθόντας δὲ μετὰ τιμῆς, ἀποδράντας δ' αὖθις, καὶ ληφθέντας ὑπὸ τῶν πολεμίων, ἅμα δὲ παυσαμένη τῇ τῶν πολιτῶν ἐλευθερίᾳ τὸν βίον συγκαταστρέψαντας· ὥστ', εἰ γένοιτο τῇ φύσει καὶ τῇ τύχῃ, καθάπερ τεχνίταις, ἅμιλλα, χαλεπῶς μὲν ἂν διακριθῆναι, πότερον αὕτη τοῖς τρόποις, ἢ τοῖς πράγμασιν ἐκείνη, τοὺς ἄνδρας ὁμοιοτέρους ἀπείργασται. Λεκτέον δὲ περὶ τοῦ πρεσβυτέρου πρότερον.

IV. Δημοσθένης, ὁ πατὴρ Δημοσθένους, ἦν μὲν τῶν καλῶν καὶ ἀγαθῶν ἀνδρῶν, ὡς ἱστορεῖ Θεόπομπος· ἐπεκαλεῖτο δὲ μαχαιροποιός, ἐργαστήριον ἔχων μέγα, καὶ δούλους τεχνίτας τοῦτο πράττοντας. Ἃ δ' Αἰσχίνης, ὁ ῥήτωρ, εἴρηκε περὶ τῆς μητρὸς, ὡς ἐκ Γύλωνός τινος, ἐπ' αἰτίᾳ προδοσίας φυγόντος ἐξ ἄστεος, γεγόνοι, καὶ βαρβάρου γυναικὸς, οὐκ ἔχομεν εἰπεῖν, εἴτ' ἀληθῶς εἴρηκεν, εἴτε βλασφημῶν καὶ καταψευδόμενος. Ἀπολειφθεὶς δ' ὁ Δημοσθένης ὑπὸ τοῦ πατρὸς ἑπταέτης ἐν εὐπορίᾳ, (μικρὸν γὰρ ἀπέλιπεν ἡ σύμπασα τίμησις αὐτοῦ τῆς οὐσίας πεντεκαίδεκα ταλάντων) ὑπὸ τῶν ἐπιτρόπων ἠδικήθη, τὰ μὲν νοσφισαμένων, τὰ δ' ἀμελησάντων· ὥστε καὶ τῶν διδασκάλων αὐτοῦ τὸν μισθὸν ἀποστερῆσαι. Διά τε δὴ τοῦτο τῶν ἐμμελῶν καὶ προσηκόντων ἐλευθέρῳ παιδὶ μαθημά-

των ἀπαίδευτος δοκεῖ γενέσθαι, καὶ διὰ τὴν τοῦ σώματος ἀσθένειαν καὶ θρύψιν, οὐ προϊεμένης τοῖς πόνοις τῆς μητρὸς αὐτὸν, οὐδὲ προσβιαζομένων τῶν παιδαγωγῶν. Ἦν γὰρ ἐξ ἀρχῆς κάτισχνος καὶ νοσώδης, καὶ τὴν λοιδορουμένην ἐπωνυμίαν, τὸν Βάταλον, εἰς τὸ σῶμα λέγεται σκωπτόμενος ὑπὸ τῶν παίδων λαβεῖν. Ἦν δ' ὁ Βάταλος, ὡς μὲν ἔνιοι φασὶν, αὐλητὴς τῶν κατεαγότων· καὶ δραμάτιον, εἰς τοῦτο κωμῳδῶν αὐτὸν, Ἀντιφάνης πεποίηκεν. Ἔνιοι δέ τινες ὡς ποιητοῦ τρυφερὰ καὶ παροίνια γράφοντος τοῦ Βατάλου μέμνηνται. Δοκεῖ δὲ καὶ τῶν οὐκ εὐπρεπῶν τι λεχθῆναι τοῦ σώματος μορίων παρὰ τοῖς Ἀττικοῖς τότε καλεῖσθαι βάταλος. Ὁ δ' Ἄργας (καὶ τοῦτο γάρ φασι τῷ Δημοσθένει γενέσθαι παρώνυμον) ἢ πρὸς τὸν τρόπον, ὡς θηριώδη καὶ πικρὸν, ἐτέθη· τὸν γὰρ ὄψιν ἔνιοι τῶν ποιητῶν ἄργαν ὀνομάζουσιν· ἢ πρὸς τὸν λόγον, ὡς ἀνιῶντα τοὺς ἀκροωμένους· καὶ γὰρ Ἄργας τοὔνομα ποιητὴς ἦν νόμων πονηρῶν καὶ ἀργαλέων. Καὶ ταῦτα μὲν ταύτῃ, κατὰ Πλάτωνα.

V. Τῆς δὲ πρὸς τοὺς λόγους ὁρμῆς ἀρχὴν αὐτῷ φασι τοιαύτην γενέσθαι. Καλλιστράτου, τοῦ ῥήτορος, ἀγωνίζεσθαι τὴν περὶ Ὠρωποῦ κρίσιν 848
ἐν τῷ δικαστηρίῳ μέλλοντος, ἣν προσδοκία τῆς δίκης μεγάλη, διά τε τὴν τοῦ ῥήτορος δύναμιν, ἀνθοῦντος τότε μάλιστα τῇ δόξῃ, καὶ διὰ τὴν πρᾶξιν, οὖσαν περιβόητον. Ἀκούσας οὖν ὁ Δημοσθένης τῶν διδασκάλων καὶ τῶν παιδαγωγῶν συντιθεμένων τῇ δίκῃ παρατυχεῖν, ἔπεισε τὸν ἑαυτοῦ παιδαγωγὸν δεόμενος καὶ προθυμούμενος, ὅπως αὐτὸν ἀγάγοι πρὸς τὴν ἀκρόασιν. Ὁ δ', ἔχων πρὸς τοὺς ἀνοίγοντας τὰ δικαστήρια δημοσίους συνήθειαν, εὐπόρησε χώρας, ἐν ᾗ καθήμενος ὁ παῖς ἀδήλως ἀκούσεται τῶν λεγομένων. Εὐημερήσαντος δὲ τοῦ Καλλιστράτου, καὶ θαυμασθέντος ὑπερφυῶς, ἐκεῖνου μὲν ἐζήλωσε τὴν δόξαν, ὁρῶν προπεμπόμενον ὑπὸ τῶν πολλῶν καὶ μακαριζό-

μενον· τοῦ δὲ λόγου μᾶλλον ἐθαύμασε τὴν ἰσχύν, πάντα χειροῦσθαι καὶ τυθασσεύειν πεφυκότος. Ὅθεν ἐάσας τὰ λοιπὰ μαθήματα, καὶ τὰς παιδικὰς διατριβὰς, αὐτὸς αὑτὸν ἤσκει καὶ διεπόνει ταῖς μελέταις, ὡς τῶν λεγόντων ἐσόμενος. Ἐχρήσατο δ' Ἰσαίῳ πρὸς τὸν λόγον ὑφηγητῇ, καίπερ Ἰσοκράτους τότε σχολάζοντος, εἴτε, ὡς τινες λέγουσι, τὸν ὡρισμένον μισθὸν Ἰσοκράτει τελέσαι μὴ δυνάμενος, τὰς δέκα μνᾶς, διὰ τὴν ὀρφανίαν· εἴτε μᾶλλον τοῦ Ἰσαίου τὸν λόγον, ὡς δραστήριον καὶ πανοῦργον ἐπὶ τὴν χρείαν, ἀποδεχόμενος. Ἕρμιππος δέ φησιν ἀδεσπότοις ὑπομνήμασιν ἐντυχεῖν, ἐν οἷς ἐγέγραπτο, τὸν Δημοσθένη συνεσχολακέναι Πλάτωνι, καὶ πλεῖστον εἰς τοὺς λόγους ὠφελῆσθαι· Κτησιβίου δὲ μέμνηται λέγοντος, παρὰ Καλλίου τοῦ Συρακουσίου καὶ ἄλλων ἄλλων τὰς Ἰσοκράτους τέχνας καὶ τὰς Ἀλκιδάμαντος κρύφα λαβόντα τὸν Δημοσθένη κατὰμαθεῖν.

VI. Ὡς γοῦν ἐν ἡλικίᾳ γενόμενος τοῖς ἐπιτρόποις ἤρξατο δικάζεσθαι, καὶ λογογραφεῖν ἐπ' αὐτοὺς, πολλὰς διαδύσεις καὶ παλινδικίας εὑρίσκοντας, ἐγγυμνασάμενος, κατὰ τὸν Θουκυδίδην, ταῖς μελέταις, οὐκ ἀκινδύνως, οὐδ' ἀργῶς, κατευτυχήσας, ἐκπρᾶξαι μὲν οὐδὲ πολλοστὸν ἠδυνήθη μέρος τῶν πατρῴων· τόλμαν δὲ πρὸς τὸ λέγειν καὶ συνήθειαν ἱκανὴν λαβών, καὶ γευσάμενος τῆς περὶ τοὺς ἀγῶνας φιλοτιμίας καὶ δυνάμεως, ἐπεχείρησεν εἰς μέσον παριέναι, καὶ τὰ κοινὰ πράττειν. Καὶ καθάπερ Λαομέδοντα τὸν Ὀργομένιον λέγουσι κατεξίαν τινὰ σπληνὸς ἀμυνόμενον δρόμοις μακροῖς χρῆσθαι, τῶν ἰατρῶν κελευσάντων, εἶθ' οὕτως διαπονήσαντα τὴν ἕξιν ἐπιτίθεσθαι τοῖς στεφανίταις ἀγῶσι, καὶ τῶν ἄκρων γενέσθαι δολιχοδρόμων· οὕτως τῷ Δημοσθένει συνέβη, τὸ πρῶτον ἐπανορθώσεως ἕνεκα τῶν ἰδίων ἀποδύντι πρὸς τὸ λέγειν, ἐκ δὲ τούτου κτησαμένῳ δεινότητα καὶ δύναμιν, ἐν τοῖς πολιτικοῖς ἤδη, καθάπερ στεφανίταις, ἀγῶσι προτεύειν τῶν ἀπὸ τοῦ βήματος ἀγωνιζομένων πολιτῶν. Καί-

τοὶ τὸ πρῶτον ἐντυγχάνων τῷ δήμῳ θορύβοις περιέπιπτε, καὶ κατεγελᾶτο δι' ἀήθειαν τοῦ λόγου, συγκεχύσθαι ταῖς περιόδοις καὶ βεβασανίσθαι τοῖς ἐνθυμήμασι πικρῶς ἄγαν καὶ κατακόρως δοκοῦντος. Ἦν δέ τις, ὡς ἔοικε, καὶ φωνῆς ἀσθένεια, καὶ γλώττης ἀσάφεια, καὶ πνεύματος κολοβότης, ἐπιταράττουσα τὸν νοῦν τῶν λεγομένων τῷ διασπᾶσθαι τὰς περιόδους. Τέλος δ' ἀποστάντα τοῦ δήμου, καὶ ῥεμβόμενον ἐν Πειραιεῖ δι' ἀθυμίαν, Εὔνομος ὁ Θριάσιος, ἤδη πάνυ γέρων, θεασάμενος ἐπετίμησεν, ὅτε τὸν λόγον ἔχων ὁμοιότατον τῷ Περικλέους, προδίδωσιν ὑπ' ἀτολμίας καὶ μαλακίας ἑαυτὸν, οὔτε τοὺς ὄχλους ὑφιστάμενος εὐθαρσῶς, οὔτε τὸ σῶμα πρὸς τοὺς ἀγῶνας ἐξαρτυόμενος, ἀλλὰ τρυφῇ περιορῶν μαραινόμενον.

VII. Πάλιν δὲ ποτε φασὶν ἐκπεσόντος αὐτοῦ, καὶ ἀπιόντος οἴκαδε συγκεκαλυμμένου καὶ βαρέως 849
φέροντος, ὑπακολουθῆσαι Σάτυρον, τὸν ὑποκριτὴν, ἐπιτήδειον ὄντα, καὶ συνελθεῖν. Ὀδυρομένου δὲ τοῦ Δημοσθένους πρὸς αὐτὸν, ὅτι πάντων φιλοπονώτατος ὢν τῶν λεγόντων, καὶ μικροῦ δεῶν καταναλωκέναι τὴν τοῦ σώματος ἀκμὴν εἰς τοῦτο, χάριν οὐκ ἔχει πρὸς τὸν δῆμον, ἀλλὰ κραιπαλῶντες ἄνθρωποι ναῦται καὶ ἀμαθεῖς ἀκούονται καὶ κατέχουσι τὸ βῆμα, παραρᾶται δ' αὐτός· „Ἀληθῆ λέγεις, ὦ Δημόσθενες," φάναι τὸν Σάτυρον· „ἀλλ' ἐγὼ τὸ αἴτιον ἰάσομαι ταχέως, ἂν μοι τῶν Εὐριπίδου τινὰ ῥήσεων, ἢ Σοφοκλέους, ἐθελήσῃς εἰπεῖν ἀπὸ στόματος." Εἰπόντος δὲ τοῦ Δημοσθένους, μεταλαβόντα τὸν Σάτυρον, οὕτω πλάσαι καὶ διεξελθεῖν ἐν ἤθει πρέποντι καὶ διαθέσει τὴν αὐτὴν ῥῆσιν, ὥσθ' ὅλως ἑτέραν τῷ Δημοσθένει φανῆναι. Πεισθέντα δ', ὅσον ἐκ τῆς ὑποκρίσεως τῷ λόγῳ κόσμου καὶ χάριτος πρόσεστι, μικρὸν ἡγήσασθαι καὶ τὸ μηδὲν εἶναι τὴν ἄσκησιν, ἀμελοῦντι τῆς προφορᾶς καὶ διαθέσεως τῶν λεγομένων. Ἐκ τούτου κατάγειον μὲν οἰκοδομῆσαι μελετητήριον, ὃ δὴ διεσῴζετο καθ' ἡμᾶς· ἐνταῦθα δὲ πάντως μὲν ἑκάστης ἡμέρας προσιόντα

πλάττειν τὴν ὑπόκρισιν, καὶ διαπονεῖν τὴν φωνήν· πολλάκις δὲ καὶ μῆνας ἓξῆς δύο καὶ τρεῖς συναπτειν, ξυρούμενον τῆς κεφαλῆς θάτερον μέρος, ὑπὲρ τοῦ μηδὲ βουλομένῳ πάνυ προελθεῖν ἐνδέχεσθαι δι' αἰσχύνην.

VIII. Οὐ μὴν ἀλλὰ καὶ τὰς πρὸς τοὺς ἐκτὸς ἐντεύξεις καὶ λόγους καὶ ἀσχολίας ὑποθέσεις ἐποιεῖτο καὶ ἀφορμας τοῦ φιλοπονεῖν. Ἀπαλλαγεὶς γὰρ αὐτῶν, τάχιστα κατέβαινεν εἰς τὸ μελετητήριον, καὶ διεξῆει τὰς τε πράξεις ἑφεξῆς καὶ τοὺς ὑπὲρ αὐτῶν ἀπολογισμούς. Ἔτι δὲ τοὺς λόγους, οἷς παρέτυχε λεγομένοις, ἀναλαμβάνων εἰς ἑαυτὸν, εἰς γνώμας ἀνῆγε καὶ περιόδους· ἐπανορθώσεις τε παντοδαπὰς καὶ μεταφράσεις ἐκαινοτόμει τῶν εἰρημένων ὑφ' ἑτέρου πρὸς αὐτὸν, ἢ ὑφ' αὑτοῦ πάλιν πρὸς ἄλλον. Ἐκ τούτου δόξαν εἶχεν ὡς οὐκ εὐφυὴς ὤν, ἀλλ' ἐκ πόνου συγκειμένῃ δεινότητι καὶ δυνάμει χρώμενος. Ἐδόκει τε τούτου σημεῖον εἶναι μέγα, τὸ μὴ ῥᾳδίως ἀκοῦσαί τινα Δημοσθένους ἐπὶ καιροῦ λέγοντος, ἀλλὰ καὶ καθήμενον ἐκκλησίᾳ πολλάκις τοῦ δήμου καλοῦντος ὀνομαστί, μὴ παρελθεῖν, εἰ μὴ τύχοι πεφροντικὼς καὶ παρεσκευασμένος. Εἰς τοῦτο ἄλλοι τε πολλοὶ τῶν δημαγωγῶν ἐχλεύαζον αὐτὸν, καὶ Πυθέας ἐπισκώπτων ἐλλυχνίων ἔφησεν ὄζειν αὐτοῦ τὰ ἐνθυμήματα. Τοῦτον μὲν οὖν ἠμείψατο πικρῶς ὁ Δημοσθένης. „Οὐ ταὐτὰ γὰρ," εἶπεν, „ἐμοὶ καὶ σοὶ, ὦ Πυθέα, ὁ λύχνος σύνοιδε." Πρὸς δὲ τοὺς ἄλλους οὐ παντάπασιν ἦν ἄφαρνος, ἀλλ' οὔτε γράψας, οὔτ' ἄγραφα κομιδῇ λέγειν ὡμολόγει. Καὶ μέντοι δημοτικὸν ἀπέφαινεν ἄνδρα, τὸν λέγειν μελετῶντα· θεραπείας γὰρ εἶναι τοῦτο δήμου παρασκευήν· τὸ δ', ὅπως ἕξουσιν οἱ πολλοὶ πρὸς τὸν λόγον, ἀφροντιστεῖν, ὀλιγαρχικοῦ, καὶ βίᾳ μᾶλλον, ἢ πειθοῖ, προσέχοντος. Τῆς δὲ πρὸς καιρὸν ἀτολμίας αὐτοῦ καὶ τοῦτο ποιοῦνται σημεῖον, ὅτι Δημάδης μὲν ἐκείνῳ θορυβηθέντι πολλάκις ἀνεστὰς ἐκ προχείρου συνεῖπεν, ἐκεῖνος δ' οὐδέποτε Δημάδῃ.

IX. Πόθεν οὖν, φαίη τις ἄν, ὁ Αἰσχίνης πρὸς

τὴν ἐν τοῖς λόγοις τόλμαν θαυμασιώτατον ἀπεκάλει τὸν ἄνδρα; πῶς δὲ Πύθωνι, τῷ Βυζαντίῳ, θρασυνομένῳ καὶ ῥέοντι πολλῷ κατὰ τῶν Ἀθηναίων, ἀναστὰς μόνος ἀντεῖπεν; ἢ Λαμάχου τοῦ Μυρρηναίου γεγραφότος ἐγκώμιον Ἀλεξάνδρου καὶ Φιλίππου, τῶν βασιλέων, ἐν ᾧ πολλὰ Θηβαίους καὶ Ὀλυνθίους εἰρήκει κακῶς, καὶ ἀναγινώσκοντος Ὀλυμπιάσι, παρανάστας, καὶ διεξελθὼν μεθ' ἱστορίας 850
καὶ ἀποδείξεως, ὅσα Θηβαίοις καὶ Χαλκιδεῦσιν ὑπάρχει καλὰ πρὸς τὴν Ἑλλάδα, καὶ πάλιν, ὅσων αἴτιοι κακῶν γεγόνασιν οἱ κολακεύοντες Μακεδόνας, οὕτως ἐπέστρεψε τοὺς παρόντας, ὥστε δείσαντα τῷ θορύβῳ τὸν σοφιστὴν ὑπεκδῦναι τῆς πανηγύρεως; Ἀλλ' ἔοικεν ὁ ἀνὴρ τοῦ Περικλέους τὰ μὲν ἄλλα μὴ πρὸς αὐτὸν ἡγήσασθαι, τὸ δὲ πλάσμα καὶ τὸν σχηματισμὸν αὐτοῦ, καὶ τὸ μὴ ταχέως, μηδὲ περὶ παντὸς, ἐκ τοῦ παριστημένου λέγειν, ὥσπερ ἐκ τούτων μεγάλου γεγονότος, ζηλῶν καὶ μιμούμενος, οὐ πάνυ προΐεσθαι τὴν ἐν τῷ καιρῷ δόξαν, οὐδ' ἐπὶ τύχῃ πολλάκις ἐκὼν εἶναι ποιεῖσθαι τὴν δύναμιν. Ἐπεὶ τόλμαν γε καὶ θάρσος οἱ λεχθέντες ὑπ' αὐτοῦ λόγοι τῶν γραφέντων μᾶλλον εἶχον, εἴ τι δεῖ πιστεύειν Ἐρατοσθένει, καὶ Δημητρίῳ τῷ Φαληρεῖ, καὶ τοῖς κωμικοῖς. Ὧν Ἐρατοσθένης μέν φησιν αὐτὸν ἐν τοῖς λόγοις πολλαχοῦ γεγονέναι παράβακχον· ὁ δὲ Φαληρεὺς τὸν ἔμμετρον ἐπεῖνον ὅρκον ὀμόσαι ποτὲ πρὸς τὸν δῆμον, ὥσπερ ἐνθουσιῶντα·

Μὰ γῆν, μὰ πρήνας, μὰ ποταμοὺς, μὰ νάματα.

τῶν δὲ κωμικῶν ὁ μέν τις αὐτὸν ἀποκαλεῖ ῥωποπερπερήθραν· ὁ δὲ παρασκώπτων, ὡς χρώμενον τῷ ἀντιθέτῳ, φησὶν ῥῦτως·

Ἀπέλαβεν, ὥσπερ ἔλαβεν. ἠγάπησε γὰρ
Τὸ ῥῆμα τοῦτο παραλαβὼν Δημοσθένης.

ἐκτὸς εἰ μὴ νὴ Δία πρὸς τὸν ὑπὲρ Ἀλοννήσου λόγον ὁ Ἀντιφάνης καὶ τοῦτ' ἐπαιζεν, ἣν Ἀθηναίοις Δημοσθένης συνεβούλευσε μὴ λαμβάνειν, ἀλλ' ἀπολαμβάνειν παρὰ Φιλίππου.

X. Πλὴν τόν γε Δημάδην πάντες ὁμολόγουν τῇ φύσει χρώμενον ἀνίκητον εἶναι, καὶ παραφέρειν αὐτοσχεδιάζοντα τὰς τοῦ Δημοσθένους σκέψεις καὶ παρασκευάς. Ἀρίστων δ', ὁ Χῖος, καὶ Θεοφράστου τινὰ δόξαν ἱστόρησε περὶ τῶν ῥητόρων. Ἐρωτηθέντα γάρ, ὁποῖός τις αὐτῷ φαίνεται ῥήτωρ ὁ Δημοσθένης, εἰπεῖν „Ἄξιος τῆς πόλεως“ ὁποῖος δὲ Δημάδης „Ὑπὲρ τὴν πόλιν.“ Ὁ δ' αὐτὸς φιλόσοφος Πολύευκτον ἱστορεῖ τὸν Σφήττιον, ἕνα τῶν τότε πολιτευομένων Ἀθήνησιν, ἀποφαίνεσθαι, μέγιστον μὲν εἶναι ῥήτορα Δημοσθένη, δυνατώτατον δ' εἰπεῖν Φωκίωνα· πλεῖστον γὰρ ἐν βραχυτάτῃ λέξει νοῦν ἐνφέρειν. Καὶ μέντοι καὶ τὸν Δημοσθένη φασὶν αὐτὸν, ὁσάκις ἀντερῶν αὐτῷ Φωκίων ἀναβαίνοι, λέγειν πρὸς τοὺς συνήθεις· „Ἡ τῶν ἐμῶν λόγων κοπὶς ἀνίσταται.“ Τοῦτο μὲν οὖν ἄδηλον εἴτε πρὸς τὸν λόγον τοῦ ἀνδρὸς ὁ Δημοσθένης, εἴτε πρὸς τὸν βίον καὶ τὴν δόξαν ἐπεπόνθει, πολλῶν πάνυ καὶ μακρῶν περιόδων ἓν ῥῆμα καὶ νεῦμα πίστιν ἔχοντος ἀνθρώπου κυριώτερον ἡγούμενος.

XI. Τοῖς δὲ σωματικοῖς ἐλαττώμασι τοιαύτην ἐπῆγεν ἄσκησιν, ὡς ὁ Φαληρεὺς Δημήτριος ἱστορεῖ, λέγων αὐτοῦ Δημοσθένους ἀκούειν πρεσβύτου γεγονότος· τὴν μὲν ἀσάφειαν καὶ τραυλότητα τῆς γλώττης ἐκβιάζεσθαι καὶ διαρθροῦν εἰς τὸ στόμα ψήφους λαμβάνοντα, καὶ ῥήσεις ἅμα λέγοντα· τὴν δὲ φωνὴν ἐν τοῖς δρόμοις γυμνάζεσθαι καὶ, ταῖς πρὸς τὰ σιμὰ προσβάσεσι, διαλεγόμενον, καὶ λόγους τινὰς, ἢ στίχους, ἅμα τῷ πνεύματι πυκνουμένῳ προφερόμενον· εἶναι δ' αὐτῷ μέγα κάτοπτρον οἶκοι, καὶ πρὸς τοῦτο τὰς μελέτας ἐξ ἐναντίας ἱστάμενον περαίνειν. Λέγεται δ', ἀνθρώπου προσελθόντος, δεομένου συνηγορίας, καὶ διεξιόντος, ὡς ὑπό του λάβοι πληγάς· „Ἀλλὰ σύ γε,“ φάναι τὸν Δημοσθένην, „τούτων, ὧν λέγεις, οὐδὲν πέπονθας.“ Ἐπιτείναντος δὲ τὴν φωνὴν τοῦ ἀνθρώπου, καὶ βοῶντος· „Ἐγὼ, Δημόσθενες, οὐδὲν πέπονθα;“ „Νὴ Δία,“ φάναι, „νῦν ἀκούω φωνὴν ἀδικουμέ-

νου καὶ πεπονθότος." Οὕτως ᾤετο μέγα πρὸς πί-
στιν εἶναι τὸν τόνον, καὶ τὴν ὑπόκρισιν τῶν λε- 851
γόντων. Τοῖς μὲν οὖν πολλοῖς ὑποκρινόμενος ἤρε-
σκε θαυμαστῶς· οἱ δὲ χαρίεντες ταπεινὸν ἡγοῦντο
καὶ ἀγεννὲς αὐτοῦ τὸ πλάσμα καὶ μαλακὸν, ὧν καὶ
Δημήτριος ὁ Φαληρεύς ἐστιν. Αἰσίωνα δέ φησιν
Ἕρμιππος, ἐρωτηθέντα περὶ τῶν πάλαι ῥητόρων
καὶ τῶν καθ' αὑτὸν, εἰπεῖν, ὡς ἀκούων μὲν ἄν τις
ἐθαύμασεν ἐκείνους εὐκόσμως καὶ μεγαλοπρεπῶς
τῷ δήμῳ διαλεγομένους· ἀναγινωσκόμενοι δ' οἱ Δη-
μοσθένους λόγοι πολὺ τῇ κατασκευῇ καὶ δυνάμει
διαφέρουσιν. Οἱ μὲν οὖν γεγραμμένοι τῶν λόγων
ὅτι τὸ αὐστηρὸν πολὺ καὶ πικρὸν ἔχουσι, τί ἂν
λέγοι τις; ἐν δὲ ταῖς ἀπαντήσεσι ταῖς παρὰ τὸν
καιρὸν ἐχρῆτο καὶ τῷ γελοίῳ. Δημάδου μὲν γὰρ
εἰπόντος· „Ἐμὲ Δημοσθένης, ἢ ὗς τὴν Ἀθηνᾶν"
„Αὕτη, εἶπεν, ἡ Ἀθηνᾶ πρώην ἐν Κολυττῷ μοι-
χεύουσα ἐλήφθη." Πρὸς δὲ τὸν κλέπτην, ὃς ἐπε-
καλεῖτο Χαλκοῦς, καὶ αὐτὸν εἰς τὰς ἀγρυπνίας
αὐτοῦ καὶ νυκτογραφίας πειρώμενόν τι λέγειν·
„Οἶδα, εἶπεν, ὅτι σε λυπῶ λύχνον καίων. Ἡμεῖς
δέ, ὦ ἄνδρες Ἀθηναῖοι, μὴ θαυμάζετε τὰς γενομέ-
νας κλοπάς, ὅταν τοὺς μὲν κλέπτας χαλκοῦς, τοὺς
δὲ τοίχους πηλίνους ἔχωμεν." Ἀλλὰ περὶ μὲν τούτων
καίπερ ἔτι πλείω λέγειν ἔχοντες ἐνταῦθα παυσόμεθα·
τὸν δ' ἄλλον αὐτοῦ τρόπον, καὶ τὸ ἦθος, ἀπὸ τῶν
πράξεων καὶ τῆς πολιτείας θεωρεῖσθαι δίκαιόν ἐστιν.

XII. Ὥρμησε μὲν οὖν ἐπὶ τὸ πράττειν τὰ κοι-
νὰ, τοῦ Φωκικοῦ πολέμου συνεστῶτος, ὡς αὐτός τε
φησὶ, καὶ λαβεῖν ἐστιν ἀπὸ τῶν Φιλιππικῶν δημη-
γοριῶν. Αἱ μὲν γὰρ, ἤδη διαπεπραγμένων ἐκείνων,
γεγόνασιν, αἱ δὲ πρεσβύταται τῶν ἐγγιστα πρα-
γμάτων ἅπτονται. Δῆλος δ' ἐστὶ καὶ τὴν κατὰ
Μειδίου παρασκευασάμενος εἰπεῖν δίκην, δύο μὲν
ἐπὶ τοῖς τριάκοντα γεγονὼς ἔτη, μηδέπω δ' ἔχων
ἰσχὺν ἐν τῇ πολιτείᾳ, μηδὲ δόξαν. Ὃ καὶ μάλι-
στά μοι δοκεῖ δεῖσας, ἐπ' ἀργυρίῳ καταθέσθαι τὴν
πρὸς τὸν ἄνθρωπον ἔχθραν.

Οὐ γάρ τι γλυκύθυμος ἀνὴρ ἦν, οὐδ' ἀγανόφρων, ἀλλ' ἔντονος καὶ βίαιος περὶ τὰς ἀμύνας. Ὁρῶν δ' οὐ φαῦλον, οὐδὲ τῆς αὐτοῦ δυνάμεως ἔργον, ἄνδρα καὶ πλούτῳ, καὶ λόγῳ, καὶ φίλοις εὖ πεφραγμένον παθεῖν, τὸν Μειδίαν, ἐνέδωκε τοῖς ὑπὲρ αὐτοῦ δεομένοις. Αἱ δὲ τρισχίλιαι καθ' ἑαυτὰς οὐκ ἄν μοι δοκοῦσι τὴν Δημοσθένους ἀμβλύναι πικρίαν, ἐλπίζοντος καὶ δυναμένου περιγενέσθαι. Λαβὼν δὲ τῆς πολιτείας καλὴν ὑπόθεσιν, τὴν πρὸς Φίλιππον ὑπὲρ τῶν Ἑλλήνων δικαιολογίαν, καὶ πρὸς ταύτην ἀγωνιζόμενος ἀξίως, ταχὺ δόξαν ἔσχε, καὶ περίβλεπτος ὑπὸ τῶν λόγων ἤρθη καὶ τῆς παῤῥησίας· ὥστε θαυμάζεσθαι μὲν ἐν τῇ Ἑλλάδι, θεραπεύεσθαι δ' ὑπὸ τοῦ μεγάλου βασιλέως, πλεῖστον δ' αὐτοῦ λόγον εἶναι παρὰ τῷ Φιλίππῳ τῶν δημαγωγούντων, ὁμολογεῖν δὲ καὶ τοὺς ἀπεχθανομένους, ὅτι πρὸς ἔνδοξον αὐτοῖς ἄνθρωπον ὁ ἀγὼν ἐστι. Καὶ γὰρ Αἰσχίνης καὶ Ὑπερίδης τοιαῦτα ὑπὲρ αὐτοῦ κατηγοροῦντες εἰρήκασιν.

XIII. Ὅθεν οὐκ οἶδ', ὅπως παρέστη Θεοπόμπῳ λέγειν, αὐτὸν ἀβέβαιον τῷ τρόπῳ γεγονέναι, καὶ μήτε πράγμασι, μήτ' ἀνθρώποις, πολὺν χρόνον τοῖς αὐτοῖς ἐπιμένειν δυνάμενον. Φαίνεται γὰρ, εἰς ἣν ἀπ' ἀρχῆς τῶν πραγμάτων μερίδα καὶ τάξιν αὐτὸν ἐν τῇ πολιτείᾳ κατέστησε, ταύτην ἄχρι τέλους διαφυλάξας, καὶ οὐ μόνον ἐν τῷ βίῳ μὴ μεταβαλόμενος, ἀλλὰ καὶ τὸν βίον ἐν τῷ μὴ μεταβαλέσθαι προέμενος. Οὐ γὰρ, ὡς Δημάδης, ἀπολογούμενος διὰ τὴν ἐν τῇ πολιτείᾳ μεταβολὴν, ἔλεγεν· αὐτῷ μὲν αὐτὸν τἀναντία πολλάκις εἰρηκέναι, τῇ δὲ πόλει μηδέποτε· καὶ Μελάνωπος, ἀντιπολιτευόμενος Καλλιστράτῳ, καὶ πολλάκις ὑπ' αὐτοῦ χρήσασι με-
852 τατιθέμενος, εἰώθει λέγειν πρὸς τὸν δῆμον· „Ὁ μὲν ἀνὴρ ἔχθρος, τὸ δὲ τῆς πόλεως νικάτω συμφέρον.“ Νικόδημος δ', ὁ Μεσσήνιος, Κασάνδρῳ προστιθέμενος πρότερον, εἶτ' αὖθις ὑπὲρ τοῦ Δημητρίου πολιτευόμενος, οὐκ ἔφη τἀναντία λέγειν· αἰεὶ γὰρ εἶναι συμφέρον ἀκροᾶσθαι τῶν κρατούντων

οὕτω καὶ περὶ Δημοσθένους ἔχωμεν εἰπεῖν, οἷον ἐπτοημένου καὶ πλαγιάζοντος, ἢ φωνὴν, ἢ πρᾶξιν, ἀλλ' ὥσπερ ἐφ' ἑνὸς καὶ ἀμεταβλήτου διαγράμματος τῆς πολιτείας ἕνα τόνον ἔχων ἐν τοῖς πράγμασιν ἀεὶ διετέλεσε. Παναίτιος δ', ὁ φιλόσοφος, καὶ τῶν λόγων αὐτοῦ φησὶν οὕτω γεγράφθαι τοὺς πλείστους, ὡς μόνου τοῦ καλοῦ δι' αὐτὸ αἱρετοῦ ὄντος, τὸν περὶ τοῦ στεφάνου, τὸν κατ' Ἀριστοκράτους, τὸν ὑπὲρ τῶν ἀτελειῶν, τοὺς Φιλιππικούς· ἐν οἷς πᾶσιν οὐ πρὸς τὸ ἥδιστον, ἢ ῥᾷστον, ἢ λυσιτελέστατον, ἄγει τοὺς πολίτας, ἀλλὰ πολλαχοῦ τὴν ἀσφάλειαν καὶ τὴν σωτηρίαν οἴεται δεῖν ἐν δευτέρᾳ τάξει τοῦ καλοῦ ποιεῖσθαι καὶ τοῦ πρέποντος· ὡς, εἴγε τῇ περὶ τὰς ὑποθέσεις αὐτοῦ φιλοτιμίᾳ καὶ τῇ τῶν λόγων εὐγενείᾳ παρῆν ἀνδρεία τε πολεμιστήριος, καὶ τὸ παθαρῶς ἕκαστα πράττειν, οὐκ ἐν τῷ κατὰ Μοιροκλέα, καὶ Πολύευκτον, καὶ Ὑπερίδην, ἀριθμῷ τῶν ῥητόρων, ἀλλ' ἄνω μετὰ Κίμωνος, καὶ Θουκυδίδου, καὶ Περικλέους, ἄξιος ἦν τίθεσθαι.

XIV. Τῶν γοῦν κατ' αὐτὸν ὁ Φωκίων, οὐκ ἐπαινουμένης προϊστάμενος πολιτείας, ἀλλὰ δοκῶν μακεδονίζειν, ὅμως δι' ἀνδρείαν καὶ δικαιοσύνην οὐδὲν οὐδαμοῦ χείρων ἔδοξεν Ἐφιάλτου, καὶ Ἀριστείδου, καὶ Κίμωνος, ἀνὴρ γενέσθαι. Δημοσθένης δ', οὐκ ὢν ἐν τοῖς ὅπλοις ἀξιόπιστος, ὡς φησιν ὁ Δημήτριος, οὐδὲ πρὸς τὸ λαμβάνειν παντάπασιν ἀπωχυρωμένος, ἀλλὰ τῷ μὲν παρὰ Φιλίππου καὶ Μακεδονίας ἀνάλωτος ὤν, τῷ δ' ἄνωθεν ἐκ Σούσων καὶ Ἐκβατάνων ἐπιβατὸς χρυσίῳ γεγονὼς καὶ κατακεκλυσμένος, ἐπαινέσαι μὲν ἐκανώτατος ἦν τὰ τῶν προγόνων καλὰ, μιμήσασθαι δ' οὐχ ὁμοίως. Ἐπεὶ τούς γε καθ' αὑτὸν ῥήτορας, (ἔξω δὲ λόγου τίθεμαι Φωκίωνα,) καὶ τῷ βίῳ παρῆλθε. Φαίνεται δὲ καὶ μετὰ παῤῥησίας μάλιστα τῷ δήμῳ διαλεγόμενος, καὶ πρὸς τὰς ἐπιθυμίας τῶν πολλῶν ἀντιτείνων, καὶ τοῖς ἁμαρτήμασιν αὐτῶν ἐπιφυόμενος, ὡς ἐκ τῶν λόγων λαβεῖν ἔστιν. Ἱστορεῖ δὲ

καὶ Θεόπομπος, ὅτι, τῶν Ἀθηναίων ἐπί τινα προβαλλομένων αὐτὸν κατηγορίαν, ὡς οὐχ ὑπήκουε, θορυβούντων, ἀναστὰς εἶπεν· „Ὑμεῖς ἐμοί, ὦ ἄνδρες Ἀθηναῖοι, συμβούλῳ μὲν, κἂν μὴ θέλητε, χρήσεσθε· συκοφάντῃ δ', οὐδὲ ἐὰν θέλητε.“ Σφόδρα δ' ἀριστοκρατικὸν αὐτοῦ πολίτευμα καὶ τὸ περὶ Ἀντιφῶντος· ὃν ὑπὸ τῆς ἐκκλησίας ἀφεθέντα συλλαβὼν, ἐπὶ τὴν ἐξ Ἀρείου πάγου βουλὴν παρήγαγε, καὶ παρ' οὐδὲν τὸ προσκροῦσαι τῷ δήμῳ θέμενος, ἤλεγξεν ὑπεσχημένον Φιλίππῳ τὰ νεώρια ἐμπρήσειν· καὶ παραδοθεὶς ὁ ἄνθρωπος ὑπὸ τῆς βουλῆς ἀπέθανε. Κατηγόρησε δὲ καὶ τῆς ἱερείας Θεωρίδος, ὡς ἄλλα τε ῥᾳδιουργούσης πολλὰ, καὶ τοὺς δούλους ἐξαπατᾷν διδασκούσης· καὶ θανάτου τιμησάμενος ἀπέκτεινε.

XV. Λέγεται δὲ καὶ τὸν κατὰ Τιμοθέου, τοῦ στρατηγοῦ, λόγον, ᾧ χρησάμενος Ἀπολλόδωρος εἶλε τὸν ἄνδρα τοῦ ὁφλήματος, Δημοσθένης γράψαι τῷ Ἀπολλοδώρῳ, καθάπερ καὶ τοὺς πρὸς Φορμίωνα καὶ Στέφανον, ἐφ' οἷς εἰκότως ἠδόξησε. Καὶ γὰρ Φορμίων ἠγωνίζετο λόγῳ Δημοσθένους πρὸς τὸν Ἀπολλόδωρον, ἀτεχνῶς, καθάπερ ἐξ ἑνὸς μαχαιροπωλίου, τὰ κατ' ἀλλήλων ἐγχειρίδια πωλοῦντας αὐτοῦ τοῖς ἀντιδίκοις. Τῶν δὲ δημοσίων, ὁ μὲν κατ' Ἀνδροτίωνος, καὶ Τιμοκράτους, καὶ Ἀριστοκράτους, ἑτέροις ἐγράφησαν, οὕτω τῇ πολιτείᾳ προσε-
853 λήλυθότος· δοκεῖ γὰρ δυοῖν, ἢ τριῶν, δέοντα ἔτη τριάκοντα γεγονὼς ἐξενεγκεῖν τοὺς λόγους ἐκείνους· τὸν δὲ κατ' Ἀριστογείτονος αὐτὸς ἠγωνίσατο, καὶ τὸν περὶ τῶν ἀτελειῶν, διὰ τὸν Χαβρίου παῖδα, Κτησιππον, ὥς φησιν αὐτός· ὡς δ' ἔνιοι λέγουσι, τὴν μητέρα τοῦ νεανίσκου μνώμενος. Οὐ μὴν ἔγημε ταύτην, ἀλλὰ Σαμίᾳ τινὶ συνῴκησεν, ὡς ἱστορεῖ Δημήτριος ὁ Μάγνης ἐν τοῖς περὶ συνωνύμων. Ὁ δὲ κατ' Αἰσχίνου τῆς παραπρεσβείας, ἄδηλον, εἰ λέλεκται. Καίτοι φησὶν Ἰδομενεὺς, παρὰ τριάκοντα μόνας τὸν Αἰσχίνην ἀποφυγεῖν. Ἀλλ' οὐκ ἔοικεν οὕτως ἔχειν ταληθὲς, εἰ δεῖ τοῖς πε-

περὶ στεφάνου γεγραμμένοις ἑκατέρων λόγοις τεκμαίρεσθαι. Μέμνηται γὰρ οὐδέτερος αὐτῶν ἐναργῶς, οὐδὲ τρανῶς, ἐκείνου τοῦ ἀγῶνος, ὡς ἄχρι δίκης προελθόντος. Ταυτὶ μὲν οὖν ἕτεροι διακρινοῦσι μᾶλλον.

XVI. Ἡ δὲ τοῦ Δημοσθένους πολιτεία φανερὰ μὲν ἦν, ἔτι καὶ τῆς εἰρήνης ὑπαρχούσης, οὐδὲν ἐῶντος ἀνεπιτίμητον τῶν πραττομένων ὑπὸ τοῦ Μακεδόνος, ἀλλ' ἐφ' ἑκάστῳ ταράττοντος τοὺς Ἀθηναίους, καὶ διακαίοντος ἐπὶ τὸν ἄνθρωπον. Διὸ καὶ παρὰ Φιλίππῳ πλεῖστος ἦν λόγος αὐτοῦ, καὶ ὅτε πρεσβεύων δέκατος ἦκεν εἰς Μακεδονίαν, ἤκουσε μὲν πάντων Φίλιππος, ἀντεῖπε δὲ μετὰ πλείστης ἐπιμελείας πρὸς τὸν ἐκείνου λόγον. Οὐ μὴν ἔν γε ταῖς ἄλλαις τιμαῖς καὶ φιλοφροσύναις ὅμοιον αὑτὸν τῷ Δημοσθένει παρεῖχεν, ἀλλὰ προσήγετο τοὺς περὶ Αἰσχίνην καὶ Φιλοκράτην μᾶλλον. Ὅθεν ἐπαινούντων ἐκείνων τὸν Φίλιππον, ὡς καὶ λέγειν δυνατώτατον, καὶ κάλλιστον ὀφθῆναι, καὶ νὴ Δία συμπιεῖν ἱκανώτατον, ἠναγκάζετο βασκαίνων ἐπισκώπτειν, ὡς τὸ μὲν σοφιστοῦ, τὸ δὲ γυναικὸς, τὸ δὲ σπογγιᾶς εἴη, βασιλέως δ' οὐδὲν ἐγκώμιον.

XVII. Ἐπεὶ δ' εἰς τὸ πολεμεῖν ἔρρεπε τὰ πράγματα, τοῦ μὲν Φιλίππου μὴ δυναμένου τὴν ἡσυχίαν ἄγειν, τῶν δ' Ἀθηναίων ἐγειρομένων ὑπὸ τοῦ Δημοσθένους, πρῶτον μὲν εἰς Εὔβοιαν ἐξώρμησε τοὺς Ἀθηναίους καταδεδουλωμένην ὑπὸ τῶν τυράννων Φιλίππῳ· καὶ διαβάντες, ἐκείνου τὸ ψήφισμα γράψαντος, ἐξήλασαν τοὺς Μακεδόνας. Δεύτερον δὲ Βυζαντίοις ἐβοήθησε καὶ Περινθίοις ὑπὸ τοῦ Μακεδόνος πολεμουμένοις, πείσας τὸν δῆμον, ἀφέντα τὴν ἔχθραν, καὶ τὸ μεμνῆσθαι τῶν περὶ τὸν συμμαχικὸν ἡμαρτημένων ἑκατέροις πόλεμον, ἀποστεῖλαι δύναμιν αὐτοῖς, ὑφ' ἧς ἐσώθησαν. Ἔπειτα πρεσβεύων καὶ διαλεγόμενος τοῖς Ἕλλησι, καὶ παροξύνων, συνέστησε, πλὴν ὀλίγων, ἅπαντας ἐπὶ τὸν Φίλιππον· ὥστε συνταξιν γενέσθαι πεζῶν

μὲν μυρίων καὶ πεντακισχιλίων, ἱππέων δὲ δισχιλίων, ἄνευ τῶν πολιτικῶν δυνάμεων, χρήματα δὲ καὶ μισθοὺς τοῖς ξένοις εἰσφέρεσθαι προθύμως. Ὅτε καί φησι Θεόφραστος, ἀξιούντων τῶν συμμάχων ὁρισθῆναι τὰς εἰσφοράς, εἰπεῖν Κρωβύλον, τὸν δημαγωγὸν, ὡς οὐ τεταγμένα αἰτεῖται πόλεμος. Ἐπηρμένης δὲ τῆς Ἑλλάδος πρὸς τὸ μέλλον, καὶ συνισταμένων κατ' ἔθνη καὶ πόλεις Εὐβοέων, Ἀχαιῶν, Κορινθίων, Μεγαρέων, Λευκαδίων, Κερκυραίων, ὁ μέγιστος ὑπελείπετο τῷ Δημοσθένει τῶν ἀγώνων, Θηβαίους προσαγαγέσθαι τῇ συμμαχίᾳ, χώραν τε σύνορον τῆς Ἀττικῆς καὶ δύναμιν ἐναγώνιον ἔχοντας, καὶ μάλιστα τότε τῶν Ἑλλήνων εὐδοκιμοῦντας ἐν τοῖς ὅπλοις. Ἦν δ' οὐ ῥᾴδιον ἐπὶ προσφάτοις εὐεργετήμασι τοῖς περὶ τὸν Φωκικὸν πόλεμον τετιθασσευμένους ὑπὸ τοῦ Φιλίππου μεταστῆσαι τοὺς Θηβαίους, καὶ μάλιστα ταῖς διὰ τὴν γειτνίασιν ἀψιμαχίαις ἀναξαινομένων ἑκάστοτε τῶν πολεμικῶν πρὸς ἀλλήλας διαφορῶν ταῖς πόλεσιν.

854 XVIII. Οὐ μὴν ἀλλ' ἐπεὶ Φίλιππος, ὑπὸ τῆς περὶ τὴν Ἄμφισσαν εὐτυχίας ἐπαιρόμενος, εἰς τὴν Ἐλάτειαν ἐξαίφνης ἐνέπεσε, καὶ τὴν Φωκίδα κατέσχεν, ἐκπεπληγμένων τῶν Ἀθηναίων, καὶ μηδενὸς τολμῶντος ἀναβαίνειν ἐπὶ τὸ βῆμα, μηδ' ἔχοντος, ὅ τι χρὴ λέγειν, ἀλλ' ἀπορίας οὔσης ἐν μέσῳ καὶ σιωπῆς, παρελθὼν μόνος ὁ Δημοσθένης, συνεβούλευε τῶν Θηβαίων ἔχεσθαι· καὶ τἆλλα παραθαῤῥύνας καὶ μετεωρίσας, ὥσπερ εἰώθει, τὸν δῆμον ταῖς ἐλπίσιν, ἀπεστάλη πρεσβευτὴς μεθ' ἑτέρων εἰς Θήβας. Ἔπεμψε δὲ καὶ Φίλιππος, ὡς Μαρσύας φησὶν, Ἀμύνταν μὲν καὶ Κλέαρχον, Μακεδόνας, Δάοχον δὲ καὶ Θρασυδαῖον, Θεσσαλοὺς, ἀντεροῦντας. Τὸ μὲν οὖν συμφέρον οὐ διέφυγε τοὺς τῶν Θηβαίων λογισμοὺς, ἀλλ' ἐν ὄμμασιν ἕκαστος εἶχε τὰ τοῦ πολέμου δεινά, ἔτι τῶν Φωκικῶν τραυμάτων νεαρῶν παραμενόντων. Ἡ δὲ τοῦ ῥήτορος δύναμις, ὥς φησι Θεόπομπος, ἐκριπίζουσα τὸν θυμὸν αὐτῶν, καὶ διακαίουσα τὴν φιλοτιμίαν, ἐπεσκότησε τοῖς ἄλλοις ἅπασιν· ὥστ' εἰς

φόβον καὶ λογισμὸν καὶ χάριν ἐκβαλεῖν αὐτοὺς, ἐνθουσιῶντας ὑπὸ τοῦ λόγου πρὸς τὸ καλόν. Οὕτω δὲ μέγα καὶ λαμπρὸν ἐφάνη τὸ τοῦ ῥήτορος ἔργον, ὥστε τὸν μὲν Φίλιππον εὐθὺς ἐπικηρυκεύεσθαι, δεόμενον εἰρήνης, ὀρθὴν δὲ τὴν Ἑλλάδα γενέσθαι, καὶ συνεξαναστῆναι πρὸς τὸ μέλλον, ὑπηρετεῖν δὲ μὴ μόνον τοὺς στρατηγοὺς τῷ Δημοσθένει ποιοῦντας τὸ προσταττόμενον, ἀλλὰ καὶ τοὺς Βοιωτάρχας, καὶ διοικεῖσθαι τὰς ἐκκλησίας ἁπάσας οὐδὲν ἧττον ὑπ' ἐκείνου τότε τὰς Θηβαίων, ἢ τὰς Ἀθηναίων, ἀγαπωμένου παρ' ἀμφοτέροις καὶ δυναστεύοντος, οὐκ ἀδίκως, οὐδὲ παρ' ἀξίαν, ὥσπερ ἀποφαίνεται Θεόπομπος, ἀλλὰ καὶ πάνυ προσηκόντως.

XIX. Τύχη δέ τις ἔοικε δαιμόνιος, ἐν περιφορᾷ πραγμάτων εἰς ἐκεῖνο καιροῦ συμπεραίνουσα τὴν ἐλευθερίαν τῆς Ἑλλάδος, ἐναντιοῦσθαι τοῖς πραττομένοις, καὶ πολλὰ σημεῖα τοῦ μέλλοντος ἀναφαίνειν, ἐν οἷς ἥ τε Πυθία δεινὰ προὔφαινε μαντεύματα, καὶ χρησμὸς ἦδετο παλαιὸς ἐκ τῶν Σιβυλλείων·

Τῆς ἐπὶ Θερμώδοντι μάχης ἀπάνευθε γενοίμην,
Αἰετὸς ἐν νεφέεσσι καὶ ἠέρι θηήσασθαι.
Κλαίει ὁ νικηθείς, ὁ δὲ νικήσας ἀπόλωλεν.

Τὸν δὲ Θερμώδοντα φασὶν εἶναι παρ' ἡμῖν ἐν Χαιρωνείᾳ ποτάμιον μικρὸν εἰς τὸν Κηφισὸν ἐμβάλλον. Ἡμεῖς δὲ νῦν μὲν οὐδὲν ἴσμεν οὕτω τῶν ῥευμάτων ὀνομαζόμενον, εἰκάζομεν δὲ, τὸν καλούμενον Αἷμονα Θερμώδοντα λέγεσθαι τότε· καὶ παραῤῥεῖ παρὰ τὸ Ἡράκλειον, ὅπου κατεστρατοπέδευον οἱ Ἕλληνες· καὶ τεκμαιρόμεθα, τῆς μάχης γενομένης, αἵματος ἐμπλησθέντα καὶ νεκρῶν τὸν ποταμὸν, ταύτην θεάλλαξαι τὴν προσηγορίαν. Ὁ δὲ Δούρις οὐ ποταμὸν εἶναί φησι τὸν Θερμώδοντα, ἀλλ' ἱστάντας τινὰν σκηνὴν καὶ περιορύττοντας, ἀνδριαντίσκον εὑρεῖν λίθινον ὑπὸ γραμμάτων τινῶν διασημαινόμενον, ὡς εἴη Θερμώδων, ἐν ταῖς ἀγκά-

λαις Ἀμαζόνα φέρων τετρωμένην. Ἐπεὶ δὲ τούτῳ χρησμὸν ἄλλον ᾆδεσθαι, λέγοντα·

Τὴν ἐπὶ Θερμώδοντι μάχην μένε, παμμέλαν ὄρνι.
Τηνεῖ τοι κρέα πολλὰ παρέσσεται ἀνθρώπεια.

XX. Ταῦτα μὲν οὖν ὅπως ἔχει, διαιτῆσαι χαλεπόν. Ὁ δὲ Δημοσθένης λέγεται, τοῖς τῶν Ἑλλήνων ὅπλοις ἐκτεθαρρηκὼς, καὶ λαμπρῶς ὑπὸ φώμης καὶ προθυμίας ἀνδρῶν τοσούτων προκαλουμένων τοὺς πολεμίους αἰρόμενος, οὔτε χρησμοῖς ἐᾷν προσέχειν, οὔτε μαντείας ἀκούειν, ἀλλὰ καὶ τὴν Πυθίαν ὑπονοεῖν ὡς φιλιππίζουσαν, ἀναμιμνήσκων Ἐπαμινώνδου τοὺς Θηβαίους, καὶ Περικλέους τοὺς Ἀθηναίους, ὡς ἐκεῖνοι, τὰ τοιαῦτα δειλίας ἡγούμενοι προφάσεις, ἐχρῶντο τοῖς λογισμοῖς. Μέχρι μὲν οὖν τούτων ἀνὴρ ἦν ἀγαθός· ἐν δὲ τῇ μάχῃ καλὸν οὐδὲν οὐδ' ὁμολογούμενον ἔργον οἷς εἶπεν ἀποδειξάμενος, ὤχετο τὴν τάξιν ἀποδρὰς αἴσχιστα, καὶ τὰ ὅπλα ῥίψας, οὐδὲ τὴν ἐπιγραφὴν τῆς ἀσπίδος, ὡς ἔλεγε Πυθέας, αἰσχυνθεὶς, ἐπιγεγραμμένης γράμμασι χρυσοῖς· Ἀγαθῇ τύχῃ. Παραυτίκα μὲν οὖν ὁ Φίλιππος ἐπὶ τῇ νίκῃ διὰ τὴν χαρὰν ἐξυβρίσας, καὶ κωμάσας ἐπὶ τοὺς νεκροὺς μεθύων, ἤδε τὴν ἀρχὴν τοῦ Δημοσθένους ψηφίσματος, πρὸς πόδα διαιρῶν καὶ ὑποκρούων·

Δημοσθένης Δημοσθένους Παιανιεὺς τάδ' εἶπεν.

ἐκνήψας δὲ, καὶ τὸ μέγεθος τοῦ περιστάντος αὐτὸν ἀγῶνος ἐν νῷ λαβὼν, ἔφριττε τὴν δεινότητα καὶ τὴν δύναμιν τοῦ ῥήτορος, ἐν μέρει μικρῷ μιᾶς ἡμέρας τὸν ὑπὲρ τῆς ἡγεμονίας καὶ τοῦ σώματος ἀναρρίψαι κίνδυνον ἀναγκασθεὶς ὑπ' αὐτοῦ. Διῆκτο δ' ἡ δόξα μέχρι τοῦ Περσῶν βασιλέως· κἀκεῖνος ἔπεμψε τοῖς σατράπαις ἐπὶ θάλασσαν χρήματα, Δημοσθένει διδόναι κελεύων καὶ προσέχειν ἐκείνῳ μάλιστα τῶν Ἑλλήνων, ὡς περισπάσαι δυναμένῳ καὶ κατασχεῖν ταῖς Ἑλληνικαῖς ταραχαῖς τὸν Μακεδόνα. Ταῦτα μὲν οὖν ὕστερον ἐφώρασεν Ἀλέξανδρος, ἐν Σάρδεσιν ἐπιστολάς τινας ἀνευρὼν

τοῦ Δημοσθένους, καὶ γράμματα τῶν βασιλέως στρατηγῶν, δηλοῦντα τὸ πλῆθος τῶν δοθέντων αὐτῷ χρημάτων.

XXI. Τότε δὲ τῆς ἀτυχίας τοῖς Ἕλλησι γενομένης, οἱ μὲν ἀντιπολιτευόμενοι ῥήτορες, ἐπεμβαίνοντες τῷ Δημοσθένει, κατεσκεύαζον εὐθύνας καὶ γραφὰς ἐπ' αὐτόν· ὁ δὲ δῆμος οὐ μόνον τούτων ἀπέλυεν, ἀλλὰ καὶ τιμῶν διετέλει, καὶ προσκαλούμενος αὖθις, ὡς εὖνουν, εἰς τὴν πολιτείαν· ὥστε καὶ τῶν ὀστέων ἐκ Χαιρωνείας κομισθέντων, καὶ θαπτομένων, τὸν ἐπὶ τοῖς ἀνδράσιν ἔπαινον εἰπεῖν ἀπέδωκεν, οὐ ταπεινῶς, οὐδ' ἀγεννῶς φέρων τὸ συμβεβηκὸς, ὡς γράφει καὶ τραγῳδεῖ Θεόπομπος, ἀλλὰ τῷ τιμᾶν μάλιστα καὶ κοσμεῖν τὸν σύμβουλον ἀποδεικνύμενος τὸ μὴ μεταμέλεσθαι τοῖς βαβουλευμένοις. Τὸν μὲν οὖν λόγον εἶπεν ὁ Δημοσθένης, τοῖς δὲ ψηφίσμασιν οὐχ ἑαυτὸν, ἀλλ' ἐν μέρει τῶν φίλων ἕκαστον ἐπέγραφεν, ἐξοικονιζόμενος τὸν ἴδιον δαίμονα καὶ τὴν τύχην, ἕως αὖθις ἀνεθάρρησε, Φιλίππου τελευτήσαντος. Ἐτελεύτησε δὲ τῇ περὶ Χαιρώνειαν εὐτυχίᾳ χρόνον οὐ πολὺν ἐπιβιώσας. Καὶ τοῦτο δοκεῖ τῷ τελευταίῳ τῶν ἐπῶν ὁ χρησμὸς ἀποθεσπίσαι·

Κλαίει ὁ νικηθείς, ὁ δὲ νικήσας ἀπόλωλεν.

XXII. Ἔγνω μὲν οὖν κρύφα τὴν τοῦ Φιλίππου τελευτὴν ὁ Δημοσθένης. Προκαταλαμβάνων δὲ τὸ θαρρεῖν ἐπὶ τὰ μέλλοντα τοὺς Ἀθηναίους, προῆλθε φαιδρὸς εἰς τὴν βουλὴν, ὡς ὄναρ ἑωρακὼς, ἀφ' οὗ τι μέγα προσδοκᾶν Ἀθηναίοις ἀγαθὸν· καὶ μετ' οὐ πολὺ παρῆσαν οἱ τὸν Φιλίππου θάνατον ἀπαγγέλλοντες. Εὐθὺς οὖν ἔθυον εὐαγγέλια, καὶ στεφανοῦν ἐψηφίσαντο Παυσανίαν. Καὶ προῆλθεν ὁ Δημοσθένης ἔχων λαμπρὸν ἱμάτιον ἐστεφανωμένος, ἑβδόμην ἡμέραν τῆς θυγατρὸς αὐτοῦ τεθνηκυίας, ὡς Αἰσχίνης φησὶ, λοιδορῶν ἐπὶ τούτῳ, καὶ κατηγορῶν αὐτοῦ μισοτεκνίαν, αὐτὸς ὢν ἀγεννὴς καὶ μαλακὸς, εἰ τὰ πένθη καὶ τοὺς ὀδυρμοὺς ἡμέρου καὶ φιλοστόργου ψυχῆς ἐποιεῖτο σημεῖα, τὸ δ' ἀλύπως φέρειν

ταῦτα καὶ πρᾴως ἀπεδοκίμαζεν. Ἐγὼ δ', ὡς μὲν ἐπὶ θανάτῳ βασιλέως ἡμέρως οὕτω καὶ φιλανθρώπως ἐν οἷς ηὐτύχησε χρησαμένου πταίσασιν αὐτοῖς, στεφανηφορεῖν καλῶς εἶχε καὶ θύειν, οὐκ ἂν εἴποιμι· πρὸς γὰρ τῷ νεμεσητῷ καὶ ἀγεννὲς, ζῶντα μὲν τιμᾶν καὶ ποιεῖσθαι πολίτην, πεσόντος δ' ὑφ' ἑτέρου, μὴ φέρειν τὴν χαρὰν μετρίως, ἀλλ' ἐπισκιρτᾶν τῷ νεκρῷ καὶ παιωνίζειν, ὥσπερ αὐτοὺς ἀνδραγαθήσαντας· ὅτι μέντοι τὰς οἴκοι τύχας καὶ θάκρυα καὶ ὀδυρμοὺς ἀπολιπὼν ταῖς γυναιξὶν ὁ Δημοσθένης, ἃ τῇ πόλει συμφέρειν ᾤετο, ταῦτ' ἔπραττεν, ἐπαινῶ, καὶ τίθεμαι πολιτικῆς καὶ ἀνδρώδους ψυχῆς, ἀεὶ πρὸς τὸ κοινὸν ἱστάμενον, καὶ τὰ οἰκεῖα πάθη καὶ πράγματα τοῖς δημοσίοις ἐπανέχοντα, τηρεῖν τὸ ἀξίωμα πολὺ μᾶλλον, ἢ τοὺς ὑποκριτὰς τῶν βασιλικῶν καὶ τυραννικῶν προσώπων· οὓς ὁρῶμεν οὔτε κλαίοντας, οὔτε γελῶντας, ἐν τοῖς θεάτροις, ὡς αὐτοὶ θέλουσιν, ἀλλ' ὡς ὁ ἀγὼν ἀπαιτεῖ πρὸς τὴν ὑπόθεσιν. Χωρὶς δὲ τούτων, εἰ δεῖ τὸν ἀτυχήσαντα μὴ περιορᾶν ἀπαρηγόρητον ἐν τῷ πάθει κείμενον, ἀλλὰ καὶ λόγοις χρῆσθαι κουφίζουσι, καὶ πρὸς ἡδίω πράγματα τρέπειν τὴν διανοιαν, ὥσπερ οἱ τοὺς ὀφθαλμιῶντας ἀπὸ τῶν λαμπρῶν καὶ αντιτύπων ἐπὶ τὰ χλωρὰ καὶ μαλακὰ χρώματα τὴν ὄψιν ἀπάγειν κελεύοντες· πόθεν ἂν τις ἐπαγάγοιτο βελτίω παρηγορίαν, ἢ πατρίδος εὐτυχούσης ἐκ τῶν κοινῶν παθῶν ἐπὶ τὰ οἰκεῖα συγκρασιν ποριζόμενος, τοῖς βελτίοσιν ἀφανίζουσαν τὰ χείρω; Ταῦτα μὲν οὖν εἰπεῖν προηχθημεν, ὁρῶντες ἐπιλῶντα πολλοὺς καὶ ἀποθηλύνοντα τὸν Αἰσχίνην τῷ λόγῳ τούτῳ πρὸς οἶκτον.

856

XXIII. Αἱ δὲ πόλεις, πάλιν τοῦ Δημοσθένους ἀναρριπίζοντος αὐτὰς, συνίσταντο. Καὶ Θηβαῖοι μὲν ἐπέθεντο τῇ φρουρᾷ, καὶ πολλοὺς ἀνεῖλον, ὅπλα τοῦ Δημοσθένους αὐτοῖς παρασκευάσαντος· Ἀθηναῖοι δ' ὡς πολεμήσοντες μετ' αὐτῶν παρεσκευάζοντο. Καὶ τὸ βῆμα κατεῖχεν ὁ Δημοσθένης,

καὶ πρὸς τοὺς ἐν Ἀσίᾳ στρατηγοὺς τοῦ βασιλέως ἔγραφε, τὸν ἐκεῖθεν ἐπεγείρων πόλεμον Ἀλεξάνδρῳ, παῖδα καὶ Μαργίτην ἀποκαλῶν αὐτόν. Ἐπεὶ μέντοι τὰ περὶ τὴν χώραν θέμενος, παρῆν αὐτὸς μετὰ τῆς δυνάμεως εἰς τὴν Βοιωτίαν, ἐξεκέκοπτο μὲν ἡ θρασύτης τῶν Ἀθηναίων, καὶ ὁ Δημοσθένης ἀπεσβήκει· Θηβαῖοι δὲ, προδοθέντες ὑπ' ἐκείνων, ἠγωνίσαντο καθ' αὑτοὺς, καὶ τὴν πόλιν ἀπέβαλον. Θορύβου δὲ μεγάλου τοὺς Ἀθηναίους περιεστῶτος, ἀπεστάλη μὲν ὁ Δημοσθένης αἱρεθεὶς μεθ' ἑτέρων πρεσβευτὴς πρὸς Ἀλέξανδρον, δείσας δὲ τὴν ὀργὴν, ἐκ τοῦ Κιθαιρῶνος ἀνεχώρησεν ὀπίσω, καὶ τὴν πρεσβείαν ἀφῆκεν. Εὐθὺς δ' ὁ Ἀλέξανδρος ἐξήτει πέμπων τῶν δημαγωγῶν δέκα μὲν, ὡς Ἱδομενεὺς καὶ Δοῦρις εἰρήκασιν· οὕτω δ', ὡς οἱ πλεῖστοι καὶ δοκιμώτατοι τῶν συγγραφέων, τούσδε, Δημοσθένην, Πολύευκτον, Ἐφιάλτην, Λυκοῦργον, Μοιροκλέα, Λάμωνα, Καλλισθένην, Χαρίδημον. Ὅτε καὶ τὸν περὶ τῶν προβάτων λόγον ὁ Δημοσθένης, ὡς τοῖς λύκοις τοὺς κύνας ἐξέδωκε, διηγησάμενος, αὐτὸν μὲν εἴκασε καὶ τοὺς σὺν αὐτῷ κυσὶν ὑπὲρ τοῦ δήμου μαχομένους, Ἀλέξανδρον δὲ, τὸν Μακεδόνα, μενέλυσιν προσηγόρευσεν. Ἔτι δ' „Ὡς, ἔφη, τοὺς ἐμπόρους ὁρῶμεν, ὅταν ἐν τρυβλίῳ δεῖγμα περιφέρωσι, δι' ὀλίγων πυρῶν τοὺς πολλοὺς πιπράσκοντας, οὕτως ἐν ἡμῖν λανθάνετε πάντας αὐτοὺς συνεπιδιδόντες." Ταῦτα μὲν οὖν Ἀριστόβουλος, ὁ Κασανδρεύς, ἱστόρηκε. Βουλευομένων δὲ τῶν Ἀθηναίων καὶ διαπορούντων, ὁ Δημάδης λαβὼν πέντε τάλαντα παρὰ τῶν ἀνδρῶν, ὡμολόγησε πρεσβεύσειν καὶ δεήσεσθαι τοῦ βασιλέως ὑπὲρ αὐτῶν· εἴτε τῇ φιλίᾳ πιστεύων, εἴτε πρασσομῶν μεστὸν εὑρήσειν, ὥσπερ λέοντα φόνου πεπορεσμένον. Ἔπεισε δ' οὖν καὶ παρῃτήσατο τοὺς ἄνδρας ὁ Δημάδης, καὶ διήλλαξεν αὐτῷ τὴν πόλιν.

XXIV. Ἀπελθόντος δ' Ἀλεξάνδρου, μεγάλοι μὲν ἦσαν οὗτοι, ταπεινὰ δ' ἔπραττεν ὁ Δημοσθένης. Κινουμένῳ δ' Ἄγιδι τῷ Σπαρτιάτῃ βραχέα 857

ταῦτα καὶ πρᾴως ἀπεδοκίμαζεν. Ἐγὼ δ', ὡς μὲν ἐπὶ θανάτῳ βασιλέως ἡμέρως οὕτω καὶ φιλανθρώπως ἐν οἷς ηὐτύχησε χρησαμένου πταίσασιν αὐτοῖς, στεφανηφορεῖν καλῶς εἶχε καὶ θύειν, οὐκ ἂν εἴποιμι· πρὸς γὰρ τῷ νεμεσητῷ καὶ ἀγεννὲς, ζῶντα
856 μὲν τιμᾶν καὶ ποιεῖσθαι πολίτην, πεσόντος δ' ὕφ' ἑτέρου, μὴ φέρειν τὴν χαρὰν μετρίως, ἀλλ' ἐπισκιρτᾶν τῷ νεκρῷ καὶ παιωνίζειν, ὥσπερ αὐτοὺς ἀνδραγαθήσαντας· ὅτι μέντοι τὰς οἴκοι τύχας καὶ δάκρυα καὶ ὀδυρμοὺς ἀπολιπὼν ταῖς γυναιξὶν ὁ Δημοσθένης, ἃ τῇ πόλει συμφέρειν ᾤετο, ταῦτ' ἔπραττεν, ἐπαινῶ, καὶ τίθεμαι πολιτικῆς καὶ ἀνδρώδους ψυχῆς, ἀεὶ πρὸς τὸ κοινὸν ἱστάμενον, καὶ τὰ οἰκεῖα πάθη καὶ πράγματα τοῖς δημοσίοις ἐπανέχοντα, τηρεῖν τὸ ἀξίωμα πολὺ μᾶλλον, ἢ τοὺς ὑποκριτὰς τῶν βασιλικῶν καὶ τυραννικῶν προσώπων· οὓς ὁρῶμεν οὔτε κλαίοντας, οὔτε γελῶντας, ἐν τοῖς θεάτροις, ὡς αὐτοὶ θέλουσιν, ἀλλ' ὡς ὁ ἀγὼν ἀπαιτεῖ πρὸς τὴν ὑπόθεσιν. Χωρὶς δὲ τούτων, εἰ δεῖ τὸν ἀτυχήσαντα μὴ περιορᾶν ἀπαρηγόρητον ἐν τῷ πάθει κείμενον, ἀλλὰ καὶ λόγοις χρῆσθαι νουφίζουσι, καὶ πρὸς ἡδίω πράγματα τρέπειν τὴν διανοιαν, ὥσπερ οἱ τοὺς ὀφθαλμιῶντας ἀπὸ τῶν λαμπρῶν καὶ ἀντιτύπων ἐπὶ τὰ χλωρὰ καὶ μαλακὰ χρώματα τὴν ὄψιν ἀπάγειν κελεύοντες· πόθεν ἄν τις ἐπαγάγοιτο βελτίω παρηγορίαν, ἢ πατρίδος εὐτυχούσης ἐκ τῶν κοινῶν παθῶν ἐπὶ τὰ οἰκεῖα σύγκρασιν ποριζόμενος, τοῖς βελτίοσιν ἀφανίζουσαν τὰ χείρω; Ταῦτα μὲν οὖν εἰπεῖν προηχθημεν, ὁρῶντες ἐπικλῶντα πολλοὺς καὶ ἀποθλίβοντα τὸν Αἰσχίνην τῷ λόγῳ τούτῳ πρὸς οἶκτον.

XXIII. Αἱ δὲ πόλεις, πάλιν τοῦ Δημοσθένους ἀναῤῥιπίζοντος αὐτὰς, συνίσταντο. Καὶ Θηβαῖοι μὲν ἐπέθεντο τῇ φρουρᾷ, καὶ πολλοὺς ἀνεῖλον, ὅπλα τοῦ Δημοσθένους αὐτοῖς παρασκευάσαντος· Ἀθηναῖοι δ' ὡς πολεμήσοντες μετ' αὐτῶν παρεσκευάζοντο. Καὶ τὸ βῆμα κατεῖχεν ὁ Δημοσθένης,

καὶ πρὸς τοὺς ἐν Ἀσίᾳ στρατηγοὺς τοῦ βασιλέως ἔγραφε, τὸν ἐκεῖθεν ἐπεγείρων πόλεμον Ἀλεξάνδρῳ, παῖδα καὶ Μαργίτην ἀποκαλῶν αὐτόν. Ἐπεὶ μέντοι τὰ περὶ τὴν χώραν θέμενος, παρῆν αὐτὸς μετὰ τῆς δυνάμεως εἰς τὴν Βοιωτίαν, ἐξεκέκοπτο μὲν ἡ θρασύτης τῶν Ἀθηναίων, καὶ ὁ Δημοσθένης ἀπεσβήκει· Θηβαῖοι δὲ, προδοθέντες ὑπ' ἐκείνων, ἠγωνίσαντο καθ' αὑτοὺς, καὶ τὴν πόλιν ἀπέβαλον. Θορύβου δὲ μεγάλου τοὺς Ἀθηναίους περιεστῶτος, ἀπεστάλη μὲν ὁ Δημοσθένης αἱρεθεὶς μεθ' ἑτέρων πρεσβευτὴς πρὸς Ἀλέξανδρον, δείσας δὲ τὴν ὀργὴν, ἐκ τοῦ Κιθαιρῶνος ἀνεχώρησεν ὀπίσω, καὶ τὴν πρεσβείαν ἀφῆκεν. Εὐθὺς δ' ὁ Ἀλέξανδρος ἐξήτει πέμπων τῶν δημαγωγῶν δέκα μὲν, ὡς Ἰδομενεὺς καὶ Δοῦρις ἱστοροῦσιν· ὀκτὼ δ', ὡς οἱ πλεῖστοι καὶ δοκιμώτατοι τῶν συγγραφέων, τούσδε, Δημοσθένην, Πολύευκτον, Ἐφιάλτην, Λυκοῦργον, Μοιροκλέα, Λύμωνα, Καλλισθένην, Χαρίδημον. Ὅτε καὶ τὸν περὶ τῶν προβάτων λόγον ὁ Δημοσθένης, ὡς τοῖς λύκοις τοὺς κύνας ἐξέδωκε, διηγησάμενος, αὐτὸν μὲν εἴκασε καὶ τοὺς σὺν αὐτῷ κυσὶν ὑπὲρ τοῦ δήμου μαχομένους, Ἀλέξανδρον δὲ, τὸν Μακεδόνα, μενόλυκον προσηγόρευσεν. Ἔτι δ' „Ὡς, ἔφη, τοὺς ἐμπόρους ὁρῶμεν, ὅταν ἐν τρυβλίῳ δεῖγμα παριφέρωσι, δι' ὀλίγων πυρῶν τοὺς πολλοὺς πιπράσκοντας, οὕτως ἐν ἡμῖν λανθάνετε πάντας αὐτοὺς συνεπιδιδόντες." Ταῦτα μὲν οὖν Ἀριστόβουλος, ὁ Κασανδρεύς, ἱστόρηκε. Βουλευομένων δὲ τῶν Ἀθηναίων καὶ διαπορούντων, ὁ Δημάδης λαβὼν πέντε τάλαντα παρὰ τῶν ἀνδρῶν, ὡμολόγησε πρεσβεύσειν καὶ δεήσεσθαι τοῦ βασιλέως ὑπὲρ αὐτῶν· εἴτε τῇ φιλίᾳ πιστεύων, εἴτε πρασσομένων μεστὸν εὑρήσειν, ὥσπερ λέοντα φόνου κεκορεσμένον. Ἔπεισε δ' οὖν καὶ παρητήσατο τοὺς ἄνδρας ὁ Δημάδης, καὶ διήλλαξεν αὐτῷ τὴν πόλιν.

XXIV. Ἀπελθόντος δ' Ἀλεξάνδρου, μεγάλοι μὲν ἦσαν οὗτοι, ταπεινὰ δ' ἔπραττεν ὁ Δημοσθένης. Κινουμένῳ δ' Ἄγιδι τῷ Σπαρτιάτῃ βραχέα 857

συνεκινήθη πάλιν, εἶτ' ἔπτηξε, τῶν μὲν Ἀθηναίων οὐ συνεξαναστάντων, τοῦ δ' Ἄγιδος πεσόντος, καὶ τῶν Λακεδαιμονίων συντριβέντων. Εἰσήχθη δὲ τότε καὶ ἡ περὶ τοῦ στεφάνου γραφὴ κατὰ Κτησιφῶντος, γραφεῖσα μὲν ἐπὶ Χαιρώνδου ἄρχοντος, μικρὸν ἔπανω τῶν Χαιρωνικῶν, πριθεῖσα δ' ὕστερον ἔτεσι δέκα ἐπ' Ἀριστοφῶντος, γενομένη δὲ, ὡς οὐδεμία τῶν δημοσίων, περιβόητος, διά τε τὴν δόξαν τῶν λεγόντων, καὶ τὴν τῶν δικαζόντων εὐγένειαν· οἳ τοῖς ἐλαύνουσι τὸν Δημοσθένη, τότε πλεῖστον δυναμένοις καὶ μακεδονίζουσιν, οὐ προήκαντο τὴν κατ' αὐτοῦ ψῆφον, ἀλλ' οὕτω λαμπρῶς ἀπέλυσαν, ὥστε τὸ πέμπτον μέρος τῶν ψήφων Αἰσχίνην μὴ μεταλαβεῖν. Ἐκεῖνος μὲν οὖν εὐθὺς ἐκ τῆς πόλεως ᾤχετ' ἀπιών, καὶ περὶ Ῥόδον καὶ Ἰωνίαν σοφιστεύων κατεβίωσε.

XXV. Μετ' οὐ πολὺ δ' Ἅρπαλος ἦκεν ἐξ Ἀσίας εἰς τὰς Ἀθήνας, ἀποδρὰς Ἀλέξανδρον, αὐτῷ τε τὰ πράγματα συνειδὼς πονηρὰ δι' ἀσωτίαν, καὶ πεῖνον ἤδη χαλεπὸν ὄντα τοῖς φίλοις δεδοικώς. Καταφυγόντος δὲ πρὸς τὸν δῆμον αὐτοῦ, καὶ μετὰ τῶν χρημάτων καὶ τῶν νεῶν αὐτὸν παραδιδόντος, οἱ μὲν ἄλλοι ῥήτορες εὐθὺς ἐποφθαλμιάσαντες πρὸς τὸν πλοῦτον, ἐβοήθουν, καὶ συνέπειθον τοὺς Ἀθηναίους δέχεσθαι καὶ σώζειν τὸν ἱκέτην. Ὁ δὲ Δημοσθένης πρῶτον μὲν ἀπελαύνειν συνεβούλευε τὸν Ἅρπαλον, καὶ φυλάττεσθαι, μὴ τὴν πόλιν ἐμβάλωσιν εἰς πόλεμον ἐξ οὐκ ἀναγκαίας καὶ ἀδίκου προφάσεως· ἡμέραις δ' ὀλίγαις ὕστερον ἐξεταζομένων τῶν χρημάτων, ἰδὼν αὐτὸν ὁ Ἅρπαλος ἡσθέντα βασιλικῇ κύλικι, καὶ καταμανθάνοντα τὴν τορείαν καὶ τὸ εἶδος, ἐκέλευε διαβαστάσαντα, τὴν ὁλκὴν τοῦ χρυσίου σκέψασθαι. Θαυμάσαντος δὲ τοῦ Δημοσθένους τὸ βάρος, καὶ πυθομένου, πόσον ἄγει, μειδιάσας ὁ Ἅρπαλος· „Ἄξει σοι," φησὶν, „εἴκοσι τάλαντα" καὶ γενομένης τάχιστα τῆς νυκτὸς, ἔπεμψεν αὐτῷ τὴν κύλικα μετὰ τῶν εἴκοσι ταλάντων. Ἦν δ' ἄρα δεινὸς ὁ Ἅρπαλος ἐρωτικοῦ

πρὸς χρυσίον ἀνδρὸς ὄψεως διαχύσει καὶ βολαῖς ὀμμάτων ἀνευρεῖν ἦθος. Οὐ γὰρ ἀντέσχεν ὁ Δημοσθένης, ἀλλὰ πληγεὶς ὑπὸ τῆς δωροδοκίας, ὥσπερ παραδεδεγμένος φρουράν, προσεχωρήκει τῷ Ἁρπάλῳ. Καὶ μεθ' ἡμέραν εὖ καὶ καλῶς ἐρίοις καὶ ταινίαις κατὰ τοῦ τραχήλου καθελιξάμενος, εἰς τὴν ἐκκλησίαν προῆλθε· καὶ κελευόντων ἀνίστασθαι καὶ λέγειν, διένευεν, ὡς ἀποκεκομμένης αὐτῷ τῆς φωνῆς. Οἱ δ' εὐφυεῖς χλευάζοντες, οὐχ ὑπὸ συνάγχης ἔφραζον, ἀλλ' ὑπ' ἀργυρὰγχης εἰλῆφθαι νύκτωρ τὸν δημαγωγόν. Ὕστερον δὲ τοῦ δήμου πάντος αἰσθομένου τὴν δωροδοκίαν, καὶ βουλόμενον ἀπολογεῖσθαι καὶ πείθειν οὐκ ἐῶντος, ἀλλὰ χαλεπαίνοντος καὶ θορυβοῦντος, ἀναστὰς τις ἔσκωψεν, εἰπών· „Οὐκ ἀκούσεσθε, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦ τὴν κύλικα ἔχοντος;" Τότε μὲν οὖν ἀπέπεμψαν ἐκ τῆς πόλεως τὸν Ἁρπαλον· ὑστέροις δὲ, μὴ λόγον ἀπαιτοῦνται χρημάτων, ὧν διηρπάκεσαν οἱ ῥήτορες, ζήτησιν ἐποιοῦντο νεανικὴν, καὶ τὰς οἰκίας ἐπιόντες ἠρεύνων, πλὴν τῆς Καλλικλέους τοῦ Ἀρρενίδου. Μόνην γὰρ ταύτην νεωστὶ γεγαμηκότος οὐκ εἴασαν ἐλεγχθῆναι, νύμφης ἔνδον οὔσης, ὡς ἱστορεῖ Θεόπομπος.

XXVI. Ὁ δὲ Δημοσθένης ὀμόσας χωρὼν, εἰσήνεγκε ψήφισμα, τὴν ἐξ Ἀρείου πάγου βουλὴν ἐξετάσαι τὸ πρᾶγμα, καὶ τοὺς ἐκείνῃ δόξαντας ἀδικεῖν δοῦναι δίκην. Ἐν δὲ πρώτοις αὐτοῦ τῆς βουλῆς ἐκείνου κατοψηφισαμένης, εἰσῆλθε μὲν εἰς τὸ δικαστήριον, ὄφλων δὲ πεντήκοντα ταλάντων δίκην, καὶ παραδοθεὶς εἰς τὸ δεσμωτήριον, αἰσχύνῃ τῆς αἰ- 858
τίας, φασὶ, καὶ δι' ἀσθένειαν τοῦ σώματος, οὐ δυναμένου φέρειν τὸν εἰργμὸν, ἀποδρᾶναι, τοὺς μὲν λαθόντα, τῶν δὲ λαθεῖν ἐξουσίαν δόντων. Λέγεται γοῦν, ὡς οὐ μακρὰν τοῦ ἄστεος φεύγων, αἴσθοιτό τινας τῶν διαφόρων αὐτῷ πολιτῶν ἐπιδιώκοντας, καὶ βούλοιτο μὲν αὐτὸν ἀποκρύπτειν· ὡς δ' ἐκεῖνοι φθεγξάμενοι τοὔνομα, καὶ προσελ-

θόντες ἐγγὺς, ἐδέοντο λαβεῖν ἐφόδια παρ' αὐτῶν, ἐπ' αὐτὸ τοῦτο νομίζοντες ἀργύριον οἴκοθεν, καὶ τούτου χάριν ἐπιδιώξαντες αὐτὸν, ἅμα δὲ θαρρεῖν παρεκάλουν, καὶ μὴ φέρειν ἀνιαρῶς τὸ συμβεβηκὸς ἔτι μᾶλλον ἀνακλαύσασθαι τὸν Δημοσθένη, καὶ εἰπεῖν· „Πῶς δ' οὐ μέλλω φέρειν βαρέως, ἀπολιπὼν πόλιν ἐχθροὺς τοιούτους ἔχουσαν, οἵους ἐν ἑτέρᾳ φίλους εὑρεῖν οὐ ῥᾴδιόν ἐστιν;" Ἤνεγκε δὲ τὴν φυγὴν μαλακῶς, ἐν Αἰγίνῃ καὶ Τροιζῆνι καθεζόμενος τὰ πολλὰ, καὶ πρὸς τὴν Ἀττικὴν ἀποβλέπων δεδακρυμένος, ὥστε φωνὰς οὐκ εὐγνώμονας οὐδ' ὁμολογούσας τοῖς ἐν τῇ πολιτείᾳ νεανιεύμασιν ἀπομνημονεύεσθαι. Λέγεται γὰρ ἐκ τοῦ ἄστεως ἀπαλλαττόμενος καὶ πρὸς τὴν ἀκρόπολιν ἀνατείνας τὰς χεῖρας εἰπεῖν· „Ὦ δέσποινα πολιὰς, τί δὴ τρισὶ τοῖς χαλεπωτάτοις χαίρεις θηρίοις, γλαυκὶ, καὶ δράκοντι, καὶ δήμῳ;" Τοὺς δὲ προσιόντας αὐτῷ καὶ συνδιατρίβοντας νεανίσκους ἀπέτρεπε τῆς πολιτείας, λέγων, ὡς, εἰ, δυοῖν προκειμένοιν ὁδοῖν ἐπ' ἀρχῆς, τῆς μὲν ἐπὶ τὸ βῆμα καὶ τὴν ἐκκλησίαν, τῆς δ' ἀντικρὺς εἰς τὸν ὄλεθρον, ἐτύγχανεν προειδὼς τὰ κατὰ τὴν πολιτείαν κακὰ, φόβους, καὶ φθόνους, καὶ διαβολὰς, καὶ ἀγῶνας, ἐπὶ ταύτην ἂν ὁρμῆσαι τὴν εὐθὺ τοῦ θανάτου τείνουσαν.

XXVII. Ἀλλὰ γὰρ, ἔτι φεύγοντος αὐτοῦ τὴν εἰρημένην φυγὴν, Ἀλέξανδρος μὲν ἐτελεύτησε, τὰ δ' Ἑλληνικὰ συνίσταντο πάλιν, Λεωσθένους ἀνδραγαθοῦντος, καὶ περιτειχίζοντος Ἀντίπατρον ἐν Λαμίᾳ πολιορκουμένου. Πυθέας μὲν οὖν, ὁ ῥήτωρ, καὶ Καλλιμέδων, ὁ Κάραβος, ἐξ Ἀθηνῶν φεύγοντες, Ἀντιπάτρῳ προσεγένοντο, καὶ μετὰ τῶν ἐκείνου φίλων καὶ πρέσβεων περιιόντες οὐκ εἴων ἀφίστασθαι τοὺς Ἕλληνας, οὐδὲ προσέχειν τοῖς Ἀθηναίοις. Δημοσθένης δὲ, τοῖς ἐξ ἄστεως πρεσβεύουσι προσμίξας ἑαυτὸν, ἠγωνίζετο καὶ συνέπραττεν, ὅπως αἱ πόλεις συνεπιθήσονται τοῖς Μακεδόσι, καὶ συνεμβαλοῦσιν αὐτοὺς τῆς Ἑλλάδος. Ἐν δ' Ἀρκαδίᾳ καὶ λοιδορίαν τοῦ Πυθέου καὶ τοῦ Δημοσθένους

γενέσθαι πρὸς ἀλλήλους εἰρηκεν ὁ Φύλαρχος ἐν ἐκκλησίᾳ, τοῦ μὲν ὑπὲρ τῶν Μακεδόνων, τοῦ δ' ὑπὲρ τῶν Ἑλλήνων λέγοντος. Λέγεται δὲ, τὸν μὲν Πυθέαν εἰπεῖν, ὅτι, καθάπερ οἰκίαν, εἰς ἣν ὄνειον εἰσφέρεται γάλα, κακόν τι πάντως ἔχειν νομίζομεν, οὕτω καὶ πόλιν ἀνάγκη νοσεῖν, εἰς ἣν Ἀθηναίων πρεσβεία παραγίνεται· τὸν δὲ Δημοσθένη στρέψαι τὸ παράδειγμα, φήσαντα, καὶ τὸ γάλα τὸ ὄνειον ἐφ' ὑγείᾳ, καὶ τοὺς Ἀθηναίους παραγίνεσθαι ἐπὶ σωτηρίᾳ τῶν νοσούντων. Ἐφ' οἷς ἡσθεὶς ὁ τῶν Ἀθηναίων δῆμος, ψηφίζεται τῷ Δημοσθένει πάθοδον. Τὸ μὲν οὖν ψήφισμα Λήμνιον, ὁ Παιανιεὺς, ἀνεψιὸς ὢν Δημοσθένους, εἰσήνεγκεν· ἐπέμφθη δὲ τριήρης ἐπ' αὐτὸν εἰς Αἴγιναν. Ἐκ δὲ Πειραιῶς ἀνέβαινεν, οὔτ' ἄρχοντος, οὔτε ἱερέως ἀπολειφθέντος, ἀλλὰ καὶ τῶν ἄλλων πολιτῶν ὁμοῦ πάντων ἀπαντώντων καὶ δεχομένων προθύμως. Ὅτε καί φησιν αὐτὸν ὁ Μάγνης Δημήτριος ἀνατείναντα τὰς χεῖρας μακαρίσαι τῆς ἡμέρας ἐκείνης αὐτόν, ὡς βέλτιον Ἀλκιβιάδου κατιόντα· πεπεισμένους γὰρ, οὐ βεβιασμένους, ὑπ' αὐτοῦ δέχεσθαι τοὺς πολίτας. Τῆς δὲ χρηματικῆς ζημίας αὐτῷ μενούσης, (οὐ γὰρ ἐξῆν χαρίτι λῦσαι καταδίκην) ἐσοφίσαντο πρὸς τὸν νόμον. Εἰωθότες γὰρ ἐν τῇ θυσίᾳ τοῦ Διὸς τοῦ σωτῆρος ἀργύριον τελεῖν τοῖς κατασκευάζουσι καὶ κοσμοῦσι τὸν βωμὸν, ἐκείνῳ τότε ταῦτα ποιῆσαι καὶ παρασχεῖν πεντήκοντα ταλάντων ἐξέδωκαν, ὅπερ ἦν τίμημα τῆς καταδίκης. 859

XXVIII. Οὐ μὴν ἐπὶ πολὺν χρόνον ἀπέλαυσε τῆς πατρίδος κατελθὼν, ἀλλὰ ταχὺ τῶν Ἑλληνικῶν πραγμάτων συντριβέντων, Μεταγειτνιῶνος μὲν ἡ περὶ Κρανῶνα μάχη συνέπεσε, Βοηδρομιῶνος δὲ παρῆλθεν εἰς Μουνυχίαν ἡ φρουρὰ, Πυανεψιῶνος δὲ Δημοσθένης ἀπέθανε τόνδε τὸν τρόπον. Ὡς Ἀντίπατρος καὶ Κρατερὸς ἠγγέλλοντο προσιόντες ἐπὶ τὰς Ἀθήνας, οἱ μὲν περὶ τὸν Δημοσθένη φθάσαντες ὑπεξῆλθον ἐκ τῆς πόλεως, ὁ δὲ δῆμος αὐτῶν θάνατον κατέγνω, Δημώδου γράψαντος. Ἄλλων δ'

ἀλλαχοῦ διαπαρέντων, ὁ Ἀντίπατρος περιέπεμπε τοὺς συλλαμβάνοντας, ὧν ἡγεμὼν ἦν Ἀρχίας, ὁ κληθεὶς Φυγαδοθήρας. Τοῦτον δὲ, Θούριον ὄντα τῷ γένει, λόγος ἔχει τραγῳδίας ὑποκρίνεσθαί ποτε, καὶ τὸν Αἰγινήτην Πῶλον, τὸν ὑπερβαλόντα τῇ τέχνῃ πάντας, ἐκείνου γεγονέναι μαθητὴν ἱστοροῦσιν. Ἑρμιππος δὲ τὸν Ἀρχίαν ἐν τοῖς Λακρίτου τοῦ ῥήτορος μαθητὴν ἀναγραφει· Δημήτριος δὲ τῆς Ἀναξιμένους διατριβῆς μετεσχηπέναι φησὶν αὐτόν. Οὗτος οὖν ὁ Ἀρχίας, Ὑπερίδην μὲν, τὸν ῥήτορα, καὶ Ἀριστόνικον, τὸν Μαραθώνιον, καὶ τὸν Δημητρίου, τοῦ Φαληρέως, ἀδελφὸν, Ἱμεραῖον, ἐν Αἰγίνῃ καταφυγόντας ἐπὶ τὸ Αἰάκειον, ἀποσπάσας, ἔπεμψεν εἰς Κλεωνὰς πρὸς Ἀντίπατρον· κἀκεῖ διεφθάρησαν. Ὑπερίδου δὲ καὶ τὴν γλῶτταν ἐκτμηθῆναι λέγουσι.

XXIX. Τὸν δὲ Δημοσθένη πυθόμενος ἱκέτην ἐν Καλαυρίᾳ ἐν τῷ ἱερῷ Ποσειδῶνος καθέζεσθαι, διαπλεύσας ὑπηρετικοῖς, καὶ ἀποβὰς μετὰ Θρᾳκῶν δορυφόρων, ἔπειθεν ἀναστάντα βαδίζειν μετ' αὐτοῦ πρὸς Ἀντίπατρον, ὡς ἀνσχερὲς πεισόμενον οὐδέν. Ὁ δὲ Δημοσθένης ἐνύγχανεν ὄψιν ἑωρακὼς κατὰ τοὺς ὕπνους ἐκείνης τῆς νυκτὸς ἀλλόκοτον. Ἐδόκει γὰρ ἀνταγωνίζεσθαι τῷ Ἀρχίᾳ τραγῳδίαν ὑποκρινόμενος· εὐημερῶν δὲ καὶ κατέχων τὸ θέατρον, ἐνδεία παρασκευῆς καὶ χορηγίας κρατεῖσθαι. Διὸ τοῦ Ἀρχίου πολλὰ φιλάνθρωπα διαλεχθέντος, ἀναβλέψας πρὸς αὐτὸν, ὥσπερ ἐνύγχανε καθήμενος· „Ὦ Ἀρχία," εἶπεν, „οὔτε ὑποκρινομένῳ με ἔπεισας πώποτε, οὔτε νῦν πείσεις ἐπαγγελλόμενος." Ἀρξαμένου δ' ἀπειλεῖν τοῦ Ἀρχίου μετ' ὀργῆς· „Νῦν," ἔφη, „λέγεις τὰ ἐκ τοῦ Μακεδονικοῦ τρίποδος, ἄρτι δ' ὑπεκρίνου. Μικρὸν οὖν ἐπίσχες, ὅπως ἐπιστείλω τι τοῖς οἴκοι." Καὶ ταῦτ' εἰπὼν, ἐντὸς ἀνεχώρησε τοῦ ναοῦ· καὶ λαβὼν βιβλίον, ὡς γράφειν μέλλων, προσήνεγκε τῷ στόματι τὸν κάλαμον, καὶ δακὼν, ὥσπερ ἐν τῷ διανοεῖσθαι καὶ γράφειν εἰώθει, χρόνον τινὰ κατέσχεν, εἶτα συγκαλυψάμενος

ἀπέκλινε τὴν κεφαλήν. Οἱ μὲν οὖν παρὰ τὰς θύρας ἑστῶτες δορυφόροι κατεγέλων ὡς ἀποδειλιῶντος αὐτοῦ, καὶ μαλακὸν ἐκάλουν καὶ ἄνανδρον· ὁ δ' Ἀρχίας προσελθὼν ἀνίστασθαι παρεκάλει, καὶ τοὺς αὐτοὺς ἀνακυκλῶν λόγους, αὖθις ἐπηγγέλλετο διαλλαγὰς πρὸς τὸν Ἀντίπατρον. Ἤδη δὲ συνησθημένος ὁ Δημοσθένης ἐμπεφυκότος αὐτῷ τοῦ φαρμάκου καὶ κρατοῦντος, ἐξεκαλύψατο· καὶ διαβλέψας πρὸς τὸν Ἀρχίαν· „Οὐκ ἂν φθάνοις, εἶπεν, ἤδη τὸν ἐκ τῆς τραγῳδίας ὑποκρινόμενος Κρέοντα, καὶ τὸ σῶμα τοῦτο ῥίπτων ἄταφον. Ἐγὼ δέ, ὦ φίλε Πόσειδον, ἔτι ζῶν ἐξανίσταμαι τοῦ ἱεροῦ· τῷ δὲ Ἀντιπάτρῳ καὶ Μακεδόσιν αὐδᾷ ὁ σὸς νεὼς καθαρὸς ἀπολέλειπται.“ Ταῦτ' εἰπὼν, καὶ κελεύσας ὑπολαβεῖν αὐτὸν ἤδη τρέμοντα καὶ σφαλλόμενον, ἅμα τῷ προελθεῖν καὶ παραλλάξαι τὸν βωμὸν ἔπεσε, καὶ στενάξας ἀφῆκε τὴν ψυχήν.

XXX. Τὸ δὲ φαρμακον Ἀρίστων μὲν ἐκ τοῦ 860
καλάμου λαβεῖν φησὶν αὐτὸν, ὡς εἴρηται· Πάππος δέ τις, οὐ τὴν ἱστορίαν Ἕρμιππος ἀνείληφε, φησὶ, πεσόντος αὐτοῦ παρὰ τὸν βωμὸν, ἐν μὲν τῷ βιβλίῳ γεγραμμένην ἐπιστολῆς ἀρχὴν εὑρεθῆναι, „Δημοσθένης Ἀντιπάτρῳ,“ καὶ μηδὲν ἄλλο· θαυμαζομένης δὲ τῆς περὶ τὸν θάνατον ἀξυτητος, διηγεῖσθαι τοὺς παρὰ ταῖς θύραις Θρᾷκας, ὡς ἔκ τινος ῥαχίου λαβὼν εἰς τὴν χεῖρα, προσθοῖτο τῷ στόματι καὶ καταπίοι τὸ φαρμακον· αὐτοὶ δ' ἄρα χρυσὸν ᾠήθησαν εἶναι τὸ κατεπινόμενον· ἡ δ' ὑπηρετοῦσα παιδίσκη, πυνθανομένων τῶν περὶ τὸν Ἀρχίαν, φαίη, πολὺν εἶναι χρόνον, ἐξ οὗ φοροίη τὸν ἀπόδεσμον ἐκεῖνον ὁ Δημοσθένης, ὡς φυλακτήριον. Ἐρατοσθένης δὲ καὶ αὐτὸς ἐν κρίκῳ φησὶ κοίλῳ τὸ φάρμακον φυλάσσειν· τὸν δὲ κρίκον εἶναι τοῦτον αὐτῷ φόρημα περιβραχιόνιον. Τῶν δ' ἄλλων, ὅσοι γεγράφασι περὶ αὐτοῦ, πάμπολλοι δέ εἰσι, τὰς διαφορὰς οὐκ ἀναγκαῖον ἐπεξελθεῖν· πλὴν ὅτι Δημοχάρης, ὁ τοῦ Δημοσθένους οἰκεῖος, οἴεσθαι φησὶν, αὐτὸν αὐχ ὑπὸ φαρμάκου, θεῶν δὲ τιμῇ καὶ

προνοίᾳ τῆς Μακεδόνων ὠμότητος ἐξαρπαγῆναι, συντόμως καταστρέψαντα καὶ ἀλύπως. Κατέστρεψε δ' ἕκτῃ ἐπὶ δέκα τοῦ Πυανεψιῶνος μηνός, ἐν ᾗ τὴν σκυθρωποτάτην τῶν Θεσμοφορίων ἡμέραν ἄγουσαι παρὰ τῇ θεῷ νηστεύουσιν αἱ γυναῖκες. Τούτῳ μὲν ὀλίγον ὕστερον ὁ τῶν Ἀθηναίων δῆμος ἀξίαν ἀποδιδοὺς τιμὴν, εἰκόνα τε χαλκῆν ἀνέστησε, καὶ τὸν πρεσβύτατον ἐψηφίσατο τῶν ἀπὸ τοῦ γένους ἐν Πρυτανείῳ σίτησιν ἔχειν. Καὶ τὸ ἐπίγραμμα τὸ θρυλλούμενον ἐπεγράφη τῇ βάσει τοῦ ἀνδριάντος·

Εἴπερ ἴσην ῥώμην γνώμῃ, Δημόσθενες, εἶχας,
Οὔποτ' ἂν Ἑλλήνων ἦρξεν Ἄρης Μακεδών.

Οἱ γὰρ αὐτὸν τὸν Δημοσθένη τοῦτο ποιῆσαι λέγοντες ἐν Καλαυρίᾳ, μέλλοντα τὸ φάρμακον προσφέρεσθαι, κωμῳδῆ φλυαροῦσι.

XXXI. Μικρὸν δὲ πρόσθεν, ἡ παραβαλεῖν ἡμᾶς Ἀθήναζε, λέγεταί τι τοιοῦτον συμβῆναι. Στρατωνίδης, ἐπὶ κρίσιν τινὰ καλούμενος ὑφ' ἡγεμόνος, ὅσον εἶχε χρυσίδιον, εἰς τὰς χεῖρας ἐνέθηκε τοῦ ἀνδριάντος. Ἔστηκε δὲ τοὺς δακτύλους συνέχων δι' ἀλλήλων, καὶ παραπέφυκεν οὐ μεγάλη πλάτανος. Ἀπὸ ταύτης πολλὰ τῶν φύλλων, εἴτε πνεύματος ἐκ τύχης καταβαλόντος, εἴτ' αὐτὸς οὗτος ὁ θεὶς ἐκάλυψε, περιπεσόντα καὶ συμπεσόντα λαθεῖν ἐποίησε τὸ χρυσίον οὐκ ὀλίγον χρόνον. Ὡς δ' ὁ ἄνθρωπος ἐπανελθὼν ἀνεῦρε, καὶ διεδόθη λόγος ὑπὲρ τούτου, πολλοὶ τῶν εὐφυῶν ὑπόθεσιν λαβόντες, εἰς τὸ ἀδωροδόκητον τοῦ Δημοσθένους διημιλλῶντο τοῖς ἐπιγράμμασι. Δημάδην δὲ, χρόνον οὐ πολὺν ἀπολαύσαντα τῆς φυομένης δόξης, ἡ Δημοσθένους δίκη κατήγαγεν εἰς Μακεδονίαν, οὓς ἐκολάκευεν αἰσχρῶς, ὑπὸ τούτων ἐξολούμενον δικαίως· ἐπαχθῆ μὲν ὄντα καὶ πρότερον αὐτοῖς, τότε δ' εἰς αἰτίαν ἄφυκτον ἐμπεσόντα. Γράμματα γὰρ ἐξέπεσεν αὐτοῦ, δι' ὧν παρεκάλει Περδίκκαν ἐπιχειρεῖν Μακεδονίᾳ, καὶ σώζειν τοὺς Ἕλληνας, ὡς ἀπὸ σαπροῦ καὶ παλαιοῦ στήμονος (λέγων τὴν

Ἀντίπατρον) ἠρτημένους. Ἐφ' οἷς Λεινάρχου τοῦ Κορινθίου κατηγορήσαντος, παροξυνθεὶς ὁ Κάσανδρος ἐγκατέσφαξεν αὐτοῦ τῷ κόλπῳ τὸν υἱὸν, εἶτα οὕτως ἐκεῖνον ἀνελεῖν προσέταξεν, τοῖς μεγίστοις διδασκόμενον ἀτυχήμασιν, ὅτι πρώτους ἑαυτοὺς οἱ προδόται πωλοῦσιν· ὃ πολλάκις Δημοσθένους προαγορεύοντος, οὐκ ἐπίστευσε. Τὸν μὲν οὖν Δημοσθένους ἀπέχεις, Σόσσιε, βίον, ἐξ ὧν ἡμεῖς ἀνέγνωμεν ἢ διηκούσαμεν.

ΚΙΚΕΡΩΝ.

861 Κικέρωνος δὲ τὴν μὲν μητέρα λέγουσιν Ἑλβίαν καὶ γεγονέναι καλῶς καὶ βεβιωκέναι· περὶ δὲ τοῦ πατρὸς οὐδὲν ἦν πυθέσθαι μέτριον. Οἱ μὲν γὰρ ἐν κναφείῳ τινὶ καὶ γενέσθαι καὶ τραφῆναι τὸν ἄνδρα λέγουσιν· οἱ δ' εἰς Τύλλον Ἄττιον ἀνάγουσι τὴν ἀρχὴν τοῦ γένους, βασιλεύσαντα λαμπρῶς ἐν Οὐολούσκοις. Ὁ μέντοι πρῶτος ἐκ τοῦ γένους Κικέρων ἐπονομασθεὶς ἄξιος λόγου δοκεῖ γενέσθαι διὸ τὴν ἐπίκλησιν οὐκ ἀπέῤῥιψαν οἱ μετ' αὐτὸν, ἀλλ' ἠσπάσαντο, καίπερ ὑπὸ πολλῶν χλευαζομένην. Κίκερ γὰρ οἱ Λατῖνοι τὸν ἐρέβινθον καλοῦσι· κἀκεῖνος ἐν τῷ πέρατι τῆς ῥινὸς διαστολὴν ἀμβλεῖαν εἶχεν, ὥσπερ ἐρεβίνθου διαφυὴν, ἀφ' ἧς ἐκτήσατο τὴν ἐπωνυμίαν. Αὐτός γε μὴν Κικέρων, ὑπὲρ οὗ τάδε γέγραπται, τῶν φίλων αὐτὸν οἰομένων δεῖν, ὅτε πρῶτον ἀρχὴν μετῄει καὶ πολιτείας ἥπτετο, φυγεῖν τοὔνομα καὶ μεταθέσθαι, λέγεται νεανιευσάμενος εἰπεῖν, ὡς ἀγωνιεῖται τὸν Κικέρωνα τῶν Σκαύρων καὶ τῶν Κατλων ἐνδοξότερον ἀποδεῖξαι. Ταμιεύων δ' ἐν Σικελίᾳ, καὶ τοῖς θεοῖς ἀνάθημα ποιούμενος ἀργυροῦν, τὰ μὲν πρῶτα δύο τῶν ὀνομάτων ἐπέγραψε, τόν τε Μάρκον καὶ τὸν Τύλλιον· ἀντὶ δὲ τοῦ τρίτου σκώπτων ἐρέβινθον ἐπέλευσε παρὰ τὰ γράμματα τὸν τεχνίτην ἐντορεῦ-

σαι. Ταῦτα μὲν οὖν περὶ τοῦ ὀνόματος ἱστόρηται.

II. Τεχθῆναι δὲ Κικέρωνα λέγουσιν, ἀνωδύνως καὶ ἀπόνως λοχευθείσης αὐτοῦ τῆς μητρὸς, ἡμέρᾳ τρίτῃ τῶν νέων Καλανδῶν· ἐν ᾗ νῦν οἱ ἄρχοντες εὔχονται καὶ θύουσιν ὑπὲρ τοῦ ἡγεμόνος. Τῇ δὲ τίτθῃ φάσμα δοκεῖ γενέσθαι, καὶ προειπεῖν, ὡς ὄφελος μέγα πᾶσι Ῥωμαίοις ἐκτρεφούσῃ. Ταῦτα δ', ἄλλως ὀνείρατα καὶ φλύαρον εἶναι δοκοῦντα, ταχέως αὐτὸς ἀπέδειξε μαντείαν ἀληθινὴν, ἐν ἡλικίᾳ τοῦ μανθάνειν γενόμενος, δι' εὐφυΐαν ἐκλάμψας, καὶ λαβὼν ὄνομα καὶ δόξαν ἐν τοῖς παισὶν, ὥστε τοὺς πατέρας αὐτῶν ἐπιφοιτᾶν τοῖς διδασκαλείοις, ὄψει τε βουλομένους ἰδεῖν τὸν Κικέρωνα, καὶ τὴν ὑμνουμένην αὐτοῦ περὶ τὰς μαθήσεις ὀξύτητα· καὶ σύνεσιν ἱστορῆσαι· τοὺς δ' ἀγροικοτέρους ὀργίζεσθαι τοῖς υἱέσιν, ὁρῶντας ἐν ταῖς ὁδοῖς τὸν Κικέρωνα μέσον αὐτῶν ἐπὶ τιμῇ λαμβάνοντας. Γενόμενος δ', ὥσπερ ὁ Πλάτων ἀξιοῖ τὴν φιλομαθῆ καὶ φιλόσοφον φύσιν, οἷος ἀσπάζεσθαι πᾶν μάθημα, καὶ μηδὲν λόγου μηδὲ παιδείας ἀτιμάζειν εἶδος, ἐρρύη πως προθυμότερον ἐπὶ ποιητικήν. Καί τι ποιημάτιον ἔτι παιδὸς αὐτοῦ διασώζεται, Πόντιος Γλαῦκος, ἐν τετραμέτρῳ πεποιημένον. Προϊὼν δὲ τῷ χρόνῳ, καὶ ποικιλώτερον ἁπτόμενος τῆς περὶ ταῦτα μούσης, ἔδοξεν οὐ μόνον ῥήτωρ, ἀλλὰ καὶ ποιητὴς ἄριστος εἶναι Ῥωμαίων. Ἡ μὲν οὖν ἐπὶ τῇ ῥητορικῇ δόξα μέχρι νῦν διαμένει, καίπερ οὐ μικρᾶς γεγενημένης περὶ τοὺς λόγους κακοτομίας· τὴν δὲ ποιητικὴν αὐτοῦ, πολλῶν εὐφυῶν ἐπιγενομένων, παντάπασιν ἀκλεῆ καὶ ἄτιμον ἔρρειν συμβέβηκεν.

III. Ἀπαλλαγεὶς δὲ τῶν ἐν παισὶ διατριβῶν, Φίλωνος ἤκουσε τοῦ ἐξ Ἀκαδημίας, ὃν μάλιστα Ῥωμαίοι τῶν Κλειτομάχου συνήθων καὶ διὰ τὸν λόγον ἐθαύμασαν, καὶ διὰ τὸν τρόπον ἠγάπησαν. Ἅμα δὲ τοῖς περὶ Μάνιον, ἀνδράσι συνὼν πολιτικοῖς καὶ πρωτεύουσι τῆς βουλῆς, εἰς ἐμπειρίαν 86

τῶν νόμων ὠφελεῖτο· καὶ τινὰ χρόνον καὶ στρατείας μετέσχεν ὑπὸ Σύλλᾳ περὶ τὸν Μαρσικὸν πόλεμον. Εἶθ' ὁρῶν εἰς στάσιν, ἐκ δὲ τῆς στάσεως εἰς ἄκρατον ἐμπίπτοντα τὰ πράγματα μοναρχίαν, ἐπὶ τὸν σχολαστὴν καὶ θεωρητικὸν ἦλθων βίον, Ἕλλησι συνῆν φιλολόγοις, καὶ προσεῖχε τοῖς μαθήμασιν ἄχρις οὗ Σύλλας ἐκράτησε, καὶ κατάστασίν τινα λαμβάνειν ἔδοξεν ἡ πόλις. Ἐν δὲ τῷ χρόνῳ τούτῳ Χρυσόγονος, ἀπελεύθερος Σύλλα, προσαγγείλαντός τινος οὐσίαν ὡς ἐκ προγραφῆς ἀναιρεθέντος, αὐτὸς ἐωνήσατο δισχιλίων δραχμῶν· ἐπεὶ δὲ Ῥώσκιος, ὁ υἱὸς καὶ κληρονόμος τοῦ τεθνηκότος, ἠγανάκτει, καὶ τὴν οὐσίαν ἀπεδείκνυε πεντήκοντα καὶ διακοσίων ταλάντων οὖσαν ἀξίαν, ὅ τε Σύλλας ἐλεγχόμενος ἐχαλέπαινε, καὶ δίκην πατροκτονίας ἐπῆγε τῷ Ῥωσκίῳ, τοῦ Χρυσογόνου καταψευσαμένου, ἐβοήθει δ' οὐδείς, ἀλλ' ἀπετρέποντο, τοῦ Σύλλα τὴν χαλεπότητα δεδοικότες. Οὕτω δὴ δι' ἐρημίαν τοῦ μειρακίου τῷ Κικέρωνι προσφυγόντος, οἱ φίλοι συμπαρώρμων, ὡς οὐκ ἂν αὐτῷ λαμπροτέραν αὐθὶς ἀρχὴν πρὸς δόξαν ἑτέραν οὐδὲ καλλίω γενησομένην. Ἀναδεξάμενος οὖν τὴν συνηγορίαν, καὶ κατορθώσας, ἐθαυμάσθη· δεδιὼς δὲ τὸν Σύλλαν, ἀπεδήμησεν εἰς τὴν Ἑλλάδα, διασπείρας λόγον, ὡς τοῦ σώματος αὐτῷ θεραπείας δεομένου. Καὶ γὰρ ἦν ὄντως ἰσχνὸς καὶ ἄσαρκος, ἀρθρωστίᾳ στομάχου μικρὰ καὶ γλίσχρα μόγις ὀψὲ τῆς ὥρας προσφερόμενος. Ἡ δὲ φωνή, πολλὴ μὲν καὶ ἀγαθὴ, σπληρὰ δὲ καὶ ἄπλαστος· ὑπὸ δὲ τοῦ λόγου, σφοδρότητα καὶ πάθος ἔχοντος, ἀεὶ διὰ τῶν ἄνω τόνων ἐλαυνομένη, φόβον παρεῖχεν ὑπὲρ τοῦ σώματος.

IV. Ἀφικόμενος δ' εἰς Ἀθήνας Ἀντιόχου τοῦ Ἀσκαλωνίτου διήκουσε, τῇ μὲν εὐροίᾳ τῶν λόγων αὐτοῦ καὶ χάριτι κηλούμενος, ἃ δ' ἐν τοῖς δόγμασιν ἐνεωτέριζεν, οὐκ ἐπαινῶν. Ἤδη γὰρ ἐξίστατο τῆς νέας λεγομένης Ἀκαδημίας ὁ Ἀντίοχος, καὶ τὴν Καρνεάδου στάσιν ἐγκατέλειπεν, εἴτε καμπτόμενος ὑπὸ τῆς ἐναργείας καὶ τῶν αἰσθήσεων, εἴτε, ὡς

φασιν ἔνιοι, φιλοτιμίᾳ τινὶ καὶ διαφορᾷ πρὸς τοὺς Κλειτομάχου καὶ Φίλωνος συνήθεις τὸν Στωϊκὸν ἐκ μεταβολῆς θεραπεύων λόγον ἐν τοῖς πλείστοις. Ὁ δὲ Κικέρων ἐκεῖνα ἠγάπα, κἀκείνοις προσεῖχε μᾶλλον, διανοούμενος, εἰ παντάπασιν ἐκπέσοι τοῦ τὰ κοινὰ πράσσειν, δεῦρο μετενεγκάμενος τὸν βίον ἐκ τῆς ἀγορᾶς καὶ τῆς πολιτείας, ἐν ἡσυχίᾳ μετὰ φιλοσοφίας καταζῆν. Ἐπεὶ δ' αὐτῷ Σύλλας τε προσηγγέλθη τεθνηκὼς, καὶ τὸ σῶμα τοῖς γυμνασίοις ἀναῤῥαννύμενον εἰς ἕξιν ἐβάδιζε νεανικὴν, ἥ τε φωνὴ λαμβάνουσα πλάσιν, ἡδεῖα μὲν πρὸς ἀκοὴν ἐτέθραπτο καὶ πολλὴ, μετρίως δὲ πρὸς τὴν ἕξιν ἥρμοστο τοῦ σώματος, πολλὰ μὲν τῶν ἀπὸ Ῥώμης φίλων γραφόντων καὶ δεομένων, πολλὰ δ' Ἀντιόχου παρακελευομένου, τοῖς κοινοῖς ἐπιβαλεῖν πράγμασιν, αὖθις, ὥσπερ ὄργανον, ἐξήρτυε τὸν ῥητορικὸν λόγον, καὶ ἀνεκίνει τὴν πολιτικὴν δύναμιν, αὐτόν τε ταῖς μελέταις διαπονῶν, καὶ τοὺς ἐπαινουμένους μετιὼν ῥήτορας. Ὅθεν εἰς Ἀσίαν καὶ Ῥόδον ἔπλευσε, καὶ τῶν μὲν Ἀσιανῶν ῥητόρων Ξενοκλεῖ τῷ Ἀδραμυττηνῷ, καὶ Διονυσίῳ τῷ Μάγνητι, καὶ Μενίππῳ τῷ Καρὶ συνεσχόλασεν· ἐν δὲ Ῥόδῳ, ῥήτορι μὲν Ἀπολλωνίῳ τῷ Μόλωνι, φιλοσόφῳ δὲ Ποσειδωνίῳ. Λέγεται δὲ, τὸν Ἀπολλώνιον, οὐ συνιέντα τὴν Ῥωμαϊκὴν διάλεκτον, δεηθῆναι τοῦ Κικέρωνος Ἑλληνιστὶ μελετῆσαι· τὸν δ' ὑπακοῦσαι προθύμως, οἰόμενον, οὕτως ἔσεσθαι βελτίονα τὴν ἐπανόρθωσιν· ἐπεὶ δ' ἐμελέτησε, τοὺς μὲν ἄλλους ἐκπεπλῆχθαι καὶ διαμιλλᾶσθαι πρὸς ἀλλήλους ταῖς ἐπαίνοις, τὸν δ' Ἀπολλώνιον οὐκ ἀκροώμενον αὐτοῦ διαχυθῆναι, καὶ παυσαμένου σύννουν καθέζεσθαι πολὺν χρόνον· ἀχθομένου δὲ τοῦ Κι- 863
κέρωνος, εἰπεῖν· „Σὲ μέν, ὦ Κικέρων, ἐπαινῶ καὶ θαυμάζω, τῆς δ' Ἑλλάδος οἰκτείρω τὴν τύχην, ὁρῶν, ἃ μόνα τῶν καλῶν ἡμῖν ὑπελείπετο, καὶ ταῦτα Ῥωμαίοις διὰ σοῦ προσγενόμενα, παιδείαν τε καὶ λόγον."

V. Ὁ γοῦν Κικέρων ἐλπίδων μεστὸς ἐπὶ τὴν

πολιτείαν φερόμενος, ὑπὸ χρησμοῦ τινος ἀπημβλύνθη τὴν ὁρμήν. Ἐρομένῳ γὰρ αὐτῷ τὸν ἐν Δελφοῖς θεὸν, ὅπως ἂν ἐνδοξότατος γένοιτο, προσέταξεν ἡ Πυθία, τὴν ἑαυτοῦ φύσιν, ἀλλὰ μὴ τὴν τῶν πολλῶν δόξαν, ἡγεμόνα ποιεῖσθαι τοῦ βίου. Καὶ τόν τε πρῶτον ἐν Ῥώμῃ χρόνον εὐλαβῶς διῆγε, καὶ ταῖς ἀρχαῖς ὀκνηρῶς προσῄει, καὶ παρημελεῖτο· ταῦτα δὴ τὰ Ῥωμαίων τοῖς βαναυσοτάτοις πρόχειρα καὶ συνήθη ῥήματα, Γραικὸς καὶ σχολαστικὸς, ἀκούων. Ἐπεὶ δὲ, φύσει φιλότιμος ὢν, καὶ παροξυνόμενος ὑπὸ τοῦ πατρὸς καὶ τῶν φίλων, ἐπέδωκεν εἰς τὸ συνηγορεῖν ἑαυτὸν, οὐκ ἠρέμα τῷ πρωτείῳ προσῆγεν, ἀλλ' εὐθὺς ἐξέλαμψε τῇ δόξῃ, καὶ διέφερε πολὺ τῶν ἀγωνιζομένων ἐπ' ἀγορᾶς. Λέγεται δὲ καὶ αὐτὸς οὐδὲν ἧττον νοσήσας τοῦ Δημοσθένους πρὸς τὴν ὑπόκρισιν, τοῦτο μὲν Ῥωσκίῳ, τῷ κωμῳδῷ, τοῦτο δ' Αἰσώπῳ, τῷ τραγῳδῷ, προσέχειν ἐπιμελῶς. Τὸν δ' Αἴσωπον τοῦτον ἱστοροῦσιν ὑποκρινόμενον ἐν θεάτρῳ τὸν περὶ τῆς τιμωρίας τοῦ Θυέστου βουλευόμενον Ἀτρέα, τῶν ὑπηρετῶν τινος ἄφνω παραδραμόντος, ἔξω τῶν ἑαυτοῦ λογισμῶν διὰ τὸ πάθος ὄντα, τῷ σκήπτρῳ πατάξαι καὶ ἀνελεῖν. Οὐ μικρὰ δὲ πρὸς τὸ πείθειν ὑπῆρχεν ἐκ τοῦ ὑποκρίνεσθαι ῥοπὴ τῷ Κικέρωνι. Καὶ τοὺς γε τῷ βοᾷν μεγάλα χρωμένους ῥήτορας ἐπισκώπτων, ἔλεγε, δι' ἀσθένειαν ἐπὶ τὴν κραυγὴν, ὥσπερ χωλοὺς ἐφ' ἵππον, πηδᾷν. Ἡ δὲ περὶ τὰ σκώμματα καὶ τὴν παιδιὰν ταύτην εὐτραπελία δικανικὸν μὲν ἐδόκει καὶ γλαφυρὸν χρώμενος δ' αὐτῇ κατακόρως, πολλοὺς ἐλύπει, καὶ κακοηθείας ἐλάμβανε δόξαν.

VI. Ἀποδειχθεὶς δὲ ταμίας ἐν σιτοδείᾳ, καὶ λαχὼν Σικελίαν, ἠνώχλησε τοῖς ἀνθρώποις ἐν ἀρχῇ, σῖτον εἰς Ῥώμην ἀποστέλλειν ἀναγκαζόμενος. Ὕστερον δὲ τῆς ἐπιμελείας καὶ δικαιοσύνης καὶ πραότητος αὐτοῦ πεῖραν λαμβάνοντες, ὡς οὐδένα τῶν πώποθ' ἡγεμόνων ἐτίμησαν. Ἐπεὶ δὲ πολλοὶ τῶν ἀπὸ Ῥώμης νέων ἔνδοξοι καὶ γεγονότες καλῶς, αἰ-

τίαν ἔχοντες ἀταξίας καὶ μαλακίας περὶ τὸν πόλεμον, ἀνεπέμφθησαν ἐπὶ τὸν στρατηγὸν τῆς Σικελίας, συνεῖπεν αὐτοῖς ὁ Κικέρων ἐπιφανῶς, καὶ περιεποίησεν. Ἐπὶ τούτοις οὖν μέγα φρονῶν, εἰς Ῥώμην βαδίζων γελοῖόν τι παθεῖν φησι. Συντυχὼν γὰρ ἀνδρὶ τῶν ἐπιφανῶν, φίλῳ δοκοῦντι, περὶ Καμπανίαν, ἐρέσθαι, τίνα δὴ τῶν πεπραγμένων ὑπ' αὐτοῦ λόγον ἔχουσι Ῥωμαῖοι, καὶ τί φρονοῦσιν, ὡς ὀνόματος καὶ δόξης τῶν πεπραγμένων αὐτῷ τὴν πόλιν ἅπασαν ἐμπεπληκώς· τὸν δ' εἰπεῖν „Ποῦ γὰρ ἦς, ὦ Κικέρων, τὸν χρόνον τοῦτον;" Τότε μὲν οὖν ἐξαθυμῆσαι παντάπασιν, εἰ, καθάπερ εἰς πέλαγος ἀχανὲς τὴν πόλιν ἐμπεσὼν ὁ περὶ αὐτοῦ λόγος, οὐδὲν εἰς δόξαν ἐπίδηλον πεποίηκεν· ὕστερον δὲ λογισμὸν ἑαυτῷ διδοὺς, πολὺ τῆς φιλοτιμίας ὑφεῖλεν, ὡς πρὸς ἄόριστον πρᾶγμα τὴν δόξαν ἀμιλλώμενος, καὶ πέρας οὐκ ἐφικτὸν ἔχουσαν. Οὐ μὴν ἀλλὰ τό γε χαίρειν ἐπαινούμενον διαφερόντως, καὶ πρὸς δόξαν ἐμπαθέστερον ἔχειν, ἄχρι παντὸς αὐτῷ παρέμεινε, καὶ πολλοὺς πολλάκις τῶν ὀρθῶν ἐπετάραξε λογισμῶν.

VII. Ἀπτόμενος δὲ τῆς πολιτείας προθυμότερον, αἰσχρὸν ἡγεῖτο, τοὺς μὲν βαναύσους, ὀργάνοις χρωμένους καὶ σκεύεσιν ἀψύχοις, μηδενὸς ἀγνοεῖν ὄνομα, μηδὲ χώραν, ἢ δύναμιν αὐτῶν, τὸν δὲ πολιτικὸν, ᾧ δι' ἀνθρώπων αἱ κοιναὶ πράξεις περαίνονται, ῥᾳθύμως καὶ ἀμελῶς ἔχειν περὶ τὴν τῶν πολιτῶν γνῶσιν. Ὅθεν οὐ μόνον τῶν ὀνομάτων εἴθιζε μνημονεύειν αὐτὸν, ἀλλὰ καὶ τὸν τόπον, ἐν ᾧ τῶν γνωρίμων ἕκαστος οἰκεῖ, καὶ χωρίον, ὃ κέκτηται, καὶ φίλους, οἵστισι χρῆται, καὶ γείτονας ἐγίνωσκε· καὶ πᾶσαν ὁδὸν Ἰταλίας διαπορευομένῳ Κικέρωνι πρόχειρον ἦν εἰπεῖν καὶ ἐπιδεῖξαι τοὺς τῶν φίλων ἀγροὺς καὶ τὰς ἐπαύλεις. Οὐσίαν δὲ μικρὰν μὲν, ἱκανὴν δὲ καὶ ταῖς δαπάναις ἐπαρκῆ κεκτημένος, ἐθαυμάζετο μήτε μισθοὺς, μήτε δῶρα, προσιέμενος ἀπὸ τῆς συνηγορίας· μάλιστα δ', ὅτε τὴν κατὰ Βέρρου δίκην ἀνέλαβε. Τοῦτον γὰρ,

864

στρατηγὸν γεγονότα τῆς Σικελίας, καὶ πολλὰ πεπονηρευμένον, τῶν Σικελιωτῶν διωκόντων, εἶλεν; οὐκ εἰποὶν, ἀλλ' ἐξ αὐτοῦ τρόπον τινὰ τοῦ μὴ εἰπεῖν. Τῶν γὰρ στρατηγῶν τῷ Βέρρῃ χαριζομένων, καὶ τὴν δίκην ὑπερθέσθαι πολλαῖς εἰς τὴν ὑστάτην ἐμβαλλόντων, ὡς ἦν πρόθηλον, ὅτι τοῖς λόγοις ὁ τῆς ἡμέρας οὐκ ἐξαρκέσει χρόνος, οὐδὲ λήψεται πέρας ἡ κρίσις, ἀναστὰς ὁ Κικέρων ἔφη, μὴ δεῖσθαι λόγων, ἀλλ' ἐπαγαγὼν τοὺς μάρτυρας καὶ ἐπικρίνας, ἐκέλευσε φέρειν τὴν ψῆφον τοὺς δικαστάς. Ὅμως δὲ πολλὰ χαρίεντα διαμνημονεύεται καὶ περὶ ἐκείνην αὐτοῦ τὴν δίκην. Βέρρην γὰρ οἱ Ῥωμαῖοι τὸν ἐκτετμημένον χοῖρον καλοῦσιν. Ὡς οὖν ἀπελευθερικὸς ἄνθρωπος, ἔνοχος τῷ ἰουδαΐζειν, ὄνομα Καικίλιος, ἐβούλετο, παρωσάμενος τοὺς Σικελιώτας, κατηγορεῖν τοῦ Βέρρου· „Τί Ἰουδαίῳ πρὸς χοῖρον;“ ἔφη ὁ Κικέρων. Ἦν δὲ τῷ Βέρρῃ ἀντίπαις υἱός, οὐκ ἐλευθερίως δοκῶν προΐστασθαι τῆς ὥρας. Λοιδορηθεὶς οὖν ὁ Κικέρων εἰς μαλακίαν ὑπὸ τοῦ Βέρρου· „Τοῖς υἱοῖς,“ εἶπεν, „ἐντὸς θυρῶν δεῖ λοιδορεῖσθαι.“ Τοῦ δὲ ῥήτορος Ὁρτησίου τὴν μὲν εὐθεῖαν τῷ Βέρρῃ συνεισπεῖν μὴ τολμήσαντος, ἐν δὲ τῷ τιμήματι πεισθέντος παραγενέσθαι, καὶ λαβόντος ἐλεφαντίνην Σφίγγα μισθὸν, εἰπέ τι πλαγίως ὁ Κικέρων πρὸς αὐτόν· τοῦ δὲ φήσαντος, αἰνιγμάτων λύσεως ἀπείρως ἔχειν· „Καὶ μὴν ἐπὶ τῆς οἰκίας τὴν Σφίγγα ἔχεις.“

VIII. Οὕτω δὲ τοῦ Βέρρου καταδικασθέντος, ἑβδομήκοντα πέντε μυριάδων τιμησάμενος τὴν δίκην ὁ Κικέρων, διαβολὴν ἔσχεν, ὡς ἐπ' ἀργυρίῳ τὸ τίμημα καθυφειμένος. Οὐ μὴν ἀλλ' οἱ Σικελιῶται χάριν εἰδότες, ἀγορανομοῦντος αὐτοῦ, πολλὰ μὲν ἄγοντες ἀπὸ τῆς νήσου, πολλὰ δὲ φέροντες ἥκον· ὧν οὐδὲν ἐποιήσατο κέρδος, ἀλλ' ὅσον ἐπευωνίσαι τὴν ἀγορὰν, ἀπεχρήσατο τῇ φιλοτιμίᾳ τῶν ἀνθρώπων. Ἐκέκτητο δὲ χωρίον καλὸν ἐν Ἄρπις, καὶ περὶ Νέαν πόλιν ἦν ἀγρὸς, καὶ περὶ Πομπήιους ἕτερος, οὐ μεγάλου· φερνὴ τε Τερεντίας, τῆς γυναι-

μὸς, προσγένετο μυριάδων δώδεκα, καὶ πληρουμένης εἰς ἐννέα δηναρίων συναχθείσα μυριάδας. Ἀπὸ τούτων ἐλευθερίως ἅμα καὶ σωφρόνως διῆγε μετὰ τῶν συμβιούντων Ἑλλήνων καὶ Ῥωμαίων φιλολόγων· σπάνιον, εἴ ποτε, πρὸ δυσμῶν ἡλίου κατακλινόμενος, οὐχ οὕτω δι' ἀσχολίαν, ὡς διὰ τὸ σῶμα τῷ στομάχῳ μοχθηρῶς διακείμενον. Ἦν δὲ καὶ τὴν ἄλλην περὶ τὸ σῶμα θεραπείαν ἀκριβὴς καὶ περιττὸς, ὥστε καὶ τρίψεσι καὶ περιπάτοις ἀριθμῷ τεταγμένοις χρῆσθαι. Τοῦτον τὸν τρόπον διαπαιδαγωγῶν τὴν ἕξιν, ἄνοσον καὶ διαρκῆ πρὸς πολλοὺς καὶ μεγάλους ἀγῶνας καὶ πόνους συνεῖχεν. Οἰκίαν δὲ τὴν μὲν πατρῴαν τῷ ἀδελφῷ παρεχώρησεν, αὐτὸς δ' ᾤκει περὶ τὸ Παλάτιον, ὑπὲρ τοῦ μὴ μακρὰν βαδίζοντας ἐνοχλεῖσθαι τοὺς θεραπεύοντας αὐτόν. Ἐθεράπευον δὲ καθ' ἡμέραν ἐπὶ θύρας φοιτῶντες οὐκ ἐλάττονες, ἢ Κράσσον ἐπὶ πλούτῳ, καὶ 865
Πομπήϊον διὰ τὴν ἐν τοῖς στρατεύμασι δύναμιν, θαυμαζομένους μάλιστα Ῥωμαίων καὶ μεγίστους ὄντας. Πομπήϊος δὲ καὶ Κικέρωνα ἐθεράπευε, καὶ μεγάλα πρὸς δύναμιν αὐτῷ καὶ δόξαν ἡ Κικέρωνος συνέπραξε πολιτεία.

IX. Στρατηγίαν δὲ μετιόντων ἅμα σὺν αὐτῷ πολλῶν καὶ μεγάλων, πρῶτος ἁπάντων ἀνηγορεύθη καὶ τὰς ψήφους ἔδοξε καθαρῶς καὶ καλῶς βραβεῦσαι. Λέγεται δὲ καὶ Λικίνιος Μάκερ, ἀνὴρ καὶ καθ' αὐτὸν ἰσχύων ἐν τῇ πόλει μέγα, καὶ Κράσσῳ χρώμενος βοηθῷ, πρινόμενος κλοπῆς ὑπ' αὐτοῦ, τῇ δυνάμει καὶ σπουδῇ πεποιθὼς, ἔτι τὴν ψῆφον τῶν κριτῶν διαφερόντων ἀπαλλαγεὶς οἴκαδε, κείρασθαί τε τὴν κεφαλὴν κατὰ τάχος, καὶ καθαρὸν ἱμάτιον, ὡς νενικηκὼς, λαβὼν, αὖθις εἰς ἀγορὰν προϊέναι· τοῦ δὲ Κράσσου περὶ τὴν αὐλειον ἀπαντήσαντος αὐτῷ, καὶ φράσαντος, ὅτι πάσαις ἑάλωκε ταῖς ψήφοις, ἀναστρέψας καὶ κατακλιθεὶς ἀποθανεῖν. Τὸ δὲ πρᾶγμα τῷ Κικέρωνι δόξαν ἤνεγκεν, ὡς ἐπιμελῶς βραβεύσαντι τὸ δικαστήριον. Ἐπεὶ δὲ Οὐατίνιος, ἀνὴρ ἔχων τι τραχὺ καὶ πρὸς τοὺς ἄρχοντας ὀλίγω-

ρον ἐν ταῖς συνηγορίαις, χειράδων δὲ τὸν τράχηλον περίπλεως, ἠτεῖτό τι καταστὰς παρὰ τοῦ Κικέρωνος, καὶ μὴ διδόντος, ἀλλὰ βουλευομένου πολὺν χρόνον, εἶπεν, ὡς οὐκ ἂν αὐτὸς διστάσειε περὶ τούτου στρατηγῶν· ἐπιστραφεὶς ὁ Κικέρων, „Ἀλλ' ἐγώ," εἶπεν, „οὐκ ἔχω τηλικοῦτον τράχηλον." Ἔτι δ' ἡμέρας δύο ἢ τρεῖς ἔχοντι τῆς ἀρχῆς αὐτῷ προσήγαγέ τις Μανίλιον, εὐθύνων πλοπῆς. Ὁ δὲ Μανίλιος οὗτος εὔνοιαν εἶχε καὶ σπουδὴν ὑπὸ τοῦ δήμου, δοκῶν ἐλαύνεσθαι διὰ Πομπήϊον· ἐκείνου γὰρ ἦν φίλος. Αἰτουμένου δ' ἡμέρας αὐτοῦ, μίαν ὁ Κικέρων μόνην τὴν ἐπιοῦσαν ἔδωκε· καὶ ὁ δῆμος ἠγανάκτησεν, εἰθισμένων τῶν στρατηγῶν δέκα τοὐλάχιστον ἡμέρας διδόναι τοῖς κινδυνεύουσι. Τῶν δὲ δημάρχων αὐτὸν διαγαγόντων ἐπὶ τὸ βῆμα, καλούντων, καὶ κατηγορούντων, ἀκουσθῆναι δεηθείς, εἶπεν, ὅτι τοῖς κινδυνεύουσιν ἀεὶ, καθ' ὅσον οἱ νόμοι παρείκουσι, κεχρημένος ἐπιεικῶς καὶ φιλανθρώπως, δεινὸν ἡγεῖτο τῷ Μανιλίῳ ταῦτα μὴ παρασχεῖν· ἧς οὖν ἔτι μόνης κύριος ἦν ἡμέρας στρατηγῶν, ταύτην ἐπίτηδὲς ὥρισαι· τὸ γὰρ εἰς ἄλλον ἄρχοντα τὴν κρίσιν ἐκβαλεῖν, οὐκ εἶναι βουλομένου βοηθεῖν. Ταῦτα λεχθέντα θαυμαστὴν ἐποίησε τοῦ δήμου μεταβολήν· καὶ πολλὰ κατευφημοῦντες αὐτὸν, ἐδέοντο τὴν ὑπὲρ τοῦ Μανιλίου συνηγορίαν ἀναλαβεῖν. Ὁ δ' ὑπέστη προθύμως, οὐχ ἥκιστα διὰ Πομπήϊον ἀπόντα· καὶ καταστὰς πάλιν ἐξ ὑπαρχῆς ἐδημηγόρησε, νεανικῶς τῶν ὀλιγαρχικῶν καὶ τῷ Πομπηΐῳ φθονούντων καθαπτόμενος.

Χ. Ἐπὶ δὲ τὴν ὑπατείαν οὐχ ἧττον ὑπὸ τῶν ἀριστοκρατικῶν, ἢ τῶν πολλῶν, προήχθη διὰ τὴν πόλιν, ἐξ αἰτίας αὐτῷ τοιαύτης συναγωνισαμένων. Τῆς ὑπὸ Σύλλα γενομένης μεταβολῆς περὶ τὴν πολιτείαν, ἐν ἀρχῇ μὲν ἀτόπου φανείσης, τότε δὲ τοῖς πολλοῖς ὑπὸ χρόνου καὶ συνηθείας ἤδη τινὰ κατάστασιν ἔχειν οὐ φαύλην δοκούσης, ἦσαν οἱ τὰ παρόντα διασεῖσαι καὶ μεταθεῖναι ζητοῦντες, ἰδίων

ἕνεκα πλεονεξιῶν, οὐ πρὸς τὸ βέλτιστον. Πομπηΐου μὲν ἔτι τοῖς βασιλεῦσιν ἐν Πόντῳ καὶ Ἀρμενίᾳ πολεμοῦντος, ἐν δὲ τῇ Ῥώμῃ μηδεμιᾶς ὑφεστώσης πρὸς τοὺς νεωτερίζοντας ἀξιομάχου δυνάμεως. Οὗτοι κορυφαῖον εἶχον ἄνδρα τολμητὴν καὶ μεγαλοπράγμονα καὶ ποικίλον τὸ ἦθος, Λεύκιον Κατιλίναν· ὃς αἰτίαν ποτὲ πρὸς ἄλλοις ἀδικήμασι μεγάλοις ἔλαβε παρθένῳ συγγεγονέναι θυγατρὶ, πεῖναι δ' ἀδελφὸν αὐτοῦ καὶ δίκην ἐπὶ τούτῳ φοβούμενος, ἔπεισε Σύλλαν, ὡς ἔτι ζῶντα, τὸν ἄνθρωπον ἐν 666
τοῖς ἀποθανουμένοις προγράψαι. Τοῦτον οὖν προστάτην οἱ πεντροὶ λαβόντες, ἄλλας τε πίστεις ἀλλήλοις ἔδοσαν, καὶ κατευδύσαντες ἄνθρωπον, ἐγεύσαντο τῶν σαρκῶν. Διέφθαρτο δ' ὑπ' αὐτοῦ πολὺ μέρος τῆς ἐν τῇ πόλει νεότητος, ἡδονὰς καὶ πότους καὶ γυναικῶν ἔρωτας ἀεὶ προξενοῦντος ἑκάστῳ, καὶ τὴν εἰς ταῦτα δαπάνην ἀφειδῶς παρασκευάζοντος. Ἐπῆρτο δ' ἡ τε Τυρρηνία πρὸς ἀπόστασιν ὅλη, καὶ τὰ πολλὰ τῆς ἐντὸς Ἄλπεων Γαλατίας. Ἐπισφαλέστατα δ' ἡ Ῥώμη πρὸς μεταβολὴν εἶχε διὰ τὴν ἐν ταῖς οὐσίαις ἀνωμαλίαν, τῶν μὲν ἐν δόξῃ μάλιστα καὶ φρονήματι κατεπτωχευμένων εἰς θέατρα καὶ δεῖπνα καὶ φιλαρχίας καὶ οἰκοδομίας, τῶν δὲ πλούτων εἰς ἀχεννεῖς καὶ ταπεινοὺς συνερρυηκότων ἀνθρώπους· ὥστε μικρᾶς φοπῆς δεῖσθαι τὰ πράγματα, καὶ παντὸς εἶναι τοῦ τολμήσαντος ἐκστῆσαι τὴν πολιτείαν, αὐτὴν ὑφ' αὑτῆς νοσοῦσαν.

XI. Οὐ μὴν ἀλλὰ βουλόμενος ὁ Κατιλίνας ἰσχυρόν τι προκαταλαβεῖν ὁρμητήριον, ὑπατείαν μετῆγε καὶ λαμπρὸς ἦν ταῖς ἐλπίσιν, ὡς Γαΐῳ Ἀντωνίῳ συνυπατεύσων, ἀνδρὶ καθ' αὑτὸν μὲν οὔτε πρὸς τὸ βέλτιον, οὔτε πρὸς τὸ χεῖρον, ἡγεμονικῷ, προσθήκη δ' ἄγοντος ἑτέρου δυνάμεως ἐσομένῳ. Ταῦτα δὴ χῶν καλῶν καὶ ἀγαθῶν οἱ πλεῖστοι προαισθόμενοι, τὸν Κικέρωνα πρῆγον ἐπὶ τὴν ὑπατείαν· καὶ τοῦ δήμου δεξαμένου προθύμως, ὁ μὲν Κατιλίνας ἐξέπεσε, Κικέρων δὲ καὶ Γάϊος Ἀντώνιος ἠρέθησαν.

Καίτοι τῶν μετιόντων ὁ Κικέρων μόνος ἦν ἐξ ἱππικοῦ πατρὸς, οὐ βουλευτοῦ, γεγονώς.

XII. Καὶ τὰ μὲν περὶ Κατιλίναν ἔμενεν ἔτι τοὺς πολλοὺς λανθάνοντα· προάγωνες δὲ μεγάλοι τὴν Κικέρωνος ὑπατείαν ἐξεδέξαντο. Τοῦτο μὲν γὰρ, οἱ κεκολυμένοι κατὰ τοὺς Σύλλα νόμους ἄρχειν, οὔτ' ἀσθενεῖς ὄντες, οὔτ' ὀλίγοι, μετιόντες ἀρχὰς ἐδημαγώγουν, πολλὰ τῆς Σύλλα τυραννίδος ἀληθῆ μὲν καὶ δίκαια κατηγοροῦντες, οὐ μὴν ἐν δέοντι τὴν πολιτείαν, οὐδὲ σὺν καιρῷ κινοῦντες· τοῦτο δὲ, νόμους εἰσῆγον οἱ δήμαρχοι πρὸς τὴν αὐτὴν ὑπόθεσιν, δεκαδαρχίαν καθιστάντες αὐτοκρατόρων ἀνδρῶν, οἷς ἐφεῖτο, πάσης μὲν Ἰταλίας, πάσης δὲ Συρίας, καὶ ὅσα διὰ Πομπηΐου νεωστὶ προσώριστο, κυρίους ὄντας, πωλεῖν τὰ δημόσια, ἀρίνειν, οὓς δοκοίη, φυγάδας ἐκβάλλειν, συνοικίζειν πόλεις, χρήματα λαμβάνειν ἐκ τοῦ ταμιείου, στρατιώτας τρέφειν καὶ κατάγειν, ὁπόσων δέοιντο. Διὸ καὶ τῷ νόμῳ προσεῖχον ἄλλοι τε τῶν ἐπιφανῶν, καὶ πρῶτος Ἀντώνιος, ὁ τοῦ Κικέρωνος συνάρχων, ὡς τῶν δέκα γενησόμενος. Ἐδόκει δὲ καὶ τὸν Κατιλίνα νεωτερισμὸν εἰδὼς οὐ δυσχεραίνειν ὑπὸ πλήθους δανείων ὃ μάλιστα τοῖς ἀρίστοις φόβον παρεῖχε. Καὶ τοῦτο πρῶτον θεραπεύων ὁ Κικέρων, ἐκείνῳ μὲν ἐψηφίσατο τῶν ἐπαρχιῶν Μακεδονίαν, αὐτῷ δὲ τὴν Γαλατίαν διδομένην παρητήσατο, καὶ κατειργάσατο τῇ χάριτι ταύτῃ τὸν Ἀντώνιον, ὥσπερ ὑποκριτὴν ἔμμισθον, αὐτῷ τὰ δεύτερα λέγειν ὑπὲρ τῆς πατρίδος. Ὡς δ' οὗτος ἐαλώκει καὶ χειροήθης ἐγεγόνει, μᾶλλον ἤδη θαρρῶν ὁ Κικέρων ἐνίστατο πρὸς τοὺς καινοτομοῦντας. Ἓν μὲν οὖν τῇ βουλῇ κατηγορίαν τινὰ τοῦ νόμου διατιθέμενος, οὕτως ἐξέπληξεν αὐτοὺς τοὺς εἰσφέροντας, ὥστε μηδὲν ἀντιλέγειν. Ἐπεὶ δ' αὖθις ἐπεχείρουν, καὶ παρασκευαζόμενοι προεκαλοῦντο τοὺς ὑπάτους ἐπὶ τὸν δῆμον, οὐδὲν ὑποδείσας ὁ Κικέρων, ἀλλὰ τὴν βουλὴν ἕπεσθαι πελεύσας καὶ προελθὼν, οὐ μόνον ἐξέβαλε τὸν νόμον, ἀλλὰ καὶ τῶν

ἄλλων ἀπογνῶναι τοὺς δημάρχους ἐποίησε, παρὰ τοσοῦτον τῷ λόγῳ κρατηθέντας ὑπ' αὐτοῦ.

XIII. *Μάλιστα γὰρ αὐτὸς ὁ ἀνὴρ ἐπέδειξε* 867
*Ῥωμαίοις, ὅσον ἡδονῆς λόγος τῷ καλῷ προστίθησι, καὶ ὅτι τὸ δίκαιον ἀήττητόν ἐστιν, ἂν ὀρθῶς λέγηται· καὶ δεῖ τὸν ἐμμελῶς πολιτευόμενον ἀεὶ τῷ μὲν ἔργῳ τὸ καλὸν ἀντὶ τοῦ κολακεύοντος αἱρεῖσθαι, τῷ δὲ λόγῳ τὸ λυποῦν ἀφαιρεῖν τοῦ συμφέροντος. Δεῖγμα δ' αὐτοῦ τῆς περὶ τὸν λόγον χάριτος, καὶ τὸ περὶ τὰς θέας ἐν τῇ ὑπατείᾳ γενόμενον. Τῶν γὰρ ἱππικῶν πρότερον ἐν τοῖς θεάτροις ἀναμεμιγμένων τοῖς πολλοῖς, καὶ μετὰ τοῦ δήμου θεωμένων, ὡς ἔτυχε, πρῶτος διέκρινεν ἐπὶ τιμῇ τοὺς ἱππέας ἀπὸ τῶν ἄλλων πολιτῶν Μάρκος Ὄθων στρατηγῶν, καὶ διένειμεν ἰδίαν ἐκείνοις θέαν, ἣν ἔτι καὶ νῦν ἐξαίρετον ἔχουσι. Τοῦτο πρὸς ἀτιμίαν ὁ δῆμος ἔλαβε, καὶ φανέντος ἐν θεάτρῳ τοῦ Ὄθωνος, ἐφυβρίζων ἐσυριττεν, οἱ δ' ἱππεῖς ὑπέλαβον πρότῳ τὸν ἄνδρα λαμπρῶς. Αὖθις δ' ὁ δῆμος ἐπέτεινε τὸν συριγμόν, εἶτ' ἐκεῖνοι τὸν κρότον. Ἐκ δὲ τούτου τραπόμενοι πρὸς ἀλλήλους ἐχρῶντο λοιδορίαις, καὶ τὸ θέατρον ἀκοσμία κατεῖχεν. Ἐπεὶ δ' ὁ Κικέρων ἦκε πυθόμενος, καὶ τὸν δῆμον ἐκκαλέσας πρὸς τὸ τῆς Ἐννοῦς ἱερὸν, ἐπετίμησε καὶ παρῄνεσεν, ἀπελθόντες αὖθις εἰς τὸ θέατρον ἐκρότουν τὸν Ὄθωνα λαμπρῶς, καὶ πρὸς τοὺς ἱππέας ἄμιλλαν ἐποιοῦντο περὶ τιμῶν καὶ δόξης τοῦ ἀνδρός.

XIV. *Ἡ δὲ περὶ τὸν Κατιλίναν συνωμοσία, πτήξασα καὶ καταδείσασα τὴν ἀρχὴν, αὖθις ἀνεθάρρει, καὶ συνῆγον ἀλλήλους, καὶ παρεκάλουν εὐτολμότερον ἅπτεσθαι τῶν πραγμάτων, πρὶν ἐπανελθεῖν Ὁμπήϊον, ἤδη λεγόμενον ὑποστρέφειν μετὰ τῆς δυνάμεως. Μάλιστα δὲ τὸν Κατιλίναν ἐξηρέθιζον οἱ Σύλλα πάλαι στρατιῶται, διαπεφευγότες μὲν ὅλης τῆς Ἰταλίας, πλεῖστοι δὲ καὶ μαχιμώτατοι τοῖς Τυρρηνικαῖς ἐγκατεσπαρμένοι πόλεσιν, ἁρπαγὰς πάλαι καὶ διαφορήσεις πλούτων ἑτοίμων*

ὀνειροπολοῦντες. Οὗτοι γὰρ ἡγεμόνα μᾶλλον ἔχοντες, ἄνδρα τῶν ἐπιφανῶς ὑπὸ Σύλλᾳ στρατευσαμένων, συνίσταντο τῷ Κατιλίνᾳ, καὶ παρῆσαν εἰς Ῥώμην συναρχαιρεσιάσοντες. Ὑπατείαν γὰρ αὖθις μετῄει, βεβουλευμένος ἀνελεῖν τὸν Κικέρωνα περὶ αὐτὸν τῶν ἀρχαιρεσιῶν τὸν θόρυβον. Ἐδόκει δὲ καὶ τὸ δαιμόνιον προσημαίνειν τὰ πρασσόμενα σεισμοῖς καὶ κεραυνοῖς καὶ φάσμασιν. Αἱ δ' ἀπ' ἀνθρώπων μηνύσεις ἀληθεῖς μὲν ἦσαν, οὔπω δ' εἰς ἔλεγχον ἀποχρῶσαι κατ' ἀνδρὸς ἐνδόξου καὶ δυναμένου μέγα, τοῦ Κατιλίνα. Διὸ τὴν ἡμέραν τῶν ἀρχαιρεσιῶν ὑπερθέμενος ὁ Κικέρων, ἐκάλει τὸν Κατιλίναν εἰς τὴν σύγκλητον, καὶ περὶ τῶν λεγομένων ἀνέκρινεν. Ὁ δὲ πολλοὺς οἰόμενος εἶναι τοὺς πραγμάτων καινῶν ἐφιεμένους ἐν τῇ βουλῇ, καὶ ἅμα τοῖς συνωμόταις ἐνδεικνύμενος, ἀπεκρίνατο τῷ Κικέρωνι μανικὴν ἀπόκρισιν· „Τί γάρ," ἔφη, „πράττω δεινὸν, εἰ, δυοῖν σωμάτων ὄντων, τοῦ μὲν ἰσχνοῦ καὶ κατεφθινηκότος, ἔχοντος δὲ κεφαλήν, τοῦ δ' ἀκεφάλου μὲν, ἰσχυροῦ δὲ καὶ μεγάλου, τούτῳ κεφαλὴν αὐτὸς ἐπιτίθημι;" Τούτων εἴς τε τὴν βουλὴν καὶ τὸν δῆμον ἠνιγμένων ὑπ' αὐτοῦ, μᾶλλον ὁ Κικέρων ἔδεισε, καὶ τεθωρακισμένον αὐτὸν οἵ τε δυνατοὶ πάντες ἀπὸ τῆς οἰκίας, καὶ τῶν νέων πολλοὶ κατήγαγον εἰς τὸ πεδίον. Τοῦ δὲ θώρακος ἐπίηδες ὑπέφαινέ τε παραλύσας ἐκ τῶν ὤμων τοῦ χιτῶνος, ἐνδεικνύμενος τοῖς ὁρῶσι τὸν κίνδυνον. Οἱ δ' ἠγανάκτουν καὶ συνεστρέφοντο περὶ αὐτὸν καὶ τέλος ἐν ταῖς ψήφοις τὸν μὲν Κατιλίναν αὖθις ἐξέβαλον, εἵλοντο δὲ Σιλανὸν ὕπατον, καὶ Μουρήναν.

XV. Οὐ πολλῷ δ' ὕστερον τούτων ἤδη τῷ Κατιλίνᾳ τῶν ἐν Τυρρηνίᾳ συνερχομένων καὶ καταλοχιζομένων, καὶ τῆς ὡρισμένης πρὸς τὴν ἐπίθεσιν ἡμέρας
868 ἐγγὺς οὔσης, ἦκον ἐπὶ τὴν Κικέρωνος οἰκίαν περὶ μέσας νύκτας ἄνδρες οἱ πρῶτοι καὶ δυνατώτατοι Ῥωμαίων, Μάρκος τε Κράσσος, καὶ Μάρκος Μάρκελλος, καὶ Σκηπίων Μέτελλος. κόψαντες δὲ τὰς θύρας, καὶ καλέσαντες τὸν θυρωρὸν, ἐπέλευον ἐπεγεῖ-

ραι, καὶ φράσαι Κικέρωνι τὴν παρουσίαν αὐτῶν. Ἦν δὲ τοιόνδε· τῷ Κράσσῳ μετὰ δεῖπνον ἐπιστολὰς ἀποδίδωσιν ὁ θυρωρὸς ὑπό δή τινος ἀνθρώπου πομισθέισας ἀγνώστου, ἄλλας ἄλλοις ἐπιγεγραμμένας, αὐτῷ δὲ Κράσσῳ μίαν ἐδέσποτον. Ἦν μάτην ἀναγνοὺς ὁ Κράσσος, ὡς ἔφραζε τὰ γράμματα φόνον γενησόμενον πολὺν διὰ Κατιλίναν, καὶ παρήνει τῆς πόλεως ὑπεξελθεῖν, τὰς ἄλλας οὐκ ἔλυσεν, ἀλλ' ἦκεν εὐθὺς πρὸς τὸν Κικέρωνα, πληγεὶς ὑπὸ τοῦ δεινοῦ, καί τι τῆς αἰτίας ἀποδυόμενος, ἢν ἔσχε διὰ φιλίαν τοῦ Κατιλίνα. Βουλευσάμενος οὖν ὁ Κικέρων, ἅμ' ἡμέρᾳ βουλὴν συνήγαγε, καὶ τὰς ἐπιστολὰς κομίσας, ἀπέδωκεν, οἷς ἦσαν ἐπεσταλμέναι, κελεύσας φανερῶς ἀναγνῶναι. Πᾶσαι δ' ἦσαν ὁμοίως ἐπιβουλὴν φράζουσαι. Ἐπεὶ δὲ καὶ Κόϊντος Ἄρριος, ἀνὴρ στρατηγικὸς, ἀπήγγειλε τοὺς ἐν Τυρρηνίᾳ καταλογισμοὺς, καὶ Μάλλιος ἀπηγγέλλετο σὺν χειρὶ μεγάλῃ περὶ τὰς πόλεις ἐκείνας αἰωρούμενος ἀεί τι προσδοκῶν καινὸν ἀπὸ τῆς Ῥώμης, γίνεται δόγμα τῆς βουλῆς, παρακατιθεσθαι τοῖς ὑπάτοις τὰ πράγματα· δεξαμένους δ' ἐκείνους, ὡς ἐπίστανται, διοικεῖν καὶ σώζειν τὴν πόλιν. Τοῦτο δ' οὐ πολλάκις, ἀλλ' ὅταν τι μέγα δείσῃ, ποιεῖν εἴωθεν ἡ σύγκλητος.

XVI. Ἐπεὶ δὲ ταύτην λαβὼν τὴν ἐξουσίαν ὁ Κικέρων τὰ μὲν ἔξω πράγματα Κοΐντῳ Μετέλλῳ διεπίστευσε, τὴν δὲ πόλιν εἶχε διὰ χειρὸς, καὶ καθ' ἡμέραν προήει θορυφορούμενος ὑπ' ἀνδρῶν τοσούτων τὸ πλῆθος, ὥστε τῆς ἀγορᾶς πολὺ μέρος κατέχειν, ἐμβάλλοντος αὐτοῦ τοὺς παραπέμπτους· συνέτι παντερῶν τὴν μέλλησιν ὁ Κατιλίνας, αὐτὸς μὲν ἐκπηδᾷν ἔγνω πρὸς τὸν Μάλλιον ἐπὶ τὸ πρᾶγμα· καὶ Μάρκιον δὲ καὶ Κέθηγον ἐκέλευσε ξίφη λαβόντας ἐλθεῖν ἐπὶ τὰς θύρας ἕωθεν, ὡς ἀσπασομένους τὸν Κικέρωνα, καὶ διαχρήσασθαι προσπεσόντας. Τοῦτο Φουλβία, γυνὴ τῶν ἐπιφανῶν, ἐξαγγέλλει τῷ Κικέρωνι, νυκτὸς ἐλθοῦσα, καὶ διακελευσαμένη φυλάττεσθαι τοὺς περὶ τὸν Κέθηγον.

Οἱ δ' ἦσαν ἅμ' ἡμέρᾳ, καὶ κωλυθέντες εἰσελθεῖν, ἠγανάκτουν, καὶ κατεβόων ἐπὶ θύραις, ὥστε ὑποπτότεροι γενέσθαι. Προελθὼν δ' ὁ Κικέρων, ἐκάλει τὴν σύγκλητον εἰς τὸ τοῦ Στησίου Διὸς ἱερόν, ὃν Στάτωρα Ῥωμαῖοι καλοῦσιν, ἱδρυμένον ἐν ἀρχῇ τῆς ἱερᾶς ὁδοῦ, πρὸς τὸ Παλάτιον ἀνιόντων. Ἐνταῦθα καὶ τοῦ Κατιλίνα μετὰ τῶν ἄλλων ἐλθόντος, ὡς ἀπολογησομένου, συγκαθίσαι μὲν οὐδεὶς ὑπέμεινε τῶν συγκλητικῶν, ἀλλὰ πάντες ἀπὸ τοῦ βάθρου μετῆλθον. Ἀρξάμενος δὲ λέγειν ἐθορυβεῖτο, καὶ τέλος ἀναστὰς ὁ Κικέρων, προσέταξεν αὐτῷ τῆς πόλεως ἀπαλλάττεσθαι· δεῖν γὰρ, αὐτοῦ μὲν λόγοις, ἐκείνου δ' ὅπλοις πολιτευομένου, μέσον εἶναι τὸ τεῖχος. Ὁ μὲν οὖν Κατιλίνας εὐθὺς ἐξελθὼν μετὰ τριακοσίων ὁπλοφόρων, καὶ περιστησάμενος αὐτῷ ῥαβδουχίας, ὡς ἄρχοντι, καὶ πελέκεις, καὶ σημαίας ἐπαράμενος, πρὸς τὸν Μάλλιον ἐχώρει· καὶ δισμυρίων ὁμοῦ τι συνηθροισμένων, ἐπῆλθε τὰς πόλεις ἀναπείθων καὶ ἀφιστὰς· ὥστε, τοῦ πολέμου φανεροῦ γεγονότος, τὸν Ἀντώνιον ἀποσταλῆναι διαμαχούμενον.

XVII. Τοὺς δ' ὑπολειφθέντας ἐν τῇ πόλει τῶν διεφθαρμένων ὑπὸ τοῦ Κατιλίνα συνῆγε καὶ παρεθάρρυνε Κορνήλιος Λέντλος, Σούρας ἐπίκλησιν, ἀνὴρ γένους μὲν ἐνδόξου, βεβιωκὼς δὲ φαύλως, καὶ δι' ἀσέλγειαν ἐξεληλαμένος τῆς βουλῆς πρότερον τότε δὲ στρατηγῶν τὸ δεύτερον, ὡς ἔθος ἐστὶ τοῖς ἐξ ὑπαρχῆς ἀνακτωμένοις τὸ βουλευτικὸν ἀξίωμα. 86g Λέγεται δὲ καὶ τὴν ἐπίκλησιν αὐτῷ γενέσθαι τὸν Σούραν ἐξ αἰτίας τοιαύτης. Ἐν τοῖς κατὰ Σύλλαν χρόνοις ταμιεύων, συχνὰ τῶν δημοσίων χρημάτων ἀπώλισθε καὶ διέφθειρεν. Ἀγανακτοῦντος δὲ τοῦ Σύλλα, καὶ λόγον ἀπαιτοῦντος ἐν τῇ συγκλήτῳ, προελθὼν ὀλιγώρως πάνυ καὶ καταφρονητικῶς, λόγον μὲν οὐκ ἔφη διδόναι, παρέχειν δὲ τὴν κνήμην, ὥσπερ εἰώθεισαν οἱ παῖδες, ὅταν ἐν τῷ σφαιρίζειν ἁμάρτωσιν. Ἐκ τούτου Σούρας παρωνομάσθη· σούραν γὰρ οἱ Ῥωμαῖοι τὴν κνήμην λέ-

γουσι. Πάλιν δὲ δίκην ἔχων, καὶ διαφθείρας ἑνίους τῶν δικαστῶν, ἐπεὶ δυσὶ μόναις ἀπέφυγε ψήφοις, ἔφη, παρανάλωμα γεγονέναι τὸ θατέρῳ κριτῇ δοθέν· ἀρκεῖν γὰρ, εἰ καὶ μιᾷ ψήφῳ μόνον ἀπελύθη. Τοῦτον ὄντα τῇ φύσει τοιοῦτον, κεκινημένον ὑπὸ τοῦ Κατιλίνα, προσδιέφθειραν ἐλπίσι κεναῖς ψευδομάντεις καὶ γόητες, ἔπη πεπλασμένα καὶ χρησμοὺς ᾄδοντες, ὡς ἐκ τῶν Σιβυλλείων προδηλοῦντας, εἱμαρμένους εἶναι τῇ Ῥώμῃ Κορνηλίους τρεῖς μονάρχους· ὧν δύο μὲν ἤδη πεπληρωκέναι τὸ χρεὼν, Κίνναν τε καὶ Σύλλαν, τρίτῳ δὲ λοιπῷ Κορνηλίῳ, ἐκείνῳ, φέροντα τὴν μοναρχίαν ἥκειν τὸν δαίμονα, καὶ δεῖν πάντως δέχεσθαι, καὶ μὴ διαφθείρειν μέλλοντα τοὺς καιροὺς, ὥσπερ Κατιλίνας.

XVIII. Οὐδὲν οὖν ἐπενόει μικρὸν ὁ Λέντλος, ἢ ἄσημον, ἀλλ' ἐδέδοκτο τὴν βουλὴν ἅπασαν ἀναιρεῖν, τῶν τ' ἄλλων πολιτῶν ὅσους δύναιτο, τὴν πόλιν δ' αὐτὴν καταπιμπράναι, φείδεσθαί τε μηδενὸς, ἢ τῶν Πομπηΐου τέκνων· ταῦτα δ' ἐξαρπασαμένους ἔχειν ὑφ' αὑτοῖς, καὶ φυλάττειν, ὅμηρα τῶν πρὸς Πομπηΐον διαλύσεων· ἤδη γὰρ ἐφοίτα πολὺς λόγος καὶ βέβαιος ὑπὲρ αὐτοῦ κατιόντος ἀπὸ τῆς μεγάλης στρατείας. Καὶ νὺξ μὲν ὥριστο πρὸς τὴν ἐπίθεσιν μία τῶν Κρονιάδων· ξίφη δὲ καὶ στυππεῖα καὶ θεῖον εἰς τὴν Κεθήγου φέροντες οἰκίαν ἀπέκρυψαν. Ἄνδρας δὲ τάξαντες ἑκατὸν, καὶ μέρη τοσαῦτα τῆς Ῥώμης, ἕκαστον ἐφ' ἑκάστῳ διεκλήρωσαν, ὡς δι' ὀλίγου, πολλῶν ἁψάντων, φλέγοιτο πανταχόθεν ἡ πόλις. Ἄλλοι δὲ τοὺς ὀχετοὺς ἔμελλον ἐμφράξαντες ἀποσφάττειν τοὺς ὑδρευομένους. Πραττομένων δὲ τούτων, ἔτυχον ἐπιδημοῦντες Ἀλλοβρίγων δύο πρέσβεις, ἔθνους μάλιστα δὴ τότε πονηρὰ πράττοντος, καὶ βαρυνομένου τὴν ἡγεμονίαν. Τούτους οἱ περὶ Λέντλον ὠφελίμους ἡγούμενοι πρὸς τὸ κινῆσαι καὶ μεταβαλεῖν τὴν Γαλατίαν, ἐποιήσαντο συνωμότας. Καὶ γράμματα μὲν αὐτοῖς πρὸς τὴν ἐκεῖ βουλὴν, γράμματα δὲ πρὸς

Κατιλίναν ἔδοσαν, τῇ μὲν ὑποσχνούμενοι τὴν ἐλευθερίαν, τὸν δὲ Κατιλίναν παρακαλοῦντες ἐλευθερώσαντα τοὺς δούλους ἐπὶ τὴν Ῥώμην ἐλαύνειν. Συναπέστελλον δὲ μετ' αὐτῶν πρὸς τὸν Κατιλίναν Τίτον τινὰ Κροτωνιάτην, πομίζοντα τὰς ἐπιστολάς. Οἷς δ' ἀνθρώπων ἀστεθμήτων, καὶ μετ' οἴνου τὰ πολλὰ καὶ γυναικῶν ἀλλήλοις ἐντυγχανόντων, βουλεύματα πόνῳ καὶ λογισμῷ νήφοντι καὶ συνέσει περιττῇ διώκων ὁ Κικέρων, καὶ πολλοὺς μὲν ἔχων ἔξωθεν ἐπισκοποῦντας τὰ πραττόμενα καὶ συνεξευρίσκοντας αὐτῷ, πολλοῖς δὲ τῶν μετέχειν δοκούντων τῆς συνωμοσίας διαλεγόμενος κρύφα, καὶ πιστεύων, ἔγνω τὴν πρὸς τοὺς ξένους κοινολογίαν καὶ νυκτὸς ἐνέδρευσας, ἕλαβε τὸν Κροτωνιάτην καὶ τὰ γράμματα, συνεργούντων ἀθλίως τῶν Ἀλλοβρίγων.

XIX. Ἅμα δ' ἡμέρᾳ βουλὴν ἀθροίσας εἰς τὸ τῆς Ὁμονοίας ἱερόν, ἐξήνεγκε τὰ γράμματα, καὶ τῶν μηνυτῶν ἀνήκουσεν. Ἦφη δὲ καὶ Σιλανὸς Ἰούνιος, ἀκηκοέναι νυκτὸς Κεθήγου λέγοντος, ὡς ὕπατοί τε τρεῖς καὶ στρατηγοὶ τέτταρες ἀναιρεῖσθαι μέλλουσι. Τοιαῦτα δ' ἕτερα καὶ Πείσων, ἀνὴρ ὑπατικός, εἰσ-
37 ἤγγελε. Γάϊος δὲ Σουλπίκιος, εἷς τῶν στρατηγῶν, ἐπὶ τὴν οἰκίαν πεμφθεὶς τοῦ Κεθήγου, πολλὰ μὲν ἐν αὐτῇ βέλη καὶ ὅπλα, πλείστα δὲ ξίφη καὶ μαχαίρας εὗρε, νεοθήκτους ἁπάσας. Τέλος δὲ τῷ Κροτωνιάτῃ ψηφισαμένης ἄδειαν ἐπὶ μηνύσει τῆς βουλῆς, ἐξελεγχθεὶς ὁ Λέντλος ἀπωμόσατο τὴν ἀρχήν, (στρατηγῶν γὰρ ἐτύγχανε) καὶ τὴν περιπόρφυρον ἐν τῇ βουλῇ καταθέμενος, ἀμήλλαξεν ἐσθῆτα τῇ συμφορᾷ πρέπουσαν. Οὗτος μὲν οὖν καὶ οἱ σὺν αὐτῷ παρεδόθησαν εἰς ἄδεσμον φυλακὴν τοῖς στρατηγοῖς. Ἤδη δ' ἑσπέρας οὔσης, καὶ τοῦ δήμου περιμένοντος ἀθρόου, προελθὼν ὁ Κικέρων, καὶ φράσας τὸ πρᾶγμα τοῖς πολίταις, καὶ προπεμφθείς, παρῆλθεν εἰς οἰκίαν φίλου γειτνιώντος· ἐπεὶ τὴν ἐκείνου γυναῖκας κατεῖχον, ἱεροῖς ἀποῤῥήτοις ὀργιάζουσαι θεόν, ἣν Ῥωμαῖοι μὲν Ἄμαθιν, Ἕλληνες δὲ Γυναικείαν ὀνομάζουσι. Θύεται δ' αὐτῇ κατ'

ἐνιαυτὸν ἐν τῇ οἰκίᾳ τοῦ ὑπάτου διὰ γυναικὸς ἢ μητρὸς αὐτοῦ, τῶν Ἑστιάδων παρθένων παρουσῶν. Εἰσελθὼν οὖν ὁ Κικέρων, καθ' αὑτὸν, ὀλίγων παντάπασιν αὐτῷ παρόντων, ἐφρόντιζεν, ὅπως χρήσοιτο τοῖς ἀνδράσι. Τήν τε γὰρ ἄκραν καὶ προσήκουσαν ἀδικήμασι τηλικούτοις τιμωρίαν ἐξευλαλαβεῖτο καὶ κατώκνει, δι' ἐπιείκειαν ἤθους ἅμα, καὶ ὡς μὴ δοκοίη τῆς ἐξουσίας ἄγαν ἐμφορεῖσθαι, καὶ πικρῶς ἐπεμβαίνειν ἀνδράσι γένει τε πρώτοις, καὶ φίλους δυνατοὺς ἐν τῇ πόλει κεκτημένοις· μαλακώτερόν τε χρησάμενος, ὠῤῥώδει τὸν ἀπ' αὐτῶν κίνδυνον. Οὐ γὰρ ἀγαπήσειν μετριώτερόν τι θανάτου παθόντας, ἀλλ' εἰς ἅπαν ἀναῤῥαγήσεσθαι τόλμης, τῇ παλαιᾷ κακίᾳ νέαν ὀργὴν προσλαβόντας· αὐτός τε δόξειν ἄνανδρος καὶ μαλακὸς, οὐδ' ἄλλως δοκῶν εὐτολμότατος εἶναι τοῖς πολλοῖς.

XX. Ταῦτα τοῦ Κικέρωνος διαποροῦντος, γίνεταί τι ταῖς γυναιξὶ σημεῖον θυούσαις. Ὁ γὰρ βωμὸς, ἤδη τοῦ πυρὸς κατακεκοιμῆσθαι δοκοῦντος, ἐκ τῆς τέφρας καὶ τῶν κεκαυμένων φλοιῶν φλόγα πολλὴν ἀνῆκε καὶ λαμπράν. Ὑφ' ἧς αἱ μὲν ἄλλαι διεπτοήθησαν, αἱ δ' ἱεραὶ παρθένοι τὴν τοῦ Κικέρωνος γυναῖκα, Τερεντίαν, ἐκέλευσαν ᾗ τάχος χωρεῖν πρὸς τὸν ἄνδρα, καὶ κελεύειν οἷς ἔγνωκεν ἐγχειρεῖν ὑπὲρ τῆς πατρίδος, ὡς μέγα πρός τε σωτηρίαν καὶ δόξαν αὐτῷ τῆς θεοῦ φῶς διδούσης. Ἡ δὲ Τερεντία (καὶ γὰρ οὐδ' ἄλλως ἦν πρᾳεῖά τις, οὐδ' ἄτολμος τὴν φύσιν, ἀλλὰ φιλότιμος γυνὴ, καὶ μᾶλλον, ὡς αὐτός φησιν ὁ Κικέρων, τῶν πολιτικῶν μεταλαμβάνουσα παρ' ἐκείνου φροντίδων, ἢ μεταδιδοῦσα τῶν οἰκειακῶν ἐκείνῳ) ταῦτά τε πρὸς αὐτὸν ἔφρασε, καὶ παρώξυνεν ἐπὶ τοὺς ἄνδρας· ὁμοίως δὲ καὶ Κόϊντος, ὁ ἀδελφὸς, καὶ τῶν ἀπὸ φιλοσοφίας ἑταίρων Πόπλιος Νιγίδιος, ᾧ τὰ πλεῖστα καὶ μέγιστα παρὰ τὰς πολιτικὰς ἐχρῆτο πράξεις. Τῇ δ' ὑστεραίᾳ γενομένων ἐν συγκλήτῳ λόγων περὶ τιμωρίας τῶν ἀνδρῶν, ὁ πρῶτος ἐρω-

τηθεὶς γνώμην Σιλανὸς, εἶπε, τὴν ἐσχάτην δίκην δοῦναι προσήκειν, ἀχθέντας εἰς τὸ δεσμωτήριον. Καὶ προσετίθεντο τούτῳ πάντες ἐφεξῆς, μέχρι Γαΐου Καίσαρος, τοῦ μετὰ ταῦτα δικτάτωρος γενομένου. Τότε δὲ νέος ὢν ἔτι, καὶ τὰς πρώτας ἔχων τῆς αὐξήσεως ἀρχὰς, ἤδη δὲ τῇ πολιτείᾳ καὶ ταῖς ἐλπίσιν εἰς ἐκείνην τὴν ὁδὸν ἐμβεβηκὼς, ᾗ τὰ Ῥωμαίων εἰς μοναρχίαν μετέστησε πράγματα, τοὺς μὲν ἄλλους ἐλάνθανε, τῷ δὲ Κικέρωνι πολλὰς μὲν ὑποψίας, λαβὴν δ' οὐδεμίαν εἰς ἔλεγχον παρέδωκεν, ἀλλὰ καὶ λεγόντων ἦν ἐνίων ἀκούειν, ὡς ἐγγὺς ἐλθὼν ἁλῶναι, διεκφύγοι τὸν ἄνδρα. Τινὲς δέ φασι, παριδεῖν ἑκόντα καὶ παραλιπεῖν τὴν κατ' ἐκείνου μήνυσιν, φόβῳ τῶν φίλων αὐτοῦ καὶ τῆς δυνάμεως· παντὶ γὰρ εἶναι πρόδηλον, ὅτι μᾶλλον ἂν
871 ἐκεῖνοι γένοιντο προσθήκη Καίσαρι σωτηρίας, ἢ Καῖσαρ ἐκείνοις κολάσεως.

XXI. Ἐπεὶ δ' οὖν ἡ γνώμη περιῆλθεν εἰς αὐτὸν, ἀναστὰς ἀπεφήνατο μὴ θανατοῦν τοὺς ἄνδρας, ἀλλὰ τὰς οὐσίας εἶναι δημοσίας, αὐτοὺς δ' ἀπαχθέντας εἰς πόλεις τῆς Ἰταλίας, ἃς ἂν δοκῇ Κικέρωνι, τηρεῖσθαι δεδεμένους, ἄχρις ἂν οὗ καταπολεμηθῇ Κατιλίνας. Οὔσης δὲ τῆς γνώμης ἐπιεικοῦς, καὶ τοῦ λέγοντος εἰπεῖν δυνατωτάτου, ῥοπὴν ὁ Κικέρων προσέθηκεν οὐ μικράν. Αὐτός τε γὰρ ἀναστὰς ἐνεχείρησεν εἰς ἑκάτερον, τὰ μὲν τῇ προτέρᾳ, τὰ δὲ τῇ γνώμῃ Καίσαρος συνειπών· οἵ τε φίλοι πάντες, οἰόμενοι, τῷ Κικέρωνι συμφέρειν τὴν Καίσαρος γνώμην, (ἧττον γὰρ ἐν αἰτίαις ἔσεσθαι μὴ θανατώσαντα τοὺς ἄνδρας) ᾑροῦντο τὴν δευτέραν μᾶλλον γνώμην, ὥστε καὶ τὸν Σιλανὸν αὖθις μεταβαλλόμενον παραιτεῖσθαι, καὶ λέγειν, ὡς οὐδ' αὐτὸς εἴποι θανατικὴν γνώμην· ἐσχάτην γὰρ ἀνδρὶ βουλευτῇ Ῥωμαίων εἶναι δίκην τὸ δεσμωτήριον. Εἰρημένης δὲ τῆς γνώμης, πρῶτος ἀντέκρουσεν αὐτῇ Κάτλος Λουτάτιος· εἶτα δεξάμενος Κάτων, καὶ τῷ λόγῳ σφοδρῶς συναπερείσας ἐπὶ τὸν Καίσαρα τὴν ὑπόνοιαν, ἐνέπλησε θυμοῦ καὶ φρονήματος τὴν

σύγκλητον, ὥστε θάνατον καταψηφίσασθαι τῶν ἀνδρῶν. Περὶ δὲ δημεύσεως χρημάτων ἐνίστατο Καῖσαρ, οὐκ ἀξιῶν, τὰ φιλάνθρωπα τῆς ἑαυτοῦ γνώμης ἐκβαλόντας, ἐνὶ χρήσασθαι τῷ σκυθρωποτάτῳ. Βιαζομένων δὲ πολλῶν, ἐπεκαλεῖτο τοὺς δημάρχους. Οἱ δ' οὐχ ὑπήκουον, ἀλλὰ Κικέρων αὐτὸς ἐνδοὺς ἀπῆλθε τὴν περὶ δημεύσεως γνώμην.

XXII. Ἐῴρει δὲ μετὰ τῆς βουλῆς ἐπὶ τοὺς ἄνδρας. Οὐκ ἐν ταὐτῷ δὲ πάντες ἦσαν, ἄλλος δ' ἄλλον ἐφύλαττε τῶν στρατηγῶν. Καὶ πρῶτον ἐκ Παλατίου παραλαβὼν τὸν Λέντλον, ἦγε διὰ τῆς ἱερᾶς ὁδοῦ καὶ τῆς ἀγορᾶς μέσης, τῶν μὲν ἡγεμονικωτάτων ἀνδρῶν κύκλῳ περιεσπειραμένων καὶ δορυφορούντων, τοῦ δὲ δήμου φρίττοντος καὶ δρώμενα, καὶ παρόντος σιωπῇ· μάλιστα δὲ τῶν νέων, ὥσπερ ἱεροῖς τισι πατρίοις ἀριστοκρατικῆς τινος ἐξουσίας, τελεῖσθαι μετὰ φόβου καὶ θαμβους δοκούντων. Διελθὼν δὲ τὴν ἀγορὰν, καὶ γενόμενος πρὸς τῷ δεσμωτηρίῳ, παρέδωκε τὸν Λέντλον τῷ δημίῳ, καὶ προσέταξεν ἀπελεῖν· εἶθ' ἑξῆς τὸν Κέθηγον, καὶ οὕτω τῶν ἄλλων ἕκαστον καταγαγὼν ἀπέκτεινεν. Ὁρῶν δὲ πολλοὺς ἔτι τῆς συνωμοσίας ἐν ἀγορᾷ συνεστῶτας ἀθρόους, καὶ τὴν μὲν πρᾶξιν ἀγνοοῦντας, τὴν δὲ νύκτα προσμένοντας, ὡς ἔτι ζώντων τῶν ἀνδρῶν καὶ δυναμένων ἐξαρπασθῆναι, φθεγξάμενος μέγα πρὸς αὐτοὺς, „Ἔζησαν," εἶπεν. Οὗτοι δὲ Ῥωμαίων οἱ δυσφημεῖν μὴ βουλόμενοι τὸ τετυχέναι σημαίνουσιν. Ἦν δ' ἡ ἑσπέρα, καὶ δι' ἀγορᾶς κατέβαινεν εἰς τὴν οἰκίαν, οὐκ ἄτιμος τῶν πολιτῶν, οὐδὲ τάξει προπεμπόντων αὐτὸν, ἀλλὰ φωνῇς καὶ κρότοις δεχομένων, καθ' οὓς γένοιτο, σωτῆρα καὶ κτίστην ἀνακαλούντων τῆς πατρίδος. Τὰ δὲ φῶτα πολλὰ κατέλαμπε τοὺς στενωπούς, λαμπάδια καὶ δᾷδας ἱστάντων ἐπὶ ταῖς θύραις. Αἱ δὲ γυναῖκες ἐκ τῶν τεγῶν προὐφαίνουν ἐπὶ τιμῇ καὶ θέᾳ τοῦ ἀνδρὸς ὑπὸ πομπῇ τῶν ἱερῶν στεφανίδια καὶ σπονδὰς ἀκούσας· ὧν οἱ πλεῖστα πολὺ

μους τε κατειργασμένοι μεγάλους, καὶ διὰ θριάμβων εἰσεληλακότες, καὶ προσκεκτημένοι γῆν καὶ θάλατταν οὐκ ὀλίγην, ἐβάδιζον ἀνομολογούμενοι πρὸς ἀλλήλους, πολλοῖς μὲν τῶν τότε ἡγεμόνων καὶ στρατηγῶν πλούτου καὶ λαφύρων καὶ δυνάμεως χάριν ὀφείλειν τὸν Ῥωμαίων δῆμον, ἀσφαλείας δὲ καὶ σωτηρίας ἑνὶ μόνῳ Κικέρωνι, σηλικοῦτον ὀφείλοντι καὶ τοσοῦτον αὐτοῦ κίνδυνον. Οὐ γὰρ τὸ κωλῦσαι τὰ πραττόμενα, καὶ κολάσαι τοὺς πράττοντας, ἐδόκει θαυμαστόν
872 ἀλλ' ὅτι μέγιστον τῶν πώποτε νεωτερισμῶν οὗτος ἐλαχίστοις κακοῖς ἄνευ στάσεως καὶ ταραχῆς κατέσβεσε. Καὶ γὰρ τὸν Κατιλίναν οἱ πλεῖστοι τῶν συνεῤῥυηκότων πρὸς αὐτὸν, ἅμα τῷ πυθέσθαι τὰ περὶ Λέντλον καὶ Κέθηγον, ἐγκαταλιπόντες ᾤχοντο· καὶ μετὰ τῶν συμμεμενηκότων αὐτῷ διαγωνισάμενος πρὸς Ἀντώνιον, αὐτός τε διεφθάρη καὶ τὸ στρατόπεδον.

XXIII. Οὐ μὴν ἀλλ' ἦσαν οἱ τὸν Κικέρωνα παρεσκευασμένοι καὶ λέγειν ἐπὶ τούτοις καὶ ποιεῖν κακῶς, ἔχοντες ἡγεμόνας τῶν εἰς τὸ μέλλον ἀρχόντων, Καίσαρα μὲν στρατηγοῦντα, Μέτελλον δὲ καὶ Βηστίαν δημαρχοῦντας. Οἳ τὴν ἀρχὴν παραλαβόντες, ἔτι τοῦ Κικέρωνος ἡμέρας ὀλίγας ἄρχοντος, οὐκ εἴων δημηγορεῖν αὐτὸν, ἀλλ' ὑπὲρ τῶν ἐμβόλων βάθρα θέντες, οὐ παρίεσαν, οὐδ' ἐπέτρεπον λέγειν· ἀλλ' ἐκέλευον, εἰ βούλοιτο, μόνον περὶ τῆς ἀρχῆς ἀπομόσασθαι καὶ κατοβαίνειν. Κικέρων ἐπὶ τούτοις, ὡς ὀμόσων, προῆλθε· καὶ γενομένης αὐτῷ σιωπῆς, ὤμνυεν οὐ κακὸν πάτριον, ἀλλ' ἴδιόν τινα καὶ καινὸν ὅρκον, ἢ μὴν σεσωκέναι τὴν πατρίδα, καὶ διατετηρηκέναι τὴν ἡγεμονίαν. Ἐπώμνυε δὲ τὸν ὅρκον αὐτῷ σύμπας ὁ δῆμος. Ἔφ' οἷς ἔτι μᾶλλον ὁ τε Καῖσαρ, οἵ τε δημαρχοι χαλεπαίνοντες, ἄλλας τε τῷ Κικέρωνι ταραχὰς ἐμηχανῶντο, καὶ νόμος ὑπ' αὐτῶν εἰσήγετο, κωλύων Πομπήϊον μετὰ τῆς στρατιᾶς, ὡς δὴ καταλύσοντα τὴν Κικέρωνος δυναστείαν. Ἀλλ' ἦν ὄφελος μέγα τῷ Κικέρωνι καὶ πάσῃ τῇ πόλει δημάρχων τότε Κάτων, καὶ τοῖς ἐπείκουν

πολιτεύμασιν ἀπ' ἴσης μὲν ἐξουσίας, μείζονος δὲ δόξης ἀντιτασσόμενος. Τά τε γὰρ ἄλλα ῥᾳδίως ἔλυσε, καὶ τὴν Κικέρωνος ὑπατείαν οὕτως ἦρε τῷ λόγῳ μεγάλην δημηγορήσας, ὥστε τιμὰς αὐτῷ τῶν πώποτε μεγίστας ψηφίσασθαι, καὶ προσαγορεῦσαι πατέρα πατρίδος. Πρώτῳ γὰρ ἐκείνῳ δοκεῖ τοῦτο καθυπάρξαι, Κάτωνος αὐτὸν οὕτως ἐν τῷ δήμῳ προσαγορεύσαντος.

XXIV. Καὶ μέγιστον μὲν ἴσχυσεν ἐν τῇ πόλει τότε, πολλοῖς δ' ἐπίφθονον ἑαυτὸν ἐποίησεν, ἀπ' οὐδενὸς ἔργου πονηροῦ, τῷ δ' ἐπαινεῖν ἀεὶ καὶ μεγαλύνειν αὐτὸς ἑαυτὸν ὑπὸ πολλῶν δυσχεραινόμενος. Οὔτε γὰρ βουλὴν, οὔτε δῆμον, οὔτε δικαστήριον ἦν συνελθεῖν, ἐν ᾧ μὴ Κατιλίναν ἔδει θρυλλούμενον ἀκοῦσαι καὶ Λέντλον. Ἀλλὰ καὶ τὰ βιβλία τελευτῶν κατέπλησε καὶ τὰ συγγράμματα τῶν ἐγκωμίων· καὶ τὸν λόγον, ἥδιστον ὄντα, καὶ χάριν ἔχοντα πλείστην, ἐπαχθῆ καὶ φορτικὸν ἐποίησε τοῖς ἀκροωμένοις, ὥσπερ τινὸς ἀεὶ κηροῦ αὐτῷ τῆς ἀηδίας ταύτης προσούσης. Ὅμως δὲ, καίπερ οὕτως ἀκράτῳ φιλοτιμίᾳ συνών, ἀπῆλλακτο τοῦ φθονεῖν ἑτέροις, ἀφθονώτατος ὢν ἐν τῷ τοὺς πρὸ αὐτοῦ καὶ τοὺς καθ' αὑτὸν ἄνδρας ἐγκωμιάζειν, ὡς ἐκ τῶν συγγραμμάτων λαβεῖν ἔστι. Πολλὰ δ' αὐτοῦ καὶ ἀπομνημονεύουσιν· οἷον περὶ Ἀριστοτέλους, ὅτι χρυσίου ποταμὸς εἴη φέοντος· καὶ περὶ τῶν Πλάτωνος διαλόγων, ὡς τοῦ Διὸς, εἰ λόγῳ χρῆσθαι πέφυκε, οὕτω διαλεγομένου. Τὸν δὲ Θεόφραστον εἰώθει τρυφὴν ἰδίαν ἀποκαλεῖν. Περὶ δὲ τῶν Δημοσθένους λόγων ἐρωτηθεὶς, τίνα δοκοίη ἀλλιστον εἶναι, τὸν μήκιστον εἶπε. Καίτοι τινὲς τῶν προσποιουμένων δημοσθενίζειν ἐπιφέρονται φωνῇ τοῦ Κικέρωνος, ἣν πρός τινα τῶν ἑταίρων ἔθηκεν ἐν ἐπιστολῇ γράψας, ἐνισχυῶν τῶν λόγων ἀποστάζειν τὸν Δημοσθένην· ὧν δὲ μεγάλων καὶ θαυμαστῶν ἐπαίνων, οἷς πολλαχοῦ χρῆται περὶ τοῦ ἀνδρὸς, καὶ ὅτι, περὶ οὓς μάλιστα τῶν ἰδίων ἐσπούδασε λόγων, τούτοις καὶ Ἀντωνίου Φιλιππι-

καὶ ἐπέγραψεν, ἀμνημονοῦσι. Τῶν δὲ κατ' αὐτὸν ἐνδόξων ἀπὸ λόγου καὶ σοφίας οὐκ ἔστιν οὐδείς, ὃν οὐκ ἔποιησεν ἐνδοξότερον, ἢ λέγων, ἢ γράφων
873 εὐμενῶς περὶ ἑκάστου. Κρατίππῳ δὲ, τῷ Περιπατητικῷ, διεπράξατο μὲν Ῥωμαίῳ γενέσθαι παρὰ Καίσαρος ἄρχοντος ἤδη· διεπράξατο δὲ τὴν ἐξ Ἀρείου πάγου βουλὴν ψηφίσασθαι καὶ δεηθῆναι μένειν αὐτὸν ἐν Ἀθήναις, καὶ διαλέγεσθαι τοῖς νέοις, ὡς πουμοῦντα τὴν πόλιν. Ἐπιστολαὶ δὲ παρὰ τοῦ Κικέρωνος εἰσὶ πρὸς Ἡρώδην, ἕτεραι δὲ πρὸς τὸν υἱὸν, ἐγκελευομένου συμφιλοσοφεῖν Κρατίππῳ. Γοργίαν δὲ, τὸν ῥήτορα, αἰτιωμένος εἰς ἡδονὰς καὶ πότους προάγειν τὸ μειράκιον, ἀπελαύνει τῆς συνουσίας αὐτοῦ. Καὶ σχεδὸν αὕτη τε τῶν Ἑλληνικῶν μία, καὶ δευτέρα πρὸς Πίλοπα, τὸν Βυζάντιον, ἐν ὀργῇ τινι γέγραπται, τὸν μὲν Γοργίαν αὐτοῦ προσηκόντως ἐπισκώπτοντος, εἴπερ ἦν φαῦλος καὶ ἀκόλαστος, ἥπερ ἐδόκει πρὸς δὲ τὸν Πίλοπα μικρολογουμένου καὶ μεμψιμοιροῦντος, ὥσπερ ἀμελήσαντα τιμάς τινας αὐτῷ καὶ ψηφίσματα παρὰ Βυζαντίων γενέσθαι.

XXV. Ταῦτά τε δὴ φιλότιμα, καὶ τὸ πολλάκις ἐκαιρόμενον τοῦ λόγου τῇ δεινότητι τὸ πρέπον προΐεσθαι. Μουνατίῳ μὲν γάρ ποτε συνηγορήσας, ὡς ἀποφυγὼν τὴν δίκην ἐκεῖνος ἐδίωκεν ἕταῖρον αὐτοῦ, Σαβῖνον, οὕτω λέγεται προσπεσεῖν ὑπ' ὀργῆς ὁ Κικέρων, ὥστ' εἰπεῖν „Σὺ γὰρ ἐκείνην, ὦ Μουνάτιε, τὴν δίκην ἀπέφυγες διὰ σαυτὸν, οὐκ ἐμοῦ πολὺ σκότος ἐν φωτὶ τῷ δικαστηρίῳ περιχέαντος;“ Μάρκον δὲ Κράσσον ἐγκωμιάζων ἀπὸ τοῦ βήματος ἐνημέρησε, καὶ μεθ' ἡμέρας αὖθις ὀλίγας λοιδορῶν αὐτὸν, ὡς ἐκεῖνος εἶπεν „Οὐ γὰρ ἐνταῦθα πρώην αὐτὸς ἡμῶς ἐπῄνεις;“ „Ναὶ,“ φησὶ, „μελέτης ἕνεκεν γυμνάζων τὸν λόγον εἰς φαύλην ὑπόθεσιν.“ Κἀπόντος γέ ποτε τοῦ Κράσσου, μηθένα Κράσσων ἐν Ῥώμῃ βεβιωκέναι μακρότερον ἐξηκονταετίας, εἶθ' ὕστερον ἀρνουμένου, καὶ λέγοντος· „Τί δ' ἂν ἐγὼ παθὼν τοῦτ' εἶπον;“ „Ἥδεις,“ ἔφη, „Ῥω-

μαίους ἡδέως ἀκουσομένους, καὶ διὰ ταῦτ' ἐδημαγώγεις. Ἀρέσκεσθαι δὲ τοῦ Κράσσου τοῖς Στωϊκοῖς φήσαντος, ὅτι πλούσιον εἶναι τὸν ἀγαθὸν ἀποφαίνουσιν, „Ὅρα, μὴ μᾶλλον," εἶπεν, „ὅτι πάντα τοῦ σοφοῦ λέγουσιν εἶναι;" Διεβάλλετο δ' εἰς φιλαργυρίαν ὁ Κράσσος. Ἐπεὶ δὲ τοῦ Κράσσου τῶν παίδων ὁ ἕτερος, Ἄξιός τινι δοκῶν ὅμοιος εἶναι, καὶ διὰ τοῦτο τῇ μητρὶ προσφερόμενος αἰσχρὰν ἐπὶ τῷ Ἄξιῳ διαβολὴν, εὐδοκίμησε λόγον ἐν βουλῇ διελθών, ἐρωτηθεὶς ὁ Κικέρων, τί φαίνεται αὐτῷ· „Ἄξιος," εἶπε, „Κράσσου."

XXVI. Μέλλων δὲ Κράσσος εἰς Συρίαν ἀπαίρειν, ἐβούλετο τὸν Κικέρωνα μᾶλλον αὐτῷ φίλον, ἢ ἐχθρὸν, εἶναι· καὶ φιλοφρονούμενος ἔφη, βούλεσθαι δειπνῆσαι παρ' αὐτῷ· κἀκεῖνος ὑπεδέξατο προθύμως. Ὀλίγαις δ' ὕστερον ἡμέραις περὶ Βατινίου φίλων τινῶν ἐντυγχανόντων, ὡς μνωμένου διαλύσεις καὶ φιλίαν· ἦν γὰρ ἐχθρός· „Οὐ δῆπου καὶ Βατίνιος," εἶπε, „δειπνῆσαι παρ' ἐμοὶ βούλεται;" Πρὸς μὲν οὖν Κράσσον τοιοῦτος. Αὐτὸν δὲ τὸν Βατίνιον, ἔχοντα χοιράδας ἐν τῷ τραχήλῳ, καὶ λίγοντα δίκην, οἰδοῦντα ῥήτορα προσεῖπεν. Ἀκούσας δ', ὅτι τέθνηκεν, εἶτα μετὰ μικρὸν πυθόμενος σαφῶς, ὅτι ζῇ· „Κακὸς τοίνυν ἀπόλοιτο κακῶς ὁ ψευσάμενος." Ἐπεὶ δὲ Καίσαρι ψηφισαμένῳ τὴν ἐν Καμπανίᾳ χώραν κατανεμηθῆναι τοῖς στρατιώταις, πολλοὶ μὲν ἐδυσχέραινον ἐν τῇ βουλῇ· Λεύκιος δὲ Γέλλιος, ὁμοῦ τι πρεσβύτατος ὢν, εἶπεν, ὡς οὐ γενήσεται τοῦτο, ζώντος αὐτοῦ· „Περιμείνωμεν," εἶπεν ὁ Κικέρων· „μακρὰν γὰρ οὐκ αἰτεῖται Γέλλιος ὑπέρθεσιν." Ἦν δέ τις Ὀκταούϊος, αἰτίαν ἔχων ἐκ Λιβύης γεγονέναι πρὸς τοῦτον ἤ τινι δίκῃ λέγοντα τοῦ Κικέρωνος μὴ ἀκούειν· „Καὶ μὴν οὐκ ἔχεις," εἶπε, „τὸ οὖς ἀρύπητον." Μετέλλου δὲ Νέπωτος εἰπόντος, ὅτι πλείονας καταμαρτυρῶν ἀνήρηκεν, ἢ συνηγορῶν σέσωκεν· „Ὁμολογῶ γὰρ," ἔφη, „πίστεως ἐκ ἐμοὶ πλέον, ἢ δεινότητος, εἶναι." Νεανίσκου δέ τινος, αἰτίαν ἔχον-

τος ἐν πλακοῦντι φάρμακον τῷ πατρὶ δεδωκέναι,
874 θρασυνομένου, καὶ λέγοντος, ὅτι λοιδορήσει τὸν Κικέρωνα· „Τοῦτο," ἔφη, „παρὰ σοῦ βούλομαι μᾶλλον, ἢ πλακοῦντα." Ποπλίου δὲ Σηστίου συνήγορον μὲν αὐτὸν ἔν τινι δίκῃ παραλαβόντος μεθ' ἑτέρων, αὐτοῦ δὲ πάντα βουλομένου λέγειν, καὶ μηδενὶ παριέντος εἰπεῖν, ὡς δῆλος ἦν ἀφιέμενος ὑπὸ τῶν δικαστῶν, ἤδη τῆς ψήφου φερομένης· „Χρῶ σήμερον," ἔφη, „τῷ καιρῷ, Σήστιε· μέλλεις γὰρ αὔριον ἰδιώτης εἶναι." Ποπλιον δὲ Κώνσταν, νομικὸν εἶναι βουλόμενον, ὄντα δ' ἀμαθῆ καὶ ἀφυῆ, πρός τινα δίκην ἐκάλεσε μάρτυρα. Τοῦ δὲ μηδὲν εἰδέναι φάσκοντος· „Ἴσως," ἔφη, „δοκεῖς περὶ τῶν νομικῶν ἐρωτᾶσθαι." Μετέλλου δὲ Νέπωτος ἐν διαφορᾷ τινι πολλάκις λέγοντος· „Τίς σοῦ πατήρ ἐστιν, ὦ Κικέρων;" „Σοὶ ταύτην τὴν ἀπόκρισιν," ἔφη, „ἡ μήτηρ χαλεπωτέραν ἐποίησεν." Ἐδόκει δ' ἀκόλαστος ἡ μήτηρ εἶναι τοῦ Νέπωτος, αὐτὸς δέ τις εὐμετάβολος. Καί ποτε τὴν δημαρχίαν ἀπολιπὼν ἄφνω, πρὸς Πομπήϊον ἐξέπλευσεν εἰς Συρίαν, εἶτ' ἐκεῖθεν ἐπανῆλθεν ἀλογώτερον. Θάψας δὲ Φίλαγρον, τὸν καθηγητὴν, ἐπιμελέστερον, ἐπέστησεν αὐτοῦ τῷ τάφῳ κόρακα λίθινον. Καὶ ὁ Κικέρων· „Τοῦτ'," ἔφη, „σοφώτερον ἐποίησας· πέτεσθαι γάρ σε μᾶλλον, ἢ λέγειν, ἐδίδαξεν." Ἐπεὶ δὲ Μάρκος Ἄππιος ἔν τινι δίκῃ προοιμιαζόμενος εἶπε, φίλον αὐτοῦ δεδεῆσθαι παρασχεῖν ἐπιμέλειαν καὶ λογιότητα καὶ πίστιν· „Εἶθ' οὕτως," ἔφη, „σιδηροῦς γέγονας ἄνθρωπος, ὥστε μηδὲν ἐκ τοσούτων, ὧν ᾐτήσατο ὁ φίλος, παρασχεῖν;"

XXVII. Τὸ μὲν οὖν πρὸς ἐχθροὺς ἢ ἀντιδίκους σκώμμασι χρῆσθαι πικροτέροις, δοκεῖ ῥητορικὸν εἶναι· τὸ δ' οἷς ἔτυχε προσκρούειν ἕνεκα τοῦ γελοίου, πολὺ συνῆγε μῖσος αὐτῷ. Γράψω δὲ καὶ τούτων ὀλίγα. Μάρκον Ἀκυΐνιον, ἔχοντα δύο γαμβροὺς φυγάδας, Ἄδραστον ἐκάλει. Λευκίου δὲ Κόττα τιμητικὴν ἔχοντος ἀρχὴν, φιλοινοτάτου δ' ὄντος, ὑπατείαν μετιὼν ὁ Κικέρων ἐδίψησε, καὶ

τῶν φίλων κύκλῳ περιστάντων, ὡς ἔπινεν· „Ὀρθῶς φοβεῖσθε," εἶπε, „μή μοι γένοιτο χαλεπὸς ὁ τιμητὴς, ὅτι ὕδωρ πίνω." Βωκωνίῳ δ' ἀπαντήσας, ἄγοντι μεθ' ἑαυτοῦ τρεῖς ἀμορφοτάτας θυγατέρας, ἀνεφθέγξατο·

„Φοίβου ποτ' οὐκ ἐῶντος ἔσπειρεν τέκνα."

Μάρκου δὲ Γελλίου δοκοῦντος οὐκ ἐξ ἐλευθέρων γεγονέναι, λαμπρᾷ δὲ τῇ φωνῇ καὶ μεγάλῃ γράμματα πρὸς τὴν σύγκλητον ἐξαναγνόντος· „Μὴ θαυμάζετε," εἶπε, „καὶ αὐτὸς εἷς ἐστι τῶν ἀναπεφωνηκότων." Ἐπεὶ δὲ Φαῦστος ὁ Σύλλα, τοῦ μοναρχήσαντος ἐν Ῥώμῃ, καὶ πολλοὺς ἐπὶ θανάτῳ προγράψαντος, ἐν δανείοις γενόμενος, καὶ πολλὰ τῆς οὐσίας διασπαθήσας, ἀπαρτίαν προέγραψε, ταύτην ἔφη μᾶλλον αὐτῷ τὴν προγραφὴν ἀρέσκειν, ἢ τὴν πατρῴαν.

XXVIII. Ἐκ τούτων ἐγένετο πολλοῖς ἐπαχθής· καὶ οἱ μετὰ Κλωδίου συνέστησαν ἐπ' αὐτὸν, ἀρχὴν τοιαύτην λαβόντες. Ἦν Κλώδιος ἀνὴρ εὐγενὴς, τῇ μὲν ἡλικίᾳ νέος, τῷ δὲ φρονήματι θρασὺς καὶ αὐθάδης. Οὗτος ἐρῶν Πομπηΐας, τῆς Καίσαρος γυναικὸς, εἰς τὴν οἰκίαν αὐτοῦ παρεισῆλθε κρύφα, λαβὼν ἐσθῆτα καὶ σκευὴν ψαλτρίας· ἔθυον γὰρ αἱ γυναῖκες τὴν ἀπόῤῥητον ἐκείνην καὶ ἀθέατον ἀνδράσι θυσίαν ἐκ τῇ τοῦ Καίσαρος οἰκίᾳ, καὶ παρῆν ἀνὴρ οὐδείς· ἀλλὰ μειράκιον ὢν ἔτι καὶ μήπω γενειῶν ὁ Κλώδιος, ἤλπιζε λήσεσθαι διαδὺς πρὸς τὴν Πομπηΐαν μετὰ τῶν γυναικῶν. Ὡς δ' εἰσῆλθε νυκτὸς εἰς οἰκίαν μεγάλην, ἠπορεῖτο τῶν διόδων· καὶ πλανώμενον αὐτὸν ἰδοῦσα Αὐρηλίας θεραπαινὶς, τῆς Καίσαρος μητρὸς, ᾔτησεν ὄνομα. Φθέγξασθαι δ' ἀναγκασθέντος ἐκείνου, καὶ φήσαντος, ἀκόλουθον Πομπηΐας ζητεῖν, Ἄβραν τοὔνομα, συνεῖσα τὴν φωνὴν οὐ γυναικείαν οὖσαν, ἀνέκραγε καὶ συνεκάλει τὰς γυναῖκας. Αἱ δ' ἀποκλείσασαι τὰς θύρας, καὶ πάντα διερευνώμεναι, λαμβάνουσι τὸν Κλώδιον εἰς οἴκημα παιδίσκης, ᾗ συνεισῆλθε, καταπεφευγότα. Τοῦ δὲ πράγματος περιβοήτου γενο-

875 μένου, Καῖσάρ τε τὴν Πομπηΐαν ἀφῆκε, καὶ δίκην ἀσεβείας ἀπεγράψατο τῷ Κλωδίῳ.

XXIX. Κικέρων δ' ἦν μὲν αὐτοῦ φίλος, καὶ τῶν περὶ Κατιλίναν πραττομένων ἐχρῆτο προθυμοτάτῳ συνεργῷ καὶ φύλακι τοῦ σώματος· ἰσχυριζομένου δὲ πρὸς τὸ ἔγκλημα, τῷ μηδὲ γεγονέναι κατ' ἐκεῖνον ἐν Ῥώμῃ τὸν χρόνον, ἀλλ' ἐν τοῖς πορρωτάτω χωρίοις διατρίβειν, κατεμαρτύρησεν, ὡς ἀφιγμένου πρὸς αὐτὸν οἴκαδε, καὶ διειλεγμένου περί τινων· ὅπερ ἦν ἀληθές. Οὐ μὴν ἐδόκει μαρτυρεῖν ὁ Κικέρων διὰ τὴν ἀλήθειαν, ἀλλὰ πρὸς τὴν αὐτοῦ γυναῖκα, Τερεντίαν, ἀπολογούμενος. Ἦν γὰρ αὐτῇ πρὸς τὸν Κλώδιον ἀπέχθεια διὰ τὴν ἀδελφὴν τὴν ἐκείνου, Κλωδίαν, ὡς τῷ Κικέρωνι βουλομένην γαμηθῆναι, καὶ τοῦτο διὰ Τύλλου τινὸς πράττουσαν, ὃς ἑταῖρος μὲν ἦν καὶ συνήθης ἐν τοῖς μάλιστα Κικέρωνος, ἀεὶ δὲ πρὸς τὴν Κλωδίαν φοιτῶν, καὶ θεραπεύων ἐγγὺς οἰκοῦσαν, ὑποψίαν τῇ Τερεντίᾳ παρέσχε. Χαλεπὴ δὲ τὸν τρόπον οὖσα, καὶ τοῦ Κικέρωνος ἄρχουσα, παρῴξυνε τῷ Κλωδίῳ συνεπιθέσθαι καὶ καταμαρτυρῆσαι. Κατεμαρτύρουν δὲ τοῦ Κλωδίου πολλοὶ τῶν καλῶν κἀγαθῶν ἀνδρῶν ἐπιορκίας, ῥᾳδιουργίας, ὄχλων δεκασμούς, φθορὰς γυναικῶν. Λεύκουλλος δὲ καὶ Θεραπαινίδας παρεῖχεν, ὡς συγγένοιτο τῇ νεωτάτῃ τῶν ἀδελφῶν ὁ Κλώδιος, ὅτε Λευκούλλῳ συνῴκει. Πολλὴ δ' ἦν δόξα καὶ ταῖς ἄλλαις δυσὶν ἀδελφαῖς πλησιάζειν τὸν Κλώδιον, ὧν Τερεντίαν μὲν Μάρκιος Ῥῆξ, Κλωδίαν δὲ Μέτελλος ὁ Κέλερ εἶχεν· ἦν Κουαδραντίαν ἐκάλουν, ὅτι τῶν ἐραστῶν τις αὐτῇ χαλκοῦς ἐμβαλὼν εἰς βαλάντιον, ὡς ἀργύριον εἰσέπεμψε· τὸ δὲ λεπτότατον τοῦ χαλκοῦ νομίσματος κουαδράντην ἐκάλουν. Ἐπὶ ταύτῃ μάλιστα τῶν ἀδελφῶν κακῶς ἤκουσεν ὁ Κλώδιος. Οὐ μὴν ἀλλὰ τότε τοῦ δήμου πρὸς τοὺς καταμαρτυροῦντας αὐτοῦ καὶ συνεστῶτας ἀντιπαττομένου, φοβηθέντες οἱ δικασταὶ φυλακὴν περιεστήσαντο, καὶ τὰς δέλτους οἱ πλεῖστοι συγκεχυμένας τοῖς γράμμασιν ἤνεγκαν.

"Ομως δὲ πλείονες ἔδοξαν οἱ ἀπολύοντες γενέσθαι καὶ τις ἐλέχθη καὶ δεσμὸς διελθεῖν. Ὅθεν ὁ μὲν Κάτλος ἀπαντήσας τοῖς κριταῖς „Ὑμεῖς," εἶπεν, „ὡς ἀληθῶς ὑπὲρ ἀσφαλείας ἠτήσασθε τὴν φυλακήν, φοβούμενοι, μή τις ὑμῶν ἀφέληται τὸ ἀργύριον." Κικέρων δὲ, τοῦ Κλωδίου πρὸς αὐτὸν λέγοντος, ὅτι μαρτυρῶν οὐκ ἔσχε πίστιν παρὰ τοῖς δικασταῖς „Ἀλλ' ἐμοὶ μὲν," εἶπεν, „οἱ πέντε καὶ εἴκοσι τῶν δικαστῶν ἐπίστευσαν τοσοῦτοι γὰρ σου κατεψηφίσαντο· σοὶ δὲ τριάκοντα οὐκ ἐπίστευσαν· οὐ γὰρ πρότερον ἀπέλυσαν ἢ ἔλαβον τὸ ἀργύριον." Ὁ μέντοι Καῖσαρ οὐ κατεμαρτύρησε πληθεὶς ἐπὶ τὸν Κλώδιον, οὐδ' ἔφη μοιχείαν κατεγνωκέναι τῆς γυναικὸς ἀφεικέναι δ' αὐτὴν, ὅτι τὸν Καίσαρος ἔδει γάμον οὐ πράξεως αἰσχρᾶς μόνον, ἀλλὰ καὶ φήμης καθαρὸν εἶναι.

XXX. Διαφυγὼν δὲ τὸν κίνδυνον ὁ Κλώδιος, καὶ δήμαρχος αἱρεθεὶς, εὐθὺς εἶχετο τοῦ Κικέρωνος, πάντ' ὀμοῦ πράγματα καὶ πάντας ἀνθρώπους συνάγων καὶ ταράττων ἐπ' αὐτόν. Τόν τε γὰρ δῆμον ᾠκειώσατο νόμοις φιλανθρώποις, καὶ τῶν ὑπάτων ἑκατέρῳ μεγάλας ἐπαρχίας ἐψηφίσατο, Πείσωνι μὲν Μακεδονίαν, Γαβινίῳ δὲ Συρίαν· πολλοὺς δὲ τῶν ἀπόρων συνέτασσεν εἰς τὸ πολίτευμα, καὶ δούλους ὡπλισμένους περὶ αὑτὸν εἶχε. Τῶν δὲ πλεῖστον δυναμένων τότε τριῶν ἀνδρῶν, Κράσσου μὲν ἀντικρυς Κικέρωνι πολεμοῦντος, Πομπηίου δὲ θρυπτομένου πρὸς ἀμφοτέρους, Καίσαρος δὲ μέλλοντος εἰς Γαλατίαν ἐξιέναι μετὰ στρατεύματος, ὑπὸ τοῦτον ὑποδὺς ὁ Κικέρων, καίπερ οὐκ ὄντα φίλον, ἀλλ' ὕποπτον ἐκ τῶν περὶ Κατιλίναν, ἠξίωσε πρεσ- 876
βευτὴς αὐτῷ συστρατεύειν. Λεξαμένου δὲ τοῦ Καίσαρος, ὁ Κλώδιος ὁρῶν ἐκφεύγοντα τὴν δημαρχίαν αὐτοῦ τὸν Κικέρωνα, προσεποιεῖτο συμβατικῶς ἔχειν, καὶ τῇ Τερεντίᾳ τὴν πλείστην ἀνατιθεὶς αἰτίαν, ἐκείνου δὲ μεμνημένος ἐπιεικῶς ἀεὶ, καὶ λόγους εὐγνώμονας ἐνδιδοὺς, ὡς ἄν τις οὐ μεσῶν, οὐδὲ χαλεπαίνων, ἀλλ' ἐγκαλῶν μέτρια καὶ

φιλικὰ, παντάπασιν αὐτοῦ τὸν φόβον ἀφεῖναι ὥστε ἀπειπεῖν τῷ Καίσαρι τὴν πρεσβείαν, καὶ πάλιν ἔχεσθαι τῆς πολιτείας. Ἐφ᾽ ᾧ παροξυνθεὶς ὁ Καῖσαρ, τόν τε Κλώδιον ἐπέρρωσε, καὶ Πομπήϊον ἀπέστρεψε κομιδῇ τοῦ Κικέρωνος· αὐτός τε κατεμαρτύρησεν ἐν τῷ δήμῳ, μὴ δοκεῖν αὐτῷ καλῶς μηδὲ νομίμως ἄνδρας ἀκρίτους ἀνῃρῆσθαι τοὺς περὶ Λέντλον καὶ Κέθηγον. Αὕτη γὰρ ἦν ἡ κατηγορία, καὶ ἐπὶ τοῦθ᾽ ὁ Κικέρων ἐκαλεῖτο. Κινδυνεύων οὖν καὶ διωκόμενος, ἐσθῆτα μετήλλαξε, καὶ κόμης ἀνάπλεως περιῄων ἱκέτευε τὸν δῆμον. Πανταχοῦ δ᾽ ὁ Κλώδιος ἀπήντα κατὰ τοὺς στενωπούς, ἀνθρώπους ἔχων ὑβριστὰς περὶ αὑτὸν καὶ θρασεῖς, οἳ πολλὰ μὲν χλευάζοντες ἀπολαστως εἰς τὴν μεταβολὴν καὶ τὸ ἀχθος τοῦ Κικέρωνος, πολλαχοῦ δὲ πηλῷ καὶ λίθοις βάλλοντες, ἐνίσταντο ταῖς ἱκεσίαις.

XXXI. Οὐ μὴν ἀλλὰ τῷ Κικέρωνι πρῶτον μὲν ὀλίγου δεῖν σύμπαν τὸ τῶν ἱππικῶν πλῆθος συμμετέβαλε τὴν ἐσθῆτα, καὶ δισμυρίων οὐκ ἐλάττους νέων παρηκολούθουν κομῶντες καὶ συνικετεύοντες. Ἔπειτα, τῆς βουλῆς συνελθούσης, ὅπως ψηφίσαιτο, τὸν δῆμον, ὡς ἐπὶ πένθεσι, μεταβαλεῖν τὰ ἱμάτια, καὶ τῶν ὑπάτων ἐναντιωθέντων, Κλωδίου δὲ διαπραττομένου περὶ τὸ βουλευτήριον, ἐξέδραμον οὐκ ὀλίγοι τῶν βουλευτικῶν καταῤῥηγνύμενοι τοὺς χιτῶνας, καὶ βοῶντες. Ὡς δ᾽ οὖν οὔτ᾽ οἴκτος, οὔτε τις αἰδὼς πρὸς τὴν ὄψιν ἦν, ἀλλ᾽ ἔδει τὸν Κικέρωνα φεύγειν, ἡ βία καὶ σιδηρᾳ κριθῆναι πρὸς τὸν Κλώδιον, ἐδεῖτο Πομπηΐου βοηθεῖν, ἐπίτηδες ἐκποδὼν γεγονότος, καὶ διατρίβοντος ἐν ἀγροῖς περὶ τὰν Ἄλβανον. Καὶ πρῶτον μὲν ἔπεμψε Πείσωνα, τὸν γαμβρὸν, δεησόμενον· ἔπειτα καὶ αὐτὸς ἀνέβη. Πυθομένοις δ᾽ ὁ Πομπηΐος, οὐχ ὑπέμενεν εἰς ὄψιν ἐλθεῖν· δεινὴ γὰρ αὐτὸν αἰδὼς εἶχε πρὸς τὸν ἄνδρα, μεγάλους ἠγωνισμένον ἀγῶνας ὑπὲρ αὐτοῦ, καὶ πολλὰ πρὸς χάριν ἐκείνῳ πεπολιτευμένον· ἀλλὰ Καίσαρι γαμβρὸς ὢν δεομένῳ προῦδωκε τὰς παλαιὰς χάριτας, καὶ κατὰ θύρας

ἄλλας ὑπεξελθὼν, ἀπεδίδρασκε τὴν ἔντευξιν. Οὕτω δὴ προδοθεὶς ὁ Κικέρων ὑπ' αὐτοῦ, καὶ γεγονὼς ἔρημος, ἐπὶ τοὺς ὑπάτους κατέφυγε. Καὶ Γαβίνιος μὲν ἦν χαλεπὸς ἀεί· Πείσων δὲ διελέχθη πρᾳότερον, αὐτὸν παραινῶν ἐκστῆναι, καὶ ὑποχωρῆσαι τῇ τοῦ Κλωδίου ῥύμῃ, καὶ τὴν μεταβολὴν τῶν καιρῶν ἐνεγκεῖν, καὶ γενέσθαι πάλιν σωτῆρα τῆς πατρίδος ἐν στάσεσι καὶ κακοῖς δι' ἐκεῖνον οὔσης. Τοιαύτης τυχὼν ἀποκρίσεως ὁ Κικέρων, ἐβουλεύετο σὺν τοῖς φίλοις· καὶ Λεύκουλλος μὲν ἐκέλευε μένειν, ὡς περιεσόμενον, ἄλλοι δὲ φεύγειν, ὡς ταχὺ τοῦ δήμου ποθήσοντος αὐτὸν, ὅταν ἐμπλησθῇ τῆς Κλωδίου μανίας καὶ ἀπονοίας. Ταῦτ' ἔδοξε Κικέρωνι· καὶ τὸ μὲν ἄγαλμα τῆς Ἀθηνᾶς, ὃ πολὺν χρόνον ἔχων ἐπὶ τῆς οἰκίας ἱδρυμένον, ἐτίμα διαφερόντως, εἰς τὸ Καπετώλιον κομίσας ἀνέθηκεν, ἐπιγράψας· Ἀθηνᾷ, Ῥώμης φύλακι· πομποὺς δὲ παρὰ τῶν φίλων λαβὼν, περὶ μέσας νύκτας ὑπεξῆλθε τῆς πόλεως, καὶ πεζῇ διὰ Λευκανίας ἐπορεύετο, λαβέσθαι Σικελίας βουλόμενος.

XXXII. Ὡς δ' ἦν φανερὸς ἤδη πεφευγὼς, ἐπήγαγεν αὐτῷ φυγῆς ψῆφον ὁ Κλώδιος, καὶ διαγραμμα προὔθηκεν, εἴργειν πυρὸς καὶ ὕδατος τὸν ἄνδρα, καὶ μὴ παρέχειν στέγην ἐντὸς μιλίων πεντακοσίων Ἰταλίας. Τοῖς μὲν οὖν ἄλλοις ἐλάχιστος 877
ἦν τοῦ διαγράμματος τούτου λόγος, αἰδουμένοις τὸν Κικέρωνα, καὶ πᾶσαν ἐνδεικνύμενοι φιλοφροσύνην, παρέπεμπον αὐτόν· ἐν δ' Ἱππωνίῳ, πόλει τῆς Λευκανίας, ἣν Οὐιβῶνα νῦν καλοῦσιν, Οὐΐβιος, Σικελὸς ἀνὴρ, ἄλλα τε πολλὰ τῆς Κικέρωνος φιλίας ἀπολελαυκὼς, καὶ γεγονὼς, ὑπατεύοντος αὐτοῦ, τεκτόνων ἔπαρχος, οἰκίᾳ μὲν οὐκ ἐδέξατο, τὸ χωρίον δὲ καταγράψειν ἐπηγγέλλετο, καὶ Γάϊος Οὐεργίλιος, ὁ τῆς Σικελίας στρατηγὸς, ἐν τοῖς μάλιστα Κικέρωνι κεχρημένος, ἔγραψεν ἀπέχεσθαι τῆς Σικελίας. Ἐφ' οἷς ἀθυμήσας, ὥρμησεν ἐπὶ Βρεντέσιον, κἀκεῖθεν εἰς Δυῤῥάχιον ἀνέμῳ φορῷ περαιούμενος,

ἀντιπνεύσαντος πελαγίου, μεθ' ἡμέραν ἐπαλινδρόμησεν, εἶτ' αὖθις ἀνήχθη. Λέγεται δὲ καὶ, καταπλεύσαντος εἰς Λυῤῥάχιον αὐτοῦ, καὶ μέλλοντος ἀποβαίνειν, σεισμόν τε τῆς γῆς καὶ σπασμὸν ἅμα γενέσθαι τῆς θαλάττης. Ἀφ' ὧν συνέβαλλον οἱ μαντικοὶ, μὴ μόνιμον αὐτῷ τὴν φυγὴν ἔσεσθαι· μεταβολῆς γὰρ εἶναι ταῦτα σημεῖα. Πολλῶν δὲ φοιτώντων ἀνδρῶν ὑπ' εὐνοίας, καὶ τῶν Ἑλληνίδων πόλεων διαμιλλωμένων πρὸς αὐτὰς ταῖς πρεσβείαις, ὅμως ἀθυμῶν καὶ περίλυπος διῆγε, τὰ πολλὰ πρὸς τὴν Ἰταλίαν, ὥσπερ οἱ δυσέρωτες, ἀφορῶν, καὶ τῷ φρονήματι μικρὸς ἄγαν καὶ ταπεινὸς ὑπὸ τῆς συμφορᾶς γεγονὼς καὶ συνεσταλμένος, ὡς οὐκ ἄν τις ἄνδρα παιδείᾳ συμβεβιωκότα τοσαύτῃ προσεδόκησε. Καίτοι πολλάκις αὐτὸς ἠξίου τοὺς φίλους μὴ ῥήτορα καλεῖν αὐτὸν, ἀλλὰ φιλόσοφον· φιλοσοφίαν γὰρ, ὡς ἔργον, ῥῆσθαι, ῥητορικῇ δ' ὀργάνῳ χρῆσθαι πολιτευόμενος ἐπὶ τὰς χρείας. Ἀλλ' ἡ δόξα δεινὴ τὸν λόγον, ὥσπερ βαφὴν, ἀποκλύσαι τῆς ψυχῆς, καὶ τὰ τῶν πολλῶν ἐνομόρξασθαι πάθη δι' ὁμιλίαν καὶ συνήθειαν τοῖς πολιτευομένοις, ἂν μή τις εὖ μάλα φυλαττόμενος, οὕτω συμφέρηται τοῖς ἐκτὸς, ὡς τῶν πραγμάτων αὐτῶν, οὐ τῶν ἐπὶ τοῖς πράγμασι παθῶν συμμεθέξων.

XXXIII. Ὁ δὲ Κλώδιος ἐξελάσας τὸν Κικέρωνα, κατέπρησε μὲν αὐτοῦ τὰς ἐπαύλεις, κατέπρησε δὲ τὴν οἰκίαν, καὶ τῷ τόπῳ ναὸν Ἐλευθερίας ἐπῳκοδόμησε· τὴν δ' ἄλλην οὐσίαν ἐπώλει καὶ διεκήρυττε καθ' ἡμέραν, μηδὲν ὠνουμένου μηδενός. Ἐκ δὲ τούτου φοβερὸς ὢν τοῖς ἀριστοκρατικοῖς, καὶ τὸν δῆμον ἀνειμένον εἰς ὕβριν πολλὴν καὶ θρασύτητα συνεφελκόμενος, ἐπεχείρει τῷ Πομπηΐῳ, τῶν διῳκημένων ὑπ' αὐτοῦ κατὰ τὴν στρατείαν ἔνια σπαράττων. Ἐφ' οἷς ὁ Πομπήϊος ἀδοξῶν, ἐκάκιζεν αὐτὸς αὐτὸν, προέμενος τὸν Κικέρωνα· καὶ πάλιν ἐκ μεταβολῆς παντοῖος ἐγίνετο, πράττων κάθοδον αὐτῷ μετὰ τῶν φίλων. Ἐνισταμένου δὲ τοῦ Κλωδίου, συνέδοξε τῇ βουλῇ μηδὲν διὰ μέσου πρᾶγμα κυροῦν, μηδὲ πράτ-

τειν δημόσιον, εἰ μὴ Κικέρωνι κάθοδος γένοιτο. Τῶν δὲ περὶ Λέντλον ὑπατευόντων, καὶ τῆς στάσεως πρόσω βαδιζούσης, ὥστε τρωθῆναι μὲν ἐν ἀγορᾷ δημάρχους, Κόϊντον δὲ, τὸν Κικέρωνος ἀδελφὸν, ἐν τοῖς νεκροῖς ὡς τεθνηκότα κείμενον, διαλαθεῖν, ὅ τε δῆμος ἤρχετο τρέπεσθαι τῇ γνώμῃ, καὶ τῶν δημάρχων Ἄννιος Μίλων πρῶτος ἐτόλμησε τὸν Κλώδιον εἰς δίκην ἀπάγειν βιαίων, καὶ Πομπηΐῳ πολλοὶ συνῆλθον ἔκ τε τοῦ δήμου καὶ τῶν πέριξ πόλεων. Μεθ' ὧν προελθὼν, καὶ τὸν Κλώδιον ἀναστήσας ἐκ τῆς ἀγορᾶς, ἐπὶ τὴν ψῆφον ἐκάλει τοὺς πολίτας. Καὶ λέγεται μηθέποτε μηδὲν ἐκ τοσαύτης ὁμοφροσύνης ἐπιψηφίσασθαι τὸν δῆμον. Ἡ δὲ σύγκλητος ἀμιλλωμένη πρὸς τὸν δῆμον, ἔγραψεν ἐπαινεθῆναι τὰς πόλεις, ὅσαι τὸν Κικέρωνα παρὰ τὴν φυγὴν ἐθεράπευσαν, καὶ τὴν οἰκίαν αὐτῷ καὶ τὰς ἐπαύλεις, ἃς Κλώδιος διεφθάρκει, τέλεσι δημοσίοις ἀνασταθῆναι. Κατῆει δὲ Κικέρων ἐπταιδεκάτῳ μηνὶ μετὰ τὴν 878
φυγὴν· καὶ τοσαύτη τὰς πόλεις χαρὰ, καὶ σπουδὴ τοὺς ἀνθρώπους περὶ τὴν ἀπάντησιν εἶχεν, ὥστε τὸ ῥηθὲν ὑπὸ Κικέρωνος ὕστερον ἐνδεέστερον εἶναι τῆς ἀληθείας. Ἔφη γὰρ, αὐτὸν ἐπὶ τῶν ὤμων τὴν Ἰταλίαν φέρουσαν, εἰς τὴν Ῥώμην εἰσενεγκεῖν. Ὅπου καὶ Κράσσος, ἐχθρὸς ὢν αὐτῷ πρὸ τῆς φυγῆς, τότε προθύμως ἁπάντα καὶ διελύετο, τῷ παιδὶ Ποπλίῳ χαριζόμενος, ὡς ἔλεγε, ζηλωτῇ τοῦ Κικέρωνος ὄντι.

XXXIV. Χρόνον δ' οὐ πολὺν διαλιπὼν, καὶ παραφυλάξας ἀποδημοῦντα τὸν Κλώδιον, ἐπῆλθε μετὰ πολλῶν τῷ Καπετωλίῳ, καὶ τὰς δημαρχικὰς δέλτους, ἐν αἷς ἀναγραφαὶ τῶν διωκημένων ἦσαν, ἀπέκτασε καὶ διέφθειρεν. Ἐγκαλούντος δὲ περὶ τούτου τοῦ Κλωδίου, τοῦ δὲ Κικέρωνος λέγοντος, ὡς παρανόμως ἐκ πατρικίων εἰς δημαρχίαν παρέλθοι, καὶ νύριον οὐδὲν εἶναι τῶν πεπραγμένων ὑπ' αὐτοῦ· Κάτων ἠγανάκτησε καὶ ἀντεῖπε, τὸν μὲν Κλώδιον οὐκ ἐπαινῶν, ἀλλὰ καὶ δυσχεραίνων τοῖς πεπολιτευμένοις, δεινὸν δὲ καὶ βίαιον ἀποφαίνων, ἀναίρεσιν ψηφί-

σασθαι δογμάτων καὶ πράξεων τοσούτων τὴν σύγκλητον ἐν αἷς εἶναι καὶ τὴν ἑαυτοῦ τῶν περὶ Κύπρον καὶ Βυζάντιον διοίκησιν. Ἐκ τούτου προσέκρουσεν ὁ Κικέρων αὐτῷ πρόσκρουσιν εἰς οὐδὲν ἐμφανὲς προελθοῦσαν, ἀλλ' ὥστε τῇ φιλοφροσύνῃ χρῆσθαι πρὸς ἀλλήλους ἀμαυρότερον.

XXXV. Μετὰ ταῦτα Κλώδιον μὲν ἀποκτίννυσι Μίλων καὶ διωκόμενος φόνου, Κικέρωνα παρεστήσατο συνήγορον. Ἡ δὲ βουλὴ, φοβηθεῖσα, μὴ, κινδυνεύοντος ἀνδρὸς ἐνδόξου καὶ θυμοειδοῦς, τοῦ Μίλωνος, ταραχὴ γένηται περὶ τὴν πόλιν, ἐπέτρεψε Πομπηΐῳ ταύτην τε καὶ τὰς ἄλλας κρίσεις βραβεῦσαι, παρέχοντα τῇ πόλει καὶ τοῖς δικαστηρίοις ἀσφάλειαν. Ἐκείνου δὲ τὴν ἀγορὰν ἔτι νυκτὸς ἀπὸ τῶν ἄκρων περιλαβόντος τοῖς στρατιώταις, ὁ Μίλων τὸν Κικέρωνα δείσας, μὴ πρὸς τὴν ὄψιν ἀηθείᾳ διαταραχθεὶς χεῖρον διαγωνίσηται, συνέπεισεν ἐν φορείῳ κομισθέντα πρὸς τὴν ἀγορὰν ἡσυχάζειν, ἄχρις οὗ συνίασιν οἱ κριταὶ, καὶ πληροῦται τὸ δικαστήριον. Ὁ δ' οὐ μόνον ἦν, ὡς ἔοικεν, ἐν ὅπλοις ἀθαρσὴς, ἀλλὰ καὶ τῷ λέγειν μετὰ φόβου προσῄει, καὶ μόλις ἐπαύσατο παλλόμενος καὶ τρέμων ἐπὶ πολλῶν ἀγώνων, ἀκμὴν τοῦ λόγου καὶ στάσιν λαβόντος. Λικιννίῳ δὲ Μουρήνᾳ, φεύγοντι δίκην ὑπὸ Κάτωνος, βοηθῶν, καὶ φιλοτιμούμενος Ὁρτήσιον ὑπερβάλλειν εὐημερήσαντα, μέρος οὐδὲν ἀνεπαύσατο τῆς νυκτὸς, ὡς ὑπὸ τοῦ σφόδρα φροντίσαι καὶ διαγρυπνῆσαι κακωθεὶς, ἔνδεέστερος αὐτοῦ φανῆναι. Τότε δ' οὖν ἐπὶ τὴν τοῦ Μίλωνος δίκην ἐκ τοῦ φορείου προελθὼν, καὶ θεασάμενος τὸν Πομπήϊον ἄνω καθεζόμενον, ὥσπερ ἐν στρατοπέδῳ, καὶ κύκλῳ τὰ ὅπλα περιλάμποντα τὴν ἀγορὰν, συνεχύθη, καὶ μόλις ἐνήρξατο τοῦ λόγου, κραδαινόμενος τὸ σῶμα, καὶ τὴν φωνὴν ἐνισχόμενος, αὐτοῦ τοῦ Μίλωνος εὐθαρσῶς καὶ ἀνδρείως παρισταμένου τῷ ἀγῶνι, καὶ κόμην θρέψαι καὶ μεταβαλεῖν ἐσθῆτα φαιὰν ἀπαξιώσαντος ὅπερ οὐχ ἥκιστα δοκεῖ συναίτιον αὐτῷ γενέσθαι τῆς καταδίκης. Ἀλλ'

ὦ γε Κικέρων διὰ ταῦτα φιλέπαινος μᾶλλον, ἢ δεινὸς, ἔδοξεν εἶναι.

XXXVI. Γίνεται δὲ καὶ τῶν ἱερέων, οὓς Αὐγούρας Ῥωμαῖοι καλοῦσιν, ἀντὶ Κράσσου, νεὼς νέου, μετὰ τὴν ἐν Πάρθοις αὐτοῦ τελευτήν. Εἶτα πλήρης λαχὼν τῶν ἐπαρχιῶν Κιλικίαν, καὶ στρατὸν ὁπλιτῶν μυρίων καὶ δισχιλίων, ἱππέων δὲ δισχιλίων ἑξακοσίων, ἔπλευσε, προσταχθὲν αὐτῷ, καὶ τὰ περὶ Καππαδοκίαν Ἀριοβαρζάνῃ, τῷ βασιλεῖ, φίλα καὶ πειθήνια παρασχεῖν. Ταῦτά τε δὴ παρεσκεύασατο καὶ συνήρμοσεν ἀμέμπτως ἄτερ πολέμου τούς τε Κίλικας ὁρῶν πρὸς τὸ Πάρθιον πτοῆσαι Ῥωμαίων καὶ τὸν ἐν Συρίᾳ νεωτερισμὸν ἐπηρμέ- 879
νους, κατεπράϋνεν ἡμέρως ἄρχων. Καὶ δῶρα μὲν οὐδὲ τῶν βασιλέων δεδόντων ἔλαβε, δείπνων δὲ τοὺς ἐπάρχους ἀνῆμεν· αὐτὸς δὲ καθ' ἡμέραν τοὺς χαρίεντας ἀνελάμβανεν ἑστιάσεσιν, οὐ πολυτελῶς, ἀλλ' ἐλευθερίως. Ἡ δ' οἰκία θυρωρὸν οὐκ εἶχεν, οὐδ' αὐτὸς ὤρθη κατακείμενος ὑπ' οὐδενός, ἀλλ' ἔωθεν ἐστὼς, ἢ περιπατῶν πρὸ τοῦ δωματίου, τοὺς ἀσπαζομένους ἐδέξιοῦτο. Λέγεται δὲ μήτε ῥάβδους αἰτήσασθαί τινα, μήτ' ἐσθῆτα περισχίσαι, μήτε βλασφημίαν ὑπ' ὀργῆς ἢ ζημίας προσβαλεῖν μεθ' ὕβρεως. Ἀνυρῶν δὲ πολλὰ τῶν δημοσίων κεκλεμμένα, τάς τε πόλεις εὐπόρους ἐποίησε, καὶ τοὺς ἀποκλίνοντας, οὐδὲν τούτου κλεῖον παθόντας, ἐπιτίμους διεφύλαξεν. Ἔμαχε δὲ καὶ πολέμου, λῃστὰς τῶν περὶ τὸν Ἄμανον οἰκούντων τρεψάμενος ἐφ' ᾧ καὶ αὐτοκράτωρ ὑπὸ τῶν στρατιωτῶν ἀνηγορεύθη. Καιλίου δὲ, ταῦ ῥήτορος, δεομένου παρδάλεις αὐτῷ πρός τινα θέαν εἰς Ῥώμην ἐκ Κιλικίας ἀποστεῖλαι, καλλωπιζόμενος ἐπὶ τοῖς πεπραγμένοις, γράφει πρὸς αὐτὸν, ὡς εἶναι παρδάλεις ἐν Κιλικίᾳ πεφευγέναι γὰρ εἰς Καρίαν, ἀγανακτούσας, ὅτι μόναι πολεμοῦνται, πάντων εἰρηνην ἀγόντων. Πλέων δ' ἀπὸ τῆς ἐπαρχίας, τοῦτο μὲν Ῥόδῳ προσίσχε, τοῦτο δ' Ἀθήναις ἐνδιέτριψεν ἄσμενος, πόθῳ τῶν πάλαι διατριβῶν. Ἀνδράσι

δὲ τοῖς πρώτοις ἀπὸ παιδείας συγγενόμενος, καὶ τοὺς τότε φίλους καὶ συνήθεις ἀσπασάμενος, καὶ τὰ πρέποντα θαυμασθεὶς ὑπὸ τῆς Ἑλλάδος, εἰς τὴν πόλιν ἐπανῆλθεν, ἤδη τῶν πραγμάτων, ὥσπερ ὑπὸ φλεγμονῆς, ἀφιστάμενων ἐπὶ τὸν ἐμφύλιον πόλεμον.

XXXVII. Ἐν μὲν οὖν τῇ βουλῇ ψηφιζομένων αὐτῷ θριάμβων, ἤθιον ἂν ἔφη παρακολουθῆσαι Καίσαρι θριαμβεύοντι, συμβάσεων γενομένων· ἰδίᾳ δὲ συνεβούλευε, πολλὰ μὲν Καίσαρι γράφων, πολλὰ δ' αὐτοῦ Πομπηΐου δεόμενος, πραΰνων ἑκάτερον καὶ παραμυθούμενος. Ὡς δ' ἦν ἀνήκεστα, καὶ Καίσαρος ἐπερχομένου, Πομπήϊος οὐκ ἔμεινεν, ἀλλὰ μετὰ πολλῶν καὶ ἀγαθῶν ἀνδρῶν τὴν πόλιν ἐξέλιπε, ταύτης μὲν ἀπελείφθη τῆς φυγῆς ὁ Κικέρων, ἔδοξε δὲ Καίσαρι προστίθεσθαι. Καὶ δῆλός ἐστι τῇ γνώμῃ πολλὰ ῥιπτασθεὶς ἐπ' ἀμφότερα καὶ δυσπαθήσας. Γράφει γὰρ ἐν ταῖς ἐπιστολαῖς διαπορεῖν, ποτέρωσε χρὴ τρέπεσθαι, Πομπηΐου μὲν ἔνδοξον καὶ παλὴν ὑπόθεσιν πρὸς τὸν πόλεμον ἔχοντος, Καίσαρος δ' ἄμεινον τοῖς πράγμασι χρωμένου, καὶ μᾶλλον ἑαυτὸν καὶ τοὺς φίλους σώζοντος· ὥστ' ἔχειν μὲν, ὃν φύγῃ, μὴ ἔχειν δέ, πρὸς ὃν φύγῃ. Τρεβατίου δὲ, τινος τῶν Καίσαρος ἑταίρων, γράψαντος ἐπιστολὴν, ὅτι Καῖσαρ οἴεται δεῖν μάλιστα μὲν αὐτὸν ἐξετάζεσθαι μετ' αὐτοῦ, καὶ τῶν ἐλπίδων μετέχειν· εἰ δ' ἀναδύεται διὰ γῆρας, εἰς τὴν Ἑλλάδα βαδίζειν, κἀκεῖ καθήμενον ἡσυχίαν ἄγειν, ἐκποδὼν ἀμφοτέροις γενόμενον· θαυμάσας ὁ Κικέρων, ὅτι Καῖσαρ αὐτὸς οὐκ ἔγραψεν, ἀπεκρίνατο πρὸς ὀργὴν, ὡς οὐδὲν ἀνάξιον πράξει τῶν πεπολιτευμένων. Τὰ μὲν οὖν ἐν ταῖς ἐπιστολαῖς γεγραμμένα τοιαῦτά ἐστι.

XXXVIII. Τοῦ δὲ Καίσαρος εἰς Ἰβηρίαν ἀπάραντος, εὐθὺς ὡς Πομπήϊον ἔπλευσε· καὶ τοῖς μὲν ἄλλοις ἄσμενος ὤφθη, Κάτων δ' αὐτὸν ἰδὼν, ἰδίᾳ πολλὰ κατεμέμφετο Πομπηΐῳ προσθέμενον· αὐτῷ μὲν γὰρ οὐχὶ καλῶς ἔχειν ἐγκαταλιπεῖν ἣν ἀπ' ἀρχῆς εἵλετο τῆς πολιτείας τάξιν, ἐκεῖνον δὲ χρησιμω-

τερον ὄντα τῇ πατρίδι καὶ τοῖς φίλοις, εἰ μένων ἴσος ἐκεῖ πρὸς τὸ ἀποβαῖνον ἠρμόζετο, κατ' οὐδένα λογισμὸν οὐδ' ἐξ ἀνάγκης πολέμιον γεγονέναι Καίσαρι, καὶ τοσούτου μεθέξοντα κινδύνου δεῦρ' ἥκειν. Οὗτοι δὲ δὴ τοῦ Κικέρωνος ἀνέστρεφον οἱ λόγοι τὴν γνώμην, καὶ τὸ μέγα μηδὲν αὐτῷ χρῆσθαι 880 Πομπηΐου. Αἴτιος δ' ἦν αὐτὸς, οὐκ ἀρνούμενος μεταμέλεσθαι, φλαυρίζων δὲ τοῦ Πομπηΐου τὴν παρασκευὴν, καὶ πρὸς τὰ βουλεύματα δυσκολαίνων ὑπούλως, καὶ τοῦ παρασκώπτειν τι καὶ λέγειν χάριεν εἰς τοὺς συμμάχους οὐκ ἀπεχόμενος, ἀλλ' αὐτὸς μὲν ἀγέλαστος ἀεὶ περιὼν ἐν τῷ στρατοπέδῳ καὶ σκυθρωπὸς, ἑτέροις δὲ παράγων γέλωτα μηδὲν δεομένοις. Βέλτιον δὲ καὶ τούτων ὀλίγοι παραθέσθαι. Δομιτίου τοίνυν ἄνθρωπον εἰς νάξιν ἡγεμονικὴν ἄγοντος οὐ πολεμικὸν, καὶ λέγοντος, ὡς ἐπιεικὴς τὸν τρόπον ἐστὶ καὶ σώφρων· „Τί οὖν," εἶπεν, „οὐκ ἐπίτροπον αὐτὸν τοῖς τέκνοις φυλάσσεις;" Ἐπαινούντων δέ τινων Θεοφάνην, τὸν Λέσβιον, ὃς ἦν ἐν τῷ στρατοπέδῳ τεκτόναιν ἔπαρχος, ὡς εὖ παραμυθησαιτο Ῥοδίους τὸν στόλον ἀποβαλόντας· „Ἥλιον," εἶπεν „ἀγαθόν ἐστι, τὸ Γραικὸν ἔχειν ἔπαρχον!" Καίσαρος δὲ κατορθοῦντος τὰ πλεῖστα, καὶ τρόπον τινὰ πολιορκοῦντος αὐτοὺς, Λέντλῳ μὲν εἰπόντι πυνθάνεσθαι, στυγνοὺς εἶναι τοὺς Καίσαρος φίλους, ἀπαρρίνατο· „Λέγεις αὐτοὺς, δυσνοεῖν Καίσαρι." Μαρκίου δέ τινος ἥκοντος ἐξ Ἰταλίας νεωστὶ, καὶ λέγοντος, ἐν Ῥώμῃ φήμην ἐπικρατεῖν, ὡς πολιορκοῖτο Πομπήϊος· „Εἶτ' ἐξέπλευσας," εἶπεν, „ἵνα τοῦτο πιστεύσῃς αὐτὸς θεασάμενος;" Μετὰ δὲ τὴν ἧτταν Νουνίου μὲν εἰπόντος, ὅτι δεῖ χρηστὰς ἐλπίδας ἔχειν, ἑπτὰ γὰρ ἀετοὺς ἐν τῷ στρατοπέδῳ τοῦ Πομπηΐου λελεῖφθαι· „Καλῶς ἄν," ἔφη, „παρῆνεις, εἰ κολοιοῖς ἐπολεμοῦμεν." Λαβιηνοῦ δὲ μαντείαις τισὶν ἰσχυριζομένου, καὶ λέγοντος, ὡς δεῖ περιγενέσθαι Πομπηΐον· „Οὐκοῦν," ἔφη, „στρατηγήματι τούτῳ χρώμενοι νῦν ἀποβεβλήκαμεν τὸ στρατόπεδον."

XXXIX. Ἀλλὰ γὰρ, γενομένης τῆς κατὰ Φάρσαλον μάχης, ἧς οὐ μετέσχε διὰ ἀρρωστίαν, καὶ Πομπηΐου φυγόντος, ὁ μὲν Κάτων, καὶ στράτευμα συχνὸν ἐν Δυρραχίῳ, καὶ στόλον ἔχων μέγαν, ἐπεῖνον ἠξίου στρατηγεῖν κατὰ νόμον, καὶ τὸ τῆς ὑπατείας ἄξίωμα προϊέμενος. Διωθούμενος δὲ τὴν ἀρχὴν ὁ Κικέρων, καὶ ὅλως φεύγων τὸ συστρατεύεσθαι, παρ' οὐδὲν ἦλθεν ἀναιρεθῆναι, Πομπηΐου τοῦ νέου καὶ τῶν φίλων προθύμην ἀποκαλούντων, καὶ τὰ ξίφη σπασαμένων, εἰ μὴ Κάτων ἐνστὰς μόλις ἀφείλετο καὶ διῆκεν αὐτὸν ἐκ τοῦ στρατοπέδου. Κατασχὼν δ' εἰς Βρεντέσιον, ἐνταῦθα διέτριβε, Καίσαρα περιμένων βραδύνοντα διὰ τὰς ἐν Ἀσίᾳ καὶ περὶ Αἴγυπτον ἀσχολίας. Ἐπεὶ δ' εἰς Τάραντα παθωρμισμένος ἀπηγγέλλετο, καὶ πεζῇ περιϊὼν ἐκεῖθεν εἰς Βρεντέσιον, ὥρμησε πρὸς αὐτὸν, οὐ πάνυ μὲν ὢν δύσελπις, αἰδούμενος δὲ, πολλῶν παρόντων, ἀνδρὸς ἐχθροῦ καὶ πρακτοῦντος λαμβάνειν πεῖραν. Οὐ μὴν ἐδέησεν αὐτῷ πρᾶξιί τι παρ' ἀξίαν, ἢ εἰπεῖν. Ὁ γὰρ Καῖσαρ, ὡς εἶδεν αὐτὸν πολὺ πρὸ τῶν ἄλλων ἁπάντων ὄντα, κατέβη καὶ ἠσπάσατο, καὶ διαλεγόμενος μόνῳ συνῶν σταδίων ὁδὸν προῆλθεν. Ἐκ δὲ τούτου διετέλει τιμῶν καὶ φιλοφρονούμενος, ὥστε καὶ γράψαντι λόγον ἐγκώμιον Κάτωνος ἀντιγράψαι, τόν τε λόγον αὐτοῦ καὶ τὸν βίον, ὡς μάλιστα τῷ Περικλέους ἐοικότα καὶ Θηραμένους, ἐπαινεῖν. Ὁ μὲν οὖν Κικέρωνος λόγος, Κάτων, ὁ δὲ Καίσαρος, Ἀντικάτων ἐπιγέγραπται. Λέγεται δὲ καὶ, Κοΐντου Λιγαρίου δίκην φεύγοντος, ὅτε τῶν Καίσαρος πολεμίων εἷς ἐγεγόνει, καὶ Κικέρωνος αὐτῷ βοηθοῦντος, εἰπεῖν τὸν Καίσαρα πρὸς τοὺς φίλους· „Τί κωλύει δι' χρόνου Κικέρωνος ἀκοῦσαι λέγοντος, ἐπεὶ πάλαι πέπεισται πονηρὸς ὁ ἀνὴρ καὶ πολέμιος;“ ἐπεὶ δ' ἀρξάμενος λέγειν ὁ Κικέρων ὑπερφυῶς ἔπνει, καὶ προὔβαινεν αὐτῷ πάθει τε ποικίλος καὶ χάριτι θαυμαστὸς ὁ λόγος, πολλὰς μὲν ἰέναι χρόας ἐπὶ τοῦ προσώπου τὸν Καίσαρα, πάσας δὲ τῆς ψυχῆς τρεπόμενον τροπὰς κατάδηλον εἶναι· τέλος δὲ τῶν κατὰ
881

Φάρσαλον ἁψαμένου τοῦ ῥήτορος ἀγώνων, ἐκπαθῆ γενόμενον, τιναχθῆναι τῷ σώματι, καὶ τῆς χειρὸς ἐκβαλεῖν ἔνια τῶν γραμματίων. Τὸν γοῦν ἄνθρωπον ἀπέλυσε τῆς αἰτίας βεβιασμένος.

XL. Ἐκ τούτου Κικέρων, εἰς μοναρχίαν τῆς πολιτείας μεθεστώσης, ἀφέμενος τοῦ τὰ κοινὰ πράττειν, ἐσχόλαζε τοῖς βουλομένοις φιλοσοφεῖν τῶν νέων, καὶ σχεδὸν ἐκ τῆς πρὸς τούτους συνηθείας, εὐγενεστάτους καὶ πρώτους ὄντας, αὖθις ἴσχυεν ἐν τῇ πόλει μέγιστον. Αὐτῷ δ' ἔργον μὲν ἦν τὸ τοὺς φιλοσόφους συντελεῖν διαλόγους καὶ μεταφράζειν τινὰ τοῦ Πλάτωνος, καὶ τῶν διαλεκτικῶν ἢ φυσικῶν ὀνομάτων ἕκαστον εἰς Ῥωμαϊκὴν μεταβάλλειν διάλεκτον. Ἐκεῖνος γάρ ἐστιν, ὥς φασιν, ὁ καὶ τὴν φαντασίαν, καὶ τὴν συγκατάθεσιν, καὶ τὴν ἐποχὴν, καὶ τὴν κατάληψιν, ἔτι δὲ τὸ ἄτομον, τὸ ἀμερὲς, τὸ κενὸν, ἄλλα τε πολλὰ τῶν τοιούτων, ἐξονομάσας πρῶτος ἢ μάλιστα Ῥωμαίοις, τὰ μὲν μεταφοραῖς, τὰ δ' οἰκειότησιν ἄλλαις γνώριμα καὶ προσήγορα μηχανησάμενος. Τῇ δὲ πρὸς τὴν ποίησιν εὐκολίᾳ παίζων ἐχρῆτο. Λέγεται γὰρ, ὁπηνίκα ῥυείη πρὸς τὸ τοιοῦτον, τῆς νυκτὸς ἔπη ποιεῖν πεντακόσια. Τὸ μὲν οὖν πλεῖστον τοῦ χρόνου τούτου περὶ Τοῦσκλον ἐν χωρίοις αὐτοῦ διάγων, ἔγραφε πρὸς τοὺς φίλους, Λαέρτου βίον ζῆν, εἴτε παίζων, ὡς ἔθος εἶχεν, εἴθ' ὑπὸ φιλοτιμίας σπαργῶν πρὸς τὴν πολιτείαν καὶ ἀθυμῶν τοῖς καθεστῶσι. Σπανίως δ' εἰς ἄστυ θεραπείας ἕνεκα τοῦ Καίσαρος κατῄει, καὶ πρῶτος ἦν τῶν συναγορευόντων ταῖς τιμαῖς, καὶ λέγειν ἀεί τι καινὸν εἰς τὸν ἄνδρα καὶ τὰ πραττόμενα φιλοτιμουμένων. Οἷόν ἐστι καὶ τὸ περὶ τῶν Πομπηΐου λεχθὲν εἰκόνων, ἃς ἀνῃρημένας καὶ καταβεβλημένας ὁ Καῖσαρ ἐκέλευσεν ἀνασταθῆναι καὶ ἀνεστάθησαν. Ἔφη γὰρ ὁ Κικέρων, ὅτι ταύτῃ τῇ φιλανθρωπίᾳ Καῖσαρ τοὺς μὲν Πομπηΐου ἵστησι, τοὺς δ' αὐτοῦ πήγνυσιν ἀνδριάντας.

XLI. Διανοούμενος δ', ὡς λέγεται, τὴν πάτριον

ἱστορίαν γραφῇ περιλαβεῖν, καὶ πολλὰ συμμίξαι τῶν Ἑλληνικῶν, καὶ ὅλους τοὺς εἰρημένους λόγους αὐτῶν καὶ μύθους ἐνταῦθα γράψαι, πολλοῖς μὲν δημοσίοις, πολλοῖς δ' ἰδίοις κατελήφθη πράγμασιν ἀβουλήτοις καὶ πάθεσιν, ὧν αὐθαίρετα δοκεῖ πλεῖστα συμβῆναι. Πρῶτον μὲν γὰρ ἀπεπέμψατο τὴν γυναῖκα, Τερεντίαν, ἀμεληθεὶς ὑπ' αὐτῆς παρὰ τὸν πόλεμον, ὥστε καὶ τῶν ἀναγκαίων ἐφοδίων ἐνδεὴς ἀποσταλῆναι, καὶ μηδ', ὅτε κατῆρεν αὖθις εἰς Ἰταλίαν, τυχεῖν εὐγνώμονος. Αὕτη μὲν γὰρ οὐκ ἦλθεν, ἐν Βρεντεσίῳ διατρίβοντος αὐτοῦ πολὺν χρόνον ἐρχομένη δὲ τῇ θυγατρὶ, παιδίσκῃ νέᾳ, τοσαύτην ὁδὸν, οὐ πομπὴν πρέπουσαν, οὐ χορηγίαν παρέσχεν, ἀλλὰ καὶ τὴν οἰκίαν τῷ Κικέρωνι πάντων ἔρημον καὶ κενὴν ἀπέδειξεν ἐπὶ πολλοῖς ὀφλήμασι καὶ μεγάλοις. Αὗται γάρ εἰσιν αἱ λεγόμεναι τῆς διαστάσεως εὐπρεπέστατα προφάσεις. Τῇ δὲ Τερεντίᾳ καὶ ταύτας ἀργουμένη λαμπρὰν ἐποίησε τὴν ἀπολογίαν αὐτὸς ἐκεῖνος, μετ' οὐ πολὺν χρόνον γήμας παρθένον, ὡς μὲν ἡ Τερεντία κατεφημιζεν, ἔρωτι τῆς ὥρας, ὡς δὲ Τίρων, ὁ τοῦ Κικέρωνος ἀπελεύθερος, γέγραφεν, εὐπορίας ἕνεκεν πρὸς διάλυσιν δανείων. Ἦν γὰρ ἡ παῖς σφόδρα πλουσία, καὶ τὴν οὐσίαν αὐτῆς ὁ Κικέρων ἐν πίστει πληρονόμος ἀπολειφθεὶς διεφύλαττεν. Ὀφειλῶν δὲ πολλὰς μυριάδας, ὑπὸ τῶν φίλων καὶ οἰκείων ἐπείσθη τὴν παῖδα γῆμαι παρ' ἡλικίαν, καὶ τοὺς δα-
882 νειστὰς ἀπαλλάξαι, τοῖς ἐκείνης χρησάμενον. Ἀντώνιος δὲ, τοῦ γάμου μνησθεὶς ἐν ταῖς πρὸς τοὺς Φιλιππικοὺς ἀντιγραφαῖς, ἐκβαλεῖν αὐτὸν φησι γυναῖκα, παρ' ἣ ἐγήμασε χαριέντως ἅμα τὴν οἰκουρίαν ὡς ἀπράκτου καὶ ἀστρατεύτου παρασκώπτων τοῦ Κικέρωνος. Γήμαντι δ' αὐτῷ μετ' οὐ πολὺν χρόνον ἡ θυγάτηρ ἀπέθανε τίκτουσα παρὰ Λέντλῳ· τούτῳ γὰρ ἐγαμήθη μετὰ τὴν Πείσωνος, τοῦ πρεσβυτέρου ἀνδρὸς, τελευτήν. Καὶ συνῆλθον μὲν ἐπὶ τὴν παραμυθίαν τῷ Κικέρωνι πανταχόθεν οἱ φιλόσοφοι· βαρέως δ' ἄγαν ἤνεγκε τὸ συμβεβη-

κὸς, ὥστε καὶ τὴν γαμηθεῖσαν ἀποπέμψασθαι δόξασαν ἡσθῆναι τῇ τελευτῇ τῆς Τυλλίας.

XLII. Τὰ μὲν οὖν κατ' οἶκον οὕτως εἶχε τῷ Κικέρωνι. Τῆς δ' ἐπὶ Καίσαρα συνισταμένης πράξεως οὐ μετέσχε, καίπερ ὢν ἑταῖρος ἐν τοῖς μάλιστα Βρούτου, καὶ βαρυνεσθαι τὰ παρόντα καὶ τὰ πάλαι ποθεῖν πράγματα δοκῶν, ὡς ἕτερος οὐδείς. Ἀλλ' ἔδεισαν οἱ ἄνδρες αὐτοῦ τήν τε φύσιν, ὡς ἐνδεᾶ τόλμης, τόν τε χρόνον, ἐν ᾧ καὶ ταῖς ἐρρωμενεστάταις φύσεσιν ἐπιλείπει τὸ θαρρεῖν. Ὡς δ' οὖν ἐπέπρακτό τοῖς περὶ Βροῦτον καὶ Κάσσιον τὸ ἔργον, καὶ τῶν Καίσαρος φίλων συνισταμένων ἐπὶ τοὺς ἄνδρας, αὖθις ἦν δέος ἐμφυλίοις πολέμοις περιπεσεῖν γενέσθαι τὴν πόλιν. Ἀντώνιος μὲν ὑπατεύων τὴν βουλὴν συνήγαγε, καὶ βραχέα διελέχθη περὶ ὁμονοίας, Κικέρων δὲ πολλὰ πρὸς τὸν καιρὸν οἰκείως διελθών, ἔπεισε τὴν σύγκλητον, Ἀθηναίους μιμησαμένην, ἀμνηστίαν τῶν ἐπὶ Καίσαρι ψηφίσασθαι, νεῖμαι δὲ τοῖς περὶ Κάσσιον καὶ Βροῦτον ἐπαρχίας. Ἔσχε δὲ τούτων τέλος οὐδέν. Ὁ γὰρ δῆμος, αὐτὸς μὲν ἀφ' ἑαυτοῦ πρὸς οἶκτον ἐξαχθεὶς, ὡς εἶδε τὸν νεκρὸν ἐκκομιζόμενον δι' ἀγορᾶς, Ἀντωνίου δὲ καὶ τὴν ἐσθῆτα δείξαντος αὐτοῖς αἵματος κατάπλεων, καὶ κεκομμένην πάντη τοῖς ξίφεσιν, ἐκμανέντες ὑπ' ὀργῆς, ἐν ἀγορᾷ ζήτησιν ἐποιοῦντο τῶν ἀνδρῶν, καὶ πῦρ ἔχοντες ἐπὶ τὰς οἰκίας ἔθεον, ὡς ἀναψοντες. Οἱ δὲ τοῦτον μὲν τῷ προπεφυλάχθαι διέφυγον τὸν κίνδυνον, ἑτέρους δὲ πολλοὺς καὶ μεγάλους προσδοκῶντες, ἐξέλιπον τὴν πόλιν.

XLIII. Εὐθὺς οὖν ὁ Ἀντώνιος ἐπῆρτο, καὶ πᾶσι μὲν ἦν φοβερὸς, ὡς μοναρχήσων, τῷ δὲ Κικέρωνι φοβερώτατος. Ἀναρρωννυμένην τε γὰρ αὐτῷ πάλιν ὁρῶν τὴν δύναμιν ἐν τῇ πολιτείᾳ, καὶ τοῖς περὶ Βροῦτον ἐπιτήδειον εἰδὼς, ἤχθετο παρόντι. Καί πού τι καὶ προϋπῆρχεν ὑποψίας αὐτοῖς πρὸς ἀλλήλους κατὰ τὴν τῶν βίων ἀνομοιότητα καὶ διαφοράν. Ταῦτα δείσας ὁ Κικέρων, πρῶ-

τον μὲν ὁρμῆσαι πρεσβευτὴς Δολοβέλλᾳ συνεκπλεῦσαι εἰς Συρίαν. Ἐπεὶ δ' οἱ μέλλοντες ὑπατεύειν μετ' Ἀντώνιον, Ἴρτιος καὶ Πάνσας, ἄνδρες ἀγαθοὶ καὶ ζηλωταὶ τοῦ Καίσαρος, ἐδέοντο μὴ σφᾶς καταλιπεῖν, ὑποδεχόμενοι καταλύσειν Ἀντώνιον, ἐκείνου παρόντος· ὁ δ' οὔτ' ἀπιστῶν κατέπαυσεν, οὔτε πιστεύων, Δολοβέλλαν μὲν εἶασε χαίρειν, ὁμολογήσας δὲ τοῖς περὶ τὸν Ἴρτιον τὸ θέρος ἐν Ἀθήναις διάξειν, ὅταν δ' ἐκεῖνοι παραλάβωσι τὴν ἀρχήν, ἀφίξεσθαι πάλιν, αὐτὸς καθ' ἑαυτὸν ἐξέπλευσε· γενομένης δὲ περὶ τὸν πλοῦν διατριβῆς, καὶ λόγων ἀπὸ Ῥώμης, οἷα φιλεῖ, καινῶν προσπιπτόντων, μεταβαλλῆσθαι μὲν Ἀντώνιον θαυμαστὴν μεταβολὴν, καὶ πάντα πράττειν καὶ πολιτεύεσθαι πρὸς τὴν σύγκλητον, ἀνθεῖν δὲ τῆς ἐκείνου παρουσίας τὰ πράγματα, μὴ τὴν ἀρίστην ἔχειν διάθεσιν· καταμεμψάμενος αὐτὸς αὑτοῦ τὴν πολλὴν εὐλάβειαν, ἀνέστρεφεν αὖθις εἰς Ῥώμην. Καὶ τῶν πρώτων οὐ διημάρτανεν ἐλπίδων· τοσοῦτον πλῆθος ὑπὸ χαρᾶς καὶ πόθου πρὸς τὴν ἀπάντησιν ἐξεχύθη, καὶ σχεδὸν ἡμερήσιον ἀνήλωσαν χρόνον αἱ περὶ τὰς πύλας καὶ τὴν εἴσοδον αὐτοῦ δεξιώσεις καὶ φιλοφροσύναι. Τῇ δ' ὑστεραίᾳ βουλὴν συναγαγόντος Ἀντωνίου, καὶ καλοῦντος αὐτὸν, οὐκ ἦλθεν, 38
ἀλλὰ παρέμεινε, μαλακῶς ἔχειν ἐκ τοῦ πόνου σκηπτόμενος. Ἐδόκει δὲ ταληθὲς ἐπιβουλῆς εἶναι φόβος, ἔκ τινος ὑποψίας καὶ μηνύσεως παθ' ὁδὸν αὐτῷ προσπεσούσης. Ἀντώνιος δὲ, χαλεπῶς μὲν εἶχεν ἐπὶ τῇ διαβολῇ, καὶ στρατιώτας ἔπεμψεν ἄγειν αὐτὸν, ἢ καταπρῆσαι τὴν οἰκίαν κελεύσας· ἐνστάντων δὲ πολλῶν καὶ δεηθέντων, ἐνέχυρα λαβὼν μόνον, ἐπαύσατο. Καὶ τὰ λοιπὸν οὕτως ἀντιπαρεξιόντες ἀκρίτως καὶ φυλαττόμενοι διετέλουν· ἄχρις οὗ Καῖσαρ ὁ νέος ἐξ Ἀπολλωνίας παραγενόμενος, τόν τε πλῆρον ἀνεδέξατο ταῦ Καίσαρος ἐκείνου, καὶ περὶ τῶν δισχιλίων πεντακοσίων μυριάδων, ἃς Ἀντώνιος ἐκ τῆς οὐσίας κατεῖχεν, εἰς διαφορὰν κατέστη πρὸς αὐτόν.

XLIV. Ἐκ δὲ τούτου Φίλιππος, ὁ τὴν μητέρα τοῦ νέου Καίσαρος ἔχων, καὶ Μάρκελλος, ὁ τὴν ἀδελφὴν, ἀφικόμενοι μετὰ τοῦ νεανίσκου πρὸς τὸν Κικέρωνα, συνέθεντο, Κικέρωνα μὲν ἐκείνῳ τὴν ἀπὸ τοῦ λόγου καὶ τῆς πολιτείας δύναμιν ἔν τε τῇ βουλῇ καὶ τῷ δήμῳ παρέχειν, ἐκεῖνον δὲ Κικέρωνι τὴν ἀπὸ τῶν χρημάτων καὶ τῶν ὅπλων ἀσφάλειαν. Ἤδη γὰρ οὐκ ὀλίγους τῶν ὑπὸ Καίσαρι στρατευσαμένων περὶ αὐτὸν εἶχε τὸ μειράκιον. Ἐδόκει δὲ καὶ μέλιζων τις αἰτία γεγονέναι τοῦ τὸν Κικέρωνα ἀναδέξασθαι προθύμως τὴν Καίσαρος φιλίαν. Ἔτι γὰρ, ὡς ἔοικε, Πομπηΐου ζῶντος καὶ Καίσαρος, ἔδοξε κατὰ τοὺς ὕπνους ὁ Κικέρων καλεῖν τινὰ τοὺς τῶν συγκλητικῶν παῖδας εἰς τὸ Καπιτώλιον, ὡς μέλλοντος ἐξ αὐτῶν ἕνα τοῦ Διὸς ἀποδεικνύειν τῆς Ῥώμης ἡγεμόνα· τοὺς δὲ πολίτας ὑπὸ σπουδῆς θέοντας ἱστασθαι περὶ τὸν νεών· καὶ τοὺς παῖδας ἐν τοῖς περιπορφύροις καθέζεσθαι σιωπὴν ἔχοντας. Ἐξαίφνης δὲ τῶν θυρῶν ἀνοιχθεισῶν, καθ' ἕνα τῶν παίδων ἀνισταμένων, κύκλῳ παρὰ τὸν θεὸν παραπορεύεσθαι· τὸν δὲ πάντας ἐπισκοπεῖν καὶ ἀποπέμπειν ἀχθομένους. Ὡς δ' οὗτος ἦν προσιὼν κατ' αὐτὸν, ἐκτεῖναι τὴν δεξιὰν, καὶ εἰπεῖν· Ὦ Ῥωμαῖοι, πέρας ὑμῖν ἐμφυλίων πολέμων οὗτος ἡγεμὼν γενόμενος." Τοιοῦτον φασιν ἐνύπνιον ἰδόντα τὸν Κικέρωνα, τὴν μὲν ἰδέαν τοῦ παιδὸς ἐκμεμάχθαι καὶ κατέχειν ἐναργῶς, αὐτὸν δ' οὐκ ἐπίστασθαι. Μεθ' ἡμέραν δὲ καταβαίνοντος εἰς τὸ πεδίον τὸ Ἄρειον αὐτοῦ, τοὺς παῖδας ἤδη γεγυμνασμένους ἀπέρχεσθαι, κἀκεῖνον ὀφθῆναι τῷ Κικέρωνι πρῶτον, οἷος ὤφθη καθ' ὕπνον· ἐκπλαγέντα δὲ, πυνθάνεσθαι, τίνων εἴη γονέων. Ἦν δὲ πατρὸς Ὀκταουΐου τῶν οὐκ ἄγαν ἐπιφανῶν, Ἀττίας δὲ μητρὸς, ἀδελφιδῆς Καίσαρος. Ὅθεν Καῖσαρ αὐτῷ, παῖδας οὐκ ἔχων ἰδίους, τὴν οὐσίαν ἑαυτοῦ καὶ τὸν οἶκον ἐν ταῖς διαθήκαις ἔδωκεν. Ἐκ τούτου φασὶ τὸν Κικέρωνα τῷ παιδὶ κατὰ τὰς ἀπαντήσεις ἐντυγχάνειν ἐπιμελῶς, κἀκεῖνον οἰ-

κείως δέχεσθαι τὰς φιλοφροσύνας· καὶ γὰρ ἐκ τύχης αὐτῷ γεγονέναι συμβεβήκει, Κικέρωνος ὑπατεύοντος.

XLV. Αὗται μὲν οὖν προφάσεις ἦσαν αἱ λεγόμεναι· τὸ δὲ πρὸς Ἀντώνιον μῖσος Κικέρωνα πρῶτον, εἶτα ἡ φύσις, ἥττων οὖσα τῆς τιμῆς, προσεποίησε Καίσαρι, νομίζοντα προσλαμβάνειν τῇ πολιτείᾳ τὴν ἐκείνου δύναμιν. Οὕτω γὰρ ὑπῆει τὸ μειράκιον αὐτὸν, ὥστε καὶ πατέρα προσαγορεύειν. Ἐφ' ᾧ σφόδρα Βροῦτος ἀγανακτῶν, ἐν ταῖς πρὸς Ἄττικον ἐπιστολαῖς καθῆψατο τοῦ Κικέρωνος, ὅτι διὰ φόβον Ἀντωνίου θεραπεύων Καίσαρα, βῆλός ἐστιν οὐκ ἐλευθερίαν τῇ πατρίδι πράττων, ἀλλὰ δεσπότην φιλάνθρωπὸν αὐτῷ μνώμενος. Οὐ μὴν ἀλλὰ τόν γε παῖδα Κικέρωνος ὁ Βροῦτος, ἐν Ἀθήναις διατρίβοντα παρὰ τοῖς φιλοσόφοις, ἀναλαβὼν, ἔσχεν ἐφ' ἡγεμονίας, καὶ πολλὰ χρώμενος αὐτῷ κατώρθου. Τοῦ δὲ Κικέρωνος ἀκμὴν ἔσχεν ἡ δύναμις ἐν τῇ πόλει τότε μεγίστην, καὶ κρατῶν,
884 ὅσων ἐβούλετο, τὸν μὲν Ἀντώνιον ἐξέκρουσε καὶ κατεστασίασε, καὶ πολεμήσοντας αὐτῷ τοὺς δύο ὑπάτους, Ἵρτιον καὶ Πάνσαν, ἐξέπεμψε· Καίσαρι δὲ ῥαβδούχους καὶ στρατηγικὸν κόσμον, ὡς δὴ προπολεμοῦντι τῆς πατρίδος, ἔπεισε ψηφίσασθαι τὴν σύγκλητον. Ἐπεὶ δ' Ἀντώνιος μὲν ἥττητο, τῶν δ' ὑπάτων ἀμφοτέρων ἀποθανόντων, ἐκ τῆς μάχης πρὸς Καίσαρα συνέστησαν αἱ δυνάμεις, δείσασα ἡ βουλὴ νέον ἄνδρα, καὶ τύχῃ λαμπρᾷ κεχρημένον, ἐπειρᾶτο τιμαῖς καὶ δωρεαῖς ἀποκαλεῖν αὐτοῦ τὰ στρατεύματα, καὶ περισπᾶν τὴν δύναμιν, ὡς μὴ δεομένη τῶν προπολεμούντων, Ἀντωνίου πεφευγότος. Οὕτως ὁ Καῖσαρ φαβηθεὶς, ὑπέπεμπε τῷ Κικέρωνι τοὺς δεομένους καὶ πείθοντας ὑπατείαν μὲν ἀμφοτέροις ὁμοῦ πράττειν, χρῆσθαι δὲ τοῖς πράγμασιν, ὅπως αὐτὸς ἔγνωκε, παραλαμβάνοντα τὴν ἀρχὴν, καὶ τὸ μειράκιον διοικεῖν ὀνόματος καὶ δόξης γλιχόμενον. Ὁμολογεῖ δὲ Καῖσαρ αὐτὸς, ὡς δεδιὼς κατάλυσιν, καὶ κινδυνεύων ἔρη-

μοὶ γενέσθαι, χρήσαιτο τῇ Κικέρωνος ἐν δέοντι φιλαρχίᾳ, προτρεψάμενος αὐτὸν ὑπατείαν μετιέναι, συμπράττοντος αὐτοῦ καὶ συναρχαιρεσιάζοντος.

XLVI. Ἐνταῦθα μέντοι μάλιστα Κικέρων ἐπαρθεὶς ὑπὸ νέου γέρων, καὶ φενακισθεὶς, καὶ συναρχαιρεσιάσας, καὶ παρασχὼν αὐτῷ τὴν σύγκλητον, εὐθὺς μὲν ὑπὸ τῶν φίλων αἰτίαν εἶχεν, ὀλίγῳ δ' ὕστερον αὐτὸν ἀπολωλεκὼς ἤσθετο, καὶ τοῦ δήμου προϊέμενος τὴν ἐλευθερίαν. Αὐξηθεὶς γὰρ ὁ νεανίας, καὶ τὴν ὑπατείαν λαβὼν, Κικέρωνα μὲν εἴασε χαίρειν, Ἀντωνίῳ δὲ καὶ Λεπίδῳ φίλος γενόμενος, καὶ τὴν δύναμιν εἰς ταὐτὸ συνενέγκων, ὥσπερ ἄλλο τι κτῆμα τὴν ἡγεμονίαν ἐνείματο πρὸς αὐτούς. Καὶ κατεγράφησαν ἄνδρες, οὓς ἔδει θνήσκειν, ὑπὲρ διακοσίους. Πλείστην δὲ τῶν ἀμφισβητημάτων αὐτοῖς ἔριν ἡ Κικέρωνος προγραφὴ παρέσχεν, Ἀντωνίου μὲν ἀσυμβάτως ἔχοντος, εἰ μὴ πρῶτος ἐκεῖνος ἀποθνήσκοι, Λεπίδου δ' Ἀντωνίῳ προστιθεμένου, Καίσαρος δὲ πρὸς ἀμφοτέρους ἀντέχοντος. Ἐγίνοντο δ' αἱ σύνοδοι μόνοις ἀπόρρητοι περὶ πόλιν Βονωνίαν ἐφ' ἡμέρας τρεῖς, καὶ συνῆεσαν εἰς τόπον τινὰ πρόσω τῶν στρατοπέδων ποταμῷ περιῤῥεόμενον. Λέγεται δὲ τὰς πρώτας ἡμέρας διαγωνισάμενος ὑπὲρ τοῦ Κικέρωνος ὁ Καῖσαρ, ἐνδοῦναι τῇ τρίτῃ, καὶ προέσθαι τὸν ἄνδρα. Τὰ δὲ τῆς ἀντιδόσεως οὕτως εἶχεν. Ἔδει Κικέρωνος ἐκστῆναι Καίσαρα, Παύλου δὲ, τἀδελφοῦ, Λέφιδον, Λευκίου δὲ Καίσαρος Ἀντώνιον, ὃς ἦν θεῖος αὐτῷ πρὸς μητρός. Οὗτος ἐξέπεσον ὑπὸ θυμοῦ καὶ λύσσης τῶν ἀνθρωπίνων λογισμῶν, μᾶλλον δ' ἀπέδειξαν, ὡς οὐδὲν ἀνθρώπου θηρίον ἐστὶν ἀγριώτερον, ἐξουσίαν πάθει προσλαβόντος.

XLVII. Πραττομένων δὲ τούτων, ὁ Κικέρων ἦν μὲν ἐν ἀγροῖς ἰδίοις περὶ Τοῦσκλον, ἔχων τὸν ἀδελφὸν μεθ' αὑτοῦ· πυθόμενοι δὲ τὰς προγραφὰς, ἔγνωσαν εἰς Ἄστυρα μεταβῆναι, χωρίον πα-

ραλον τοῦ Κικέρωνος· ἐκεῖθεν δὲ πλεῖν εἰς Μακεδονίαν πρὸς Βροῦτον. Ἤδη γὰρ ὑπὲρ αὐτοῦ λόγος ἐφοίτα κρατοῦντος. Ἐκομίζοντο δ' ἐν φορείοις, ἀπειρηκότες ὑπὸ λύπης· καὶ κατὰ τὴν ὁδὸν ἐφιστάμενοι, καὶ τὰ φορεῖα παραβάλλοντες, ἀλλήλοις προσωλοφύροντο. Μᾶλλον δ' ὁ Κόϊντος ἠθύμει, καὶ λογισμὸς αὐτὸν εἰσῄει τῆς ἀπορίας· οὐδὲν γὰρ ἔφη λαβεῖν οἴκοθεν. Ἀλλὰ καὶ τῷ Κικέρωνι γλίσχρον ἦν ἐφόδιον. Ἄμεινον οὖν εἶναι, τὸν μὲν Κικέρωνα προλαμβάγειν τῇ φυγῇ, αὐτὸν δὲ μεταθεῖν, οἴκοθεν συσκευασάμενον. Ταῦτ' ἔδοξε· καὶ περιβαλόντες ἀλλήλους καὶ ἀνακλαυσάμενοι διελύθησαν. Ὁ μὲν οὖν Κόϊντος οὐ πολλαῖς ὕστερον ἡμέραις ὑπὸ τῶν οἰκετῶν προδοθεὶς τοῖς ζητοῦσιν, ἀνῃρέθη μετὰ τοῦ παιδός. Ὁ δὲ Κικέρων εἰς Ἄτυρα κομισθεὶς, καὶ πλοῖον εὑρὼν, εὐθὺς ἐνέβη,
885 καὶ παρέπλευσεν ἄχρι Κιρκαίου, πνεύματι χρώμενος. Ἐκεῖθεν δὲ βουλομένων εὐθὺς αἴρειν τῶν κυβερνητῶν, εἴτε δείσας τὴν θάλασσαν, εἴτ' οὔπω παντάπασι τὴν Καίσαρος ἀπεγνωκὼς πίστιν, ἀπέβη καὶ παρῆλθε πεζῇ σταδίους ἑκατὸν, ὡς εἰς Ῥώμην πορευόμενος. Αὖθις δ' ἀλύων καὶ μεταβαλλόμενος κατῆει πρὸς θάλασσαν. Κἀκεῖ διενυκτέρευσεν ἐπὶ δεινῶν καὶ ἀπόρων λογισμῶν· ὥστε καὶ παρελθεῖν εἰς τὴν Καίσαρος οἰκίαν διενοήθη κρύφα, καὶ σφάξας ἑαυτὸν ἐπὶ τῆς ἑστίας ἀλάστορα προσβαλεῖν. Ἀλλὰ καὶ ταύτης αὐτὸν ἀπέκρουσε τῆς ὁδοῦ δέος βασάνων. Καὶ τἄλλα παραχώδη πάλιν προβουλεύματα τῆς γνώμης μεταλαμβάνων παρέδωκε τοῖς οἰκέταις ἑαυτὸν εἰς Καπίτας κατὰ πλοῦν κομίζειν, ἔχων ἐκεῖ χωρία καὶ καταφυγὴν ὥρᾳ θέρους φιλάνθρωπον, ὅταν ἥδιστον οἱ ἐτησίαι καταπνέωσιν. Ἔχει δ' ὁ τόπος καὶ νεὼν Ἀπόλλωνος μικρὸν ὑπὲρ τῆς θαλάττης. Ἐντεῦθεν ἀρθέντες ἀθρόοι κόρακες, ὑπὸ κλαγγῆς προσεφέροντο τῷ πλοίῳ τοῦ Κικέρωνος ἐπὶ γῆν ἐρεσσομένῳ· καὶ καθίσαντες ἐπὶ τὴν κεραίαν ἑκατέρωθεν, οἱ μὲν ἐβόων, οἱ δ' ἔκοπτον τὰς τῶν μηρυμάτων ἀρχάς·

καὶ πᾶσιν ἐδόκει τὸ σημεῖον εἶναι πονηρόν. Ἀπέβη δ' οὖν ὁ Κικέρων, καὶ παρελθὼν εἰς τὴν ἔπαυλιν, ὡς ἀναπαυσόμενος κατεκλίθη. Τῶν δὲ κοράκων οἱ πολλοὶ μὲν ἐπὶ τῆς θυρίδος διεκάθηντο φθεγγόμενοι θορυβῶδες· εἷς δὲ καταβὰς ἐπὶ τὸ κλινίδιον, ἐγκεκαλυμμένου τοῦ Κικέρωνος ἀπῆγε τῷ στόματι κατὰ μικρὸν ἀπὸ τοῦ προσώπου τὸ ἱμάτιον. Οἱ δ' οἰκέται ταῦθ' ὁρῶντες, καὶ κακίσαντες ἑαυτοὺς, εἰ περιμένουσι τοῦ δεσπότου φονευομένου θεαταὶ γενέσθαι, θηρία δ' αὐτῷ βοηθεῖ καὶ προκήδεται παρ' ἀξίαν πράττοντος, αὐτοὶ δ' οὐκ ἀμύνουσι, τὰ μὲν δέομενοι, τὰ δὲ βίᾳ λαβόντες, ἐκόμιζον ἐν τῷ φορείῳ πρὸς τὴν θάλασσαν.

XLVIII. Ἐν τούτῳ δ' οἱ σφαγεῖς ἐπῆλθον, ἑκατοντάρχης Ἑρέννιος καὶ Ποπίλλιος χιλίαρχος, ᾧ πατροκτονίας ποτὲ δίκην φεύγοντι συνεῖπεν ὁ Κικέρων, ἔχοντες ὑπηρέτας. Ἐπεὶ δὲ τὰς θύρας κεκλεισμένας εὑρόντες ἐξέκοψαν, οὐ φαινομένου τοῦ Κικέρωνος, οὐδὲ τῶν ἔνδον εἰδέναι φασκόντων, λέγεται, νεανίσκον τινὰ, τεθραμμένον μὲν ὑπὸ τοῦ Κικέρωνος ἐν γράμμασιν ἐλευθερίοις καὶ μαθήμασιν, ἀπελεύθερον δὲ Κοΐντου, τοῦ ἀδελφοῦ, Φιλόλογον τοὔνομα, φράσαι τῷ χιλιάρχῳ τὸ φορεῖον κομιζόμενον διὰ τῶν καταφύτων καὶ συσκίων περιπάτων ἐπὶ τὴν θάλατταν. Ὁ μὲν οὖν χιλίαρχος, ὀλίγους ἀναλαβὼν μεθ' ἑαυτοῦ, περιέθει πρὸς τὴν ἔξοδον. Τοῦ δ' Ἑρεννίου δρόμῳ φερομένου διὰ τῶν περιπάτων ὁ Κικέρων ἤσθετο, καὶ τοὺς οἰκέτας ἐκέλευσεν ἐνταῦθα καταθέσθαι τὸ φορεῖον. Αὐτὸς δ', ὥσπερ εἰώθει, τῇ ἀριστερᾷ χειρὶ τῶν γενείων ἁπτόμενος, ἀτενὲς ἐνεώρα τοῖς σφαγεῦσιν, αὐχμοῦ καὶ κόμης ἀνάπλεως, καὶ συντετηκὼς ὑπὸ φροντίδων τὸ πρόσωπον· ὥστε τοὺς πλείστους ἐγκαλύψασθαι, τοῦ Ἑρεννίου σφάζοντος αὐτόν. Ἐσφάγη δὲ τὸν τράχηλον ἐκ τοῦ φορείου προτείνας, ἔτος ἑκεῖνο γεγονὼς ἑξηκοστὸν καὶ τέταρτον. Τὴν δὲ κεφαλὴν ἀπέκοψεν αὐτοῦ καὶ τὴν χεῖρα, Ἀντωνίου κελεύσαντος, ᾗ τοὺς Φιλιππικοὺς ἔγραψεν. Αὐτός τε γὰρ

ὁ Κικέρων τοὺς κατ' Ἀντωνίου λόγους Φιλιππικοὺς ἐπέγραψε, καὶ μέχρι νῦν τὰ βιβλία Φιλιππικοὶ καλοῦνται.

XLIX. Τῶν δ' ἀκροατηρίων εἰς Ῥώμην κομισθέντων, ἔτυχε μὲν ἀρχαιρεσίας τελῶν ὁ Ἀντώνιος, ἀκούσας δὲ καὶ ἰδὼν ἀνεβόησεν, ὡς νῦν αἱ προγραφαὶ τέλος ἔχοιεν. Τὴν δὲ κεφαλὴν καὶ τὴν χεῖρα ἐκέλευσεν ὑπὲρ τῶν ἐμβόλων ἐπὶ τοῦ βήματος θεῖναι, θέαμα Ῥωμαίοις φρικτὸν, οὐ τὸ Κικέρωνος ὁρᾶν πρόσωπον οἰομένοις, ἀλλὰ τῆς Ἀντωνίου ψυχῆς εἰκόνα. Πλὴν ἓν γέ τι φρονήσας μέτριον ἐν
886 τούτοις, Πομπωνίᾳ, τῇ Κάτωνος γυναικὶ, τὸν Φιλόλογον παρέδωκεν. Ἡ δὲ, κυρία γενομένη τοῦ σώματος, ἄλλαις τε δειναῖς ἐχρήσατο τιμωρίαις, καὶ νὰς σάρκας ἀποτέμνοντα τὰς αὐτοῦ κατὰ μικρὸν, ὀπτᾶν, εἶτ' ἐσθίειν ἠνάγκασεν. Οὕτω γὰρ ἔνιοι τῶν συγγραφέων ἱστορήκασιν· ὁ δ' αὐτοῦ τοῦ Κικέρωνος ἀπελεύθερος, Τίρων, τοπαράπαν οὐδὲ μέμνηται τῆς τοῦ Φιλολόγου προδοσίας. Πυνθάνομαι δὲ, Καίσαρα χρόνοις πολλοῖς ὕστερον εἰσελθεῖν πρὸς ἕνα τῶν θυγατριδῶν τὸν δὲ, βιβλίον ἔχοντα Κικέρωνος ἐν ταῖς χερσὶν, ἐκπλαγέντα τῷ ἱματίῳ περικαλύπτειν· ἰδόντα δὲ Καίσαρα, λαβεῖν καὶ διελθεῖν ἑστῶτα μέρος πολὺ τοῦ βιβλίου, πάλιν δ' ἀποδιδόντα τῷ μειρακίῳ, φάναι· „Λόγιος ἀνὴρ, ὦ παῖ, λόγιος καὶ φιλόπατρις." Ἐπεὶ μέντοι τάχιστα κατεπολέμησεν Ἀντώνιον, ὑπατεύων αὐτὸς εἵλετο συνάρχοντα τοῦ Κικέρωνος τὸν υἱὸν, ἐφ' οὗ τὰς τ' εἰκόνας ἡ βουλὴ ἀνεῖλεν Ἀντωνίου, καὶ τὰς ἄλλας ἠκύρωσε τιμὰς, καὶ προσεψηφίσατο, μηδενὶ τῶν Ἀντωνίων ὄνομα Μάρκον εἶναι. Οὕτω τὸ δαιμόνιον εἰς τὸν Κικέρωνος οἶκον ἐπανήγαγε τὸ τέλος τῆς Ἀντωνίων κολάσεως.

COMPARATIO DEMOSTHENIS CVM CICERONE.

Ἃ μὲν οὖν ἄξια μνήμης τῶν περὶ Δημοσθένους καὶ Κικέρωνος ἱστορουμένων εἰς τὴν ἡμετέραν ἀφῖκται γνῶσιν, ταῦτ' ἐστίν. Ἀφεικὼς δὲ τὸ συγκρῖνειν τὴν ἐν τοῖς λόγοις ἕξιν αὐτῶν, ἐκεῖνό μοι δοκῶ μὴ παρήσειν ἄρρητον, ὅτι Δημοσθένης μὲν εἰς τὸ ῥητορικὸν ἐνέτεινε πᾶν, ὅσον εἶχεν ἐκ φύσεως ἢ ἀσκήσεως λόγιον, ὑπερβαλλόμενος ἐναργείᾳ μὲν καὶ δεινότητι τοὺς ἐπὶ τῶν ἀγώνων καὶ τῶν δικῶν συνεξεταζομένους, ὄγκῳ δὲ καὶ μεγαλοπρεπείᾳ τοὺς ἐπιδεικτικούς, ἀκριβείᾳ δὲ καὶ τέχνῃ τοὺς σοφιστάς· Κικέρων δὲ, καὶ πολυμαθὴς καὶ ποικίλος τῇ περὶ τοὺς λόγους σπουδῇ γενόμενος, συντάξεις μὲν ἰδίας φιλοσόφους ἀπολέλοιπεν οὐκ ὀλίγας εἰς τὸν Ἀκαδημαϊκὸν τρόπον, οὐ μὴν ἀλλὰ καὶ διὰ τῶν πρὸς ἃς δίκας καὶ τοὺς ἀγῶνας γραφομένων λόγων δῆλός ἐστιν ἐμπειρίαν τινὰ γραμμάτων παρεπιδεικνυσθαι βουλόμενος. Ἔστι δέ τις καὶ τοῦ ἤθους ἐν τοῖς λόγοις ἑκατέρου διοψις. Ὁ μὲν γὰρ Δημοσθενικὸς ἔξω παντὸς ὡραϊσμοῦ καὶ παιδιᾶς εἰς δεινότητα καὶ σπουδὴν συνηγμένος, οὐκ ἐλλυχνίων ὄδωδεν, ὥσπερ ὁ Πυθέας ἔσκωπτεν, ἀλλ' ὑδροποσίας καὶ φροντίδων, καὶ τῆς λεγομένης πικρίας τοῦ τρόπου καὶ στυγνότητος· Κικέρων δὲ πολλαχοῦ τῷ σκωπτικῷ πρὸς τὸ βωμολόχον ἐκφερόμε-

νος, καὶ πράγματα σπουδῆς ἄξια γέλωτι καὶ παιδιᾷ κατειρωνευόμενος ἐν ταῖς δίκαις εἰς τὸ χρειῶδες; ἠφείδει τοῦ πρέποντος· ὥσπερ ἐν τῇ Κελίου συνηγορίᾳ μηδὲν ἄτοπον ποιεῖν αὐτὸν ἐν τοσαύτῃ πολυτελείᾳ καὶ τρυφῇ ταῖς ἡδοναῖς χρώμενον· τὸ γὰρ, ὧν ἔξεστι, μὴ μετέχειν, μανικὸν εἶναι, καὶ ταῦτα ἐν ἡδονῇ τὸ εὐδαίμον τῶν ἐπιφανεστάτων φιλοσόφων τιθεμένων. Λέγεται δὲ, Κάτωνος Μουρήναν διώκοντος, ὑπατεύων ἀπολογεῖσθαι, καὶ πολλὰ διὰ τὸν Κάτωνα κωμῳδεῖν τὴν Στωϊκὴν αἵρεσιν ἐπὶ ταῖς ἀτοπίαις τῶν παραδόξων λεγομένων δογμάτων· γέλωτος δὲ λαμπροῦ κατιόντος ἐκ τῶν περιεστώτων πρὸς τοὺς δικαστὰς, ἡσυχῇ διαμειδιάσας ὁ Κάτων πρὸς τοὺς καθημένους εἰπεῖν· „Ὡς γελοῖον, ὦ ἄνδρες, ἔχομεν ὕπατον!“ Δοκεῖ δὲ καὶ γέλωτος οἰκεῖος ὁ Κικέρων γεγονέναι καὶ φιλοσκώπτης· τό τε πρόσωπον αὐτοῦ μειδίαμα καὶ γαλήνην παρεῖχε. Τῷ δὲ Δημοσθένους ἀεί τις ἐπῆν σπουδὴ, καὶ τὸ πεφροντικὸς τοῦτο, καὶ σύννουν οὐ ῥᾳδίως ἀπέλιπεν. Ὅθεν καὶ δύσκολον αὐτὸν οἱ ἐχθροὶ καὶ δύστροπον, ὡς αὐτός φησιν, ἀπεκάλουν.

887 II. Ἔτι τοίνυν ἐν τοῖς συγγράμμασι κατιδεῖν ἔστι, τὸν μὲν ἐμμελῶς καὶ ἀνεπαχθῶς τῶν εἰς αὐτὸν ἀπτόμενον ἐγκωμίων, ὅτε τούτου δέησαι πρὸς ἕτερόν τι μεῖζον, τἄλλα δ' εὐλαβῆ καὶ μέτριον· ἡ δὲ Κικέρωνος ἐν τοῖς λόγοις ἀμετρία τῆς περιαυτολογίας ἀκρασίαν τινὰ κατηγόρει πρὸς δόξαν, βοῶντος, ὡς τὰ ὅπλα ἔδει τῇ τηβέννῳ καὶ τῇ γλώττῃ τὴν θριαμβικὴν ὑπείκειν δαφνην. Τελευτῶν δ' οὐ τὰ ἔργα καὶ τὰς πράξεις μόνον, ἀλλὰ καὶ τοὺς λόγους ἐπαινεῖ τοὺς εἰρημένους ὑπ' αὐτοῦ καὶ γεγραμμένους, ὥσπερ Ἰσοκράτει καὶ Ἀναξιμένει, τοῖς σοφισταῖς, διαμειρακευόμενος, οὐ τὸν Ῥωμαίων δῆμον ἄγειν ἀξιῶν καὶ ὀρθοῦν,

Βριθὺν, ὁπλιτοπάλαν, δαΐων ἀντιπάλοις·

Ἰσχύειν μὲν γὰρ διὰ λόγου τὸν πολιτευόμενον

ἀναγκαῖον, ἀγαπᾶν δ' ἀγεννὲς καὶ λιχνεύειν τὴν ἀπὸ τοῦ λόγου δόξαν. Ὅθεν ἐμβριθέστερος ταύτῃ καὶ μεγαλοπρεπέστερος ὁ Δημοσθένης, τὴν μὲν αὐτοῦ δύναμιν ἐμπειρίαν τινὰ πολλῆς δεομένην τῆς παρὰ τῶν ἀκροωμένων εὐνοίας ἀποφαινόμενος, ἀνελευθέρους δὲ καὶ βαναύσους, ὥσπερ εἰσὶ, τοὺς ἐπὶ τούτῳ φυσωμένους ἡκούμενος.

III. Ἡ μὲν οὖν ἐν τῷ δημηγορεῖν καὶ πολιτεύεσθαι δύναμις ὁμαλῶς ἀμφοτέροις ὑπῆρξεν, ὥστε καὶ τοὺς τῶν ὅπλων καὶ στρατοπέδων κυρίους δεῖσθαι· Δημοσθένους μὲν, Χάρητα καὶ Διοπείθην καὶ Λασθένην· Κικέρωνος δὲ, Πομπήϊον καὶ Καῖσαρα τὸν νέον, ὡς αὐτὸς ὁ Καῖσαρ ἐν τοῖς πρὸς Ἀγρίππαν καὶ Μαικήναν ὑπομνήμασιν εἴρηκεν. Ὃ δὲ δοκεῖ μάλιστα καὶ λέγεται τρόπον ἀνδρὸς ἐπιδεικνύναι καὶ βασανίζειν, ἐξουσία καὶ ἀρχὴ, πᾶν πάθος κινοῦσα, καὶ πᾶσαν ἀποκαλύπτουσα κακίαν, Δημοσθένει μὲν οὐχ ὑπῆρξεν, οὐδ' ἔδωκε τοιαύτην διάπειραν ἑαυτοῦ, μηδεμίαν ἀρχὴν τῶν ἐπιφανῶν ἄρξας, ὃς οὐδὲ τῆς ὑφ' ἑαυτοῦ συντεταγμένης ἐπὶ Φίλιππον ἐστρατήγησε δυνάμεως· Κικέρων δὲ, ταμίας εἰς Σικελίαν, καὶ ἀνθύπατος εἰς Κιλικίαν καὶ Καππαδοκίαν ἀποσταλεὶς, ἐν ᾧ καιρῷ, τῆς φιλοπλουτίας ἀκμαζούσης, καὶ τῶν πεμπομένων στρατηγῶν καὶ ἡγεμόνων, ὡς τοῦ κλέπτειν ἀγεννοῦς ὄντος, ἐπὶ τὸ ἁρπάζειν τρεπομένων, οὐ τὸ λαμβάνειν ἐδόκει δεινὸν, ἀλλ' ὁ μετρίως τοῦτο ποιῶν ἠγαπᾶτο, πολλὴν μὲν ἐπίδειξιν ὑπεροψίας χρημάτων ἐποιήσατο, πολλὴν δὲ φιλανθρωπίας καὶ χρηστότητος. Ἐν αὐτῇ δὲ τῇ Ῥώμῃ, λόγῳ μὲν ἀποδειχθεὶς ὕπατος, ἐξουσίαν δὲ λαβὼν αὐτοκράτορος καὶ δικτάτορος ἐπὶ τοὺς περὶ Κατιλίναν, ἐμαρτύρησεν ἅμα τῷ Πλάτωνι, μαντευομένῳ παῦλαν ἔξειν κακῶν τὰς πόλεις, ὅταν εἰς ταὐτὸ δύναμίς τε μεγάλη καὶ φρόνησις ἔκ τινος τύχης χρηστῆς ἀπαντήσῃ μετὰ δικαιοσύνης. Χρηματίσασθαι τοίνυν ἐπὶ τῷ λόγῳ Δημοσθένης μὲν ἐπιψόγως λέγεται, λογογραφῶν κρύφα τοῖς περὶ Φορμίωνα

να καὶ Ἀπολλόδωρον ἀντιδίκους, καὶ διαβληθεὶς μὲν ἐπὶ τοῖς βασιλικοῖς χρήμασιν, ὄφλων δὲ τῶν Ἁρπαλείων. Εἰ δὲ ταῦτα τοὺς γράφοντας (οὐκ ὀλίγοι δ' εἰσὶν οὗτοι) ψεύδεσθαι φαίημεν, ἀλλ' ὅτι γε πρὸς δωρεὰς βασιλέων σὺν χάριτι καὶ τιμῇ διδομένας ἀντιβλέψαι Δημοσθένης οὐκ ἂν ἐτόλμησεν, οὐδ' ἦν τοῦτο τὸ ἔργον ἀνθρώπου δωτίζοντος ἐπὶ ναυτικοῖς, ἀμήχανον ἀντειπεῖν. Περὶ δὲ Κινέρωνος, ὅτι καὶ Σικελιωτῶν ἀφορισμοῦντι, καὶ βασιλέως τοῦ Κυπραδοκῶν ἀνθιστατεύοντι, καὶ τῶν ἐν Ῥώμῃ φίλων, ὅτ' ἐξέπιπτε τῆς πόλεως, δωρουμένων πολλὰ καὶ δυομένων λαβεῖν, ἀντέσχεν, εἴρηται.

IV. Καὶ μὴν ἥ γε φυγὴ τῷ μὲν αἰσχρὰ, κλοπῆς ἁλόντι, συνέπεσε, τῷ δὲ, κάλλιστον ἔργον, ἀν-
888 θρώπους ἀλιτηρίους ἐκποίησαι τῆς πατρίδος. Διὸ τοῦ μὲν οὐθεὶς λόγος ἐκπίπτοντος, ἐφ' ᾧ δ' ἡ σύγκλητος ἐσθῆτά τε διήλλαξε, καὶ πένθος ἔσχε, καὶ γνώμην ὑπὲρ οὐδενὸς εἰπεῖν ἐπείσθη πρότερον, ἢ Κινέρωνι καθοδον ψηφίσασθαι. Τὴν μέντοι φυγὴν ἀργῶς ὁ Κινέρων διήνεγκεν ἐν Μακεδονίᾳ καθήμενος· τῷ δὲ Δημοσθένει καὶ ἡ φυγὴ μέγα μέρος τῆς πολιτείας γέγονε. Συναγωνιζόμενος γὰρ, ὥσπερ εἴρηται, τοῖς Ἕλλησι, καὶ τοὺς Μακεδόνων πρέσβεις ἐξελαύνων, ἐπῆρτο τὰς πόλεις, πολὺ βελτίων Θεμιστοκλέους καὶ Ἀλκιβιάδου παρὰ τὰς αὐτὰς τύχας φανεὶς πολίτης· καὶ μέντοι κατελθὼν αὖθις ἑαυτὸν ἐπέδωκεν εἰς τὴν αὐτὴν ταύτην πολιτείαν, καὶ διετέλει πολεμῶν πρὸς Ἀντίπατρον καὶ Μακεδόνας. Κινέρωνα δ' ὠνείδισεν ἐν τῇ βουλῇ Λαίλιος, αἰτουμένου Καίσαρος ὑπατείαν μετιέναι παρὰ νόμον, οὔπω γενειῶντος, σιωπῇ καθήμενον. Ἔγραφε δὲ καὶ Βροῦτος, ἐγκαλῶν ᾧ μείζονα καὶ βαρυτέραν πεπαιδοτριβηκότι τυραννίδα τῆς ὑπ' αὐτῶν καταλυθείσης.

V. Ἐπὶ πᾶσι δὲ τῆς τελευτῆς τὸν μὲν ἂν οἰκτείραι τις, ἄνδρα πρεσβύτην δι' ἀγέννειαν ὑπ' οἰκετῶν ἄνω καὶ κάτω περιφερόμενον καὶ περιφεύ-

γοντα τὸν θάνατον καὶ ἀποκρυπτόμενον τοὺς οὐ πολὺ πρὸ τῆς φύσεως ἥκοντας ἐπ' αὐτὸν, εἶτ' ἀποσφαγέντα: τοῦ δ', εἰ καὶ μικρὰ πρὸς τὴν ἱκετείαν ἐνέδωκεν, ἀγαστὴ μὲν ἡ παρασκευὴ τοῦ φαρμάκου καὶ τήρησις, ἀγαστὴ δ' ἡ χρῆσις· ὅτι, τοῦ θεοῦ μὴ παρασχόντος αὐτῷ τὴν ἀσυλίαν, ὥσπερ ἐπὶ μείζονα βωμὸν καταφυγὼν, ἐκ τῶν ὅπλων καὶ τῶν δορυφόρων λαβὼν ἑαυτὸν ᾤχετο, τῆς Ἀντιπάτρου καταγελάσας ὠμότητος.

ΑΡΤΟΞΕΡΞΗΣ.

1011 Ὁ μὲν πρῶτος Ἀρτοξέρξης, τῶν ἐν Πέρσαις βασιλέων πραότητι καὶ μεγαλοψυχίᾳ πρωτεύσας, Μακρόχειρ ἐπεκαλεῖτο, τὴν δεξιὰν μείζονα τῆς ἑτέρας ἔχων· Ξέρξου δ' ἦν υἱός. Ὁ δὲ δεύτερος, περὶ οὗ τάδε γράφεται, Μνήμων ἐπικληθείς, ἐκ θυγατρὸς ἦν ἐκείνου, Δαρείου γὰρ καὶ Παρυσάτιδος παῖδες ἐγένοντο τέσσαρες, πρεσβύτατος μὲν Ἀρτο-
1012 ξέρξης, μετ' ἐκεῖνον δὲ Κῦρος· νεώτεροι δὲ τούτων Ὀστάνης καὶ Ὀξάθρης. Ὁ μὲν οὖν Κῦρος ἀπὸ Κύρου τοῦ παλαιοῦ τοὔνομα ἔσχεν, ἐκείνῳ δ' ἀπὸ τοῦ ἡλίου γενέσθαι φασί· Κῦρον γὰρ καλεῖν Πέρσας τὸν ἥλιον. Ὁ δ' Ἀρτοξέρξης Ἀρσίκας πρότερον ἐκαλεῖτο· καίτοι Δείνων φησὶν, ὅτι Ὀάρτης. Ἀλλὰ τὸν Κτησίαν, εἰ καὶ τἄλλα μύθων ἀπιθάνων καὶ παραφόρων ἐμβέβληκεν εἰς τὰ βιβλία παντοδαπὴν πυλαίαν, οὐκ εἰκός ἐστιν ἀγνοεῖν τοὔνομα τοῦ βασιλέως, παρ' ᾧ διέτριβε, θεραπεύων αὐτὸν καὶ γυναῖκα καὶ μητέρα καὶ παῖδας.

Π. Ὁ μὲν οὖν Κῦρος ἔντονόν τι καὶ σφοδρὸν εὐθὺς ἐκ πρώτης ἡλικίας εἶχεν, ἄτερος δὲ πρᾴοτερος ἐδόκει περὶ πάντα, καὶ ταῖς ὁρμαῖς φύσει μαλακώτερος εἶναι. Γυναῖκα δὲ καλὴν καὶ ἀγαθὴν ἔλαβε μὲν, τῶν γονέων κελευόντων, ἐφύλαξε δὲ, κωλυόντων. Τὸν γὰρ ἀδελφὸν αὐτῆς ἀποκτείνας ὁ

βασιλεὺς ἐβουλεύετο κἀκείνην ἀνελεῖν. Ὁ δ' Ἀρσίκας, τῆς μητρὸς ἱκέτης γενόμενος, καὶ πολλὰ κατακλαύσας, μόλις ἔπεισε μήτ' ἀποκτεῖναι, μήτ' αὐτοῦ διαστῆσαι τὴν ἄνθρωπον. Ἡ δὲ μήτηρ ὑπῆρχε μᾶλλον τὸν Κῦρον φιλοῦσα, καὶ βουλομένη βασιλεύειν ἐκεῖνον. Διὸ καὶ τοῦ πατρὸς νοσοῦντος ἦλθη, μετάπεμπτος ἀπὸ θαλάσσης γενόμενος, παντάπασιν ἀνέβαινεν εὔελπις ὤν, ὡς κακειργασμένης ἐκείνης, διάδοχον αὐτὸν ἀποδειχθῆναι τῆς ἀρχῆς. Καὶ γὰρ εἶχεν εὐπρεπῆ λόγον ἡ Παρυσάτις, ᾧ καὶ Ξέρξης ὁ παλαιὸς ἐχρήσατο, Δημαράτου διδάξαντος, Ἀρσίκαν μὲν ἰδιώτῃ, Κῦρον δὲ βασιλεύοντι Δαρείῳ τεκεῖν. Οὐ μὴν ἔπεισεν, ἀλλ' ὁ πρεσβύτερος ἀπεδείχθη βασιλεύς, Ἀρτοξέρξης μετονομασθείς· Κῦρος δὲ Λυδίας σατράπης καὶ τῶν ἐπὶ θαλάσσης στρατηγός.

III. Ὀλίγῳ δ' ὕστερον, ἢ τελευτῆσαι Δαρεῖον, ἐξήλασεν εἰς Πασαργάδας ὁ βασιλεὺς, ὅπως τελεσθείη τὴν βασιλικὴν τελετὴν ὑπὸ τῶν ἐν Πέρσαις ἱερέων. Ἔστι δὲ θεᾶς πολεμικῆς ἱερὸν, ἣν Ἀθηνᾶ ἄν τις εἰκάσειεν. Εἰς τοῦτο δεῖ τὸν τελούμενον παρελθόντα, τὴν μὲν ἰδίαν ἀποθέσθαι στολὴν, ἀναλαβεῖν δ', ἣν Κῦρος ὁ παλαιὸς ἐφόρει, πρὶν ἢ βασιλεὺς γενέσθαι, καὶ σύκου παλάθης ἐμφαγόντα, τερμίνθου κατατραγεῖν, καὶ ποτήριον ἐκπιεῖν ὀξυγάλακτος. Εἰ δὲ πρὸς τούτοις ἕτερ' ἄττα δρῶσιν, ἄδηλόν ἐστι τοῖς ἄλλοις. Ταῦτα δρᾶν Ἀρτοξέρξου μέλλοντος, ἀφίκετο Τισαφέρνης πρὸς αὐτὸν, ἄγων ἕνα τῶν ἱερέων, ὃς ἐν παισὶ Κύρου τῆς νομιζομένης ἀγωγῆς ἐπιστάτης γενόμενος, καὶ διδάξας μαγεύειν αὐτὸν, οὐδενὸς ἧττον ἐδόκει Περσῶν ἀνιᾶσθαι, μὴ ἀποδειχθέντος ἐκείνου βασιλέως· διὸ καὶ πίστιν ἔσχε κατηγορῶν Κύρου. Κατηγόρει δ', ὡς μέλλοντος ἐνεδρεύειν ἐν τῷ ἱερῷ, καὶ ἐπειδὰν ἐκδύηται τὴν ἐσθῆτα ὁ βασιλεὺς, ἐπιτίθεσθαι καὶ διαφθείρειν αὐτόν. Οἱ μὲν ἐκ ταύτης τῆς διαβολῆς τὴν σύλληψιν γενέσθαι φασὶν, οἱ δὲ καὶ παρελθεῖν τὸν Κῦρον εἰς τὸ ἱερὸν, καὶ προδοθῆναι

κρυπτόμενον ὑπὸ τοῦ ἱερέως. Μέλλοντα δ' αὐτὸν ἤδη ἀποθνήσκειν ἡ μήτηρ περισχοῦσα ταῖς ἀγκάλαις, καὶ τοῖς βοστρύχοις περιελίξασα, καὶ συλλαβοῦσα τὸν ἐκείνου τραχηλον πρὸς τὸν αὑτῆς, ὀδυρομένη πολλὰ καὶ ποτνιωμένη παρητήσατο, καὶ κατέπεμψεν αὖθις ἐπὶ Θάλασσαν οὐκ ἀγαπῶντα τὴν ἀρχὴν ἐκείνην, οὐδὲ μεμνημένον τῆς διέσεως, ἀλλὰ τῆς συλλήψεως, καὶ δι' ὀργὴν σπαργῶντα μᾶλλον, ἢ πρότερον, ἐπὶ τὴν βασιλείαν.

IV. Ἔνιοι δέ φασιν, οὐκ ἀρνούμενον, οἷς ἔλαμβανεν εἰς τὸ καθ' ἡμέραν δεῖπνον, ἀποστῆναι βασιλέως· εὐήθη λέγοντες. Εἰ γὰρ ἄλλο μηδὲν, ἀλλ' ἡ μήτηρ ὑπῆρχε, χρῆσθαι καὶ λαμβάνειν, ὅσα βούλοιτο, τῶν αὐτῆς παρέχουσα καὶ διδοῦσα. Μαρ-
1013 τυρεῖ δὲ τῷ πλούτῳ καὶ τὸ μισθοφορικὸν πολλαχόθι διὰ τῶν φίλων καὶ ξένων αὐτῷ παρατρεφόμενον, ὡς Ξενοφῶν εἴρηκεν. Ἀθρόους μὲν γὰρ οὐ συνῆγεν, ἔτι τὴν παρασκευὴν ἐπικρυπτόμενος, ἀλλαχόθι δ' ἄλλους ἐπὶ πολλαῖς προφάσεσι ξενολογοῦντας εἶχε. Βασιλέως δ' ἥ τε μήτηρ παροῦσα τὰς ὑποψίας ἀφῄρει, καὶ Κῦρος αὐτὸς ἀεὶ θεραπευτικῶς ἔγραφε, τὰ μὲν αἰτούμενος παρ' αὐτοῦ, τὰ δὲ Τισαφέρνους ἀντικατηγορῶν, ὡς δὴ πρὸς ἐκεῖνον αὐτῷ ζήλου καὶ ἀγῶνος ὄντος. Ἦν δέ τις καὶ μέλλησις ἐν τῇ φύσει τοῦ βασιλέως, ἐπεικεια φαινομένη τοῖς πολλοῖς. Ἐν ἀρχῇ δὲ καὶ πάνυ ζηλοῦν ἔδοξε τὴν Ἀρτοξέρξου τοῦ ὁμωνύμου πραότητα, ἡδίω τε ἑαυτὸν παρέχων ἐντυγχάνεσθαι, καὶ περὶ τὸ τιμᾶν καὶ χαρίζεσθαι τὸ κατ' ἀξίαν ὑπερβάλλων· κολάσεως δὲ πάσης ἀφαιρῶν τὸ ὑβρίζον, καὶ ἡδόμενος ἐν τῷ δέχεσθαι χάριτας, οὐχ ἧττον τοῖς διδοῦσιν, ἢ τοῖς λαμβάνουσιν· ἐν δὲ τῷ διδόναι φαινόμενος εὔχαρις καὶ φιλάνθρωπος. Οὐδὲν γὰρ ἦν οὕτω σμικρὸν τι τῶν διδομένων, ὃ μὴ προσεδέξατο προθύμως· ἀλλὰ καὶ ῥόαν μίαν ὑπερφυᾶ μεγέθει προσενέγκαντος Ὠμίσου τινὸς αὐτῷ „Νὴ τὸν Μίθραν," εἶπεν, „οὗτος ὁ ἀνὴρ

καὶ πόλιν ἂν ἐκ μικρᾶς ταχὺ ποιήσειε μεγάλην πιστευθείς."

V. Ἐπεὶ δ', ἄλλων ἄλλα προσφερόντων καθ' ὁδὸν, αὐτουργὸς ἄνθρωπος οὐδὲν ἐπὶ καιροῦ φθάσας εὑρεῖν, τῷ ποταμῷ προσέδραμε, καὶ ταῖν χεροῖν ὑπολαβὼν τοῦ ὕδατος προσήνεγκεν, ἡσθεὶς ὁ Ἀρτοξέρξης φιάλην ἔπεμψεν αὐτῷ χρυσῆν καὶ χιλίους δαρεικούς. Εὐκλείδᾳ δὲ, τῷ Λάκωνι, πολλὰ παῤῥησιαζομένῳ πρὸς αὐτὸν αὐθαδῶς, ἐκέλευσεν εἰπεῖν τὸν χιλίαρχον, ὅτι „Σοὶ μὲν ἔξεστιν εἰπεῖν, ἃ βασιλεῖ βούλει· ἐμοὶ δὲ καὶ λέγειν καὶ ποιεῖν." Ἐν δὲ θήρᾳ τινὶ Τιριβάζου δείξαντος αὐτῷ τὸν κάνδυν ἐσχισμένον, ἠρώτησεν, ὅ τι δεῖ ποιεῖν. Ἐπείνου δὲ εἰπόντος· „Ἄλλον αὐτὸς ἔνδυσαι, τοῦτον δ' ἐμοὶ δός" οὕτως ἐποίησεν, εἰπών· „Δίδωμι μὲν, ὦ Τιρίβαζε, σοὶ τοῦτον, φορεῖν δ' ἀπαγορεύω." Τοῦ δὲ Τιριβάζου μὴ φροντίσαντος, (ἦν γὰρ οὐ πονηρὸς, ὑπόκουφος δὲ καὶ παράφορος) ἀλλὰ τόν τε κάνδυν εὐθὺς ἐκεῖνον ἐνδύντος, καὶ δῶρα χρυσᾶ καὶ γυναικεῖα τῶν βασιλικῶν περιθεμένου, πάντες μὲν ἠγανάκτουν· οὐ γὰρ ἐξῆν· ὁ μέντοι βασιλεὺς κατεγέλασε, καὶ εἶπε· „Δίδωμί σοι καὶ τὰ χρυσία φορεῖν, ὡς γυναικὶ, καὶ τὴν στολὴν, ὡς μαινομένῳ." Τραπέζης δὲ τῆς αὐτοῦ μηδενὸς μετέχοντος, ἀλλ' ἢ μητρὸς βασιλέως, ἢ γαμετῆς γυναικὸς, καθεζομένων τῆς μὲν ὑπ' αὐτὸν, τῆς δὲ μητρὸς ὑπὲρ αὐτὸν, Ἀρτοξέρξης καὶ τοὺς ἀδελφοὺς ἐπὶ τὴν αὐτὴν ἐκάλει τράπεζαν, Ὀστάνην καὶ Ὀξάθρην, νεωτέρους ὄντας. Ἐν δὲ τοῖς μάλιστα κεχαρισμένην ὄψιν παρεῖχε τοῖς Πέρσαις ἡ τῆς γυναικὸς Σιατείρας ἁρμαμαξα, γυμνὴ τῶν παραπετασμάτων ἀεὶ προφερομένη, καὶ διδοῦσα ταῖς δημότισιν ἀπάσασθαι αὐτῆν, καὶ προσελθεῖν· ὅθεν ἠγαπᾶτο τοῖς πολλοῖς ἡ βασίλεια.

VI. Τὸν μέντοι Κῦρον οἱ νεωτεριαταὶ καὶ πολυπράγμονες, ὡς λαμπρὸν ἄνδρα τῇ ψυχῇ καὶ πολεμικὸν διαφερόντως καὶ φιλέταιρον, ᾤοντο· τὰ πράγματα ποθεῖν, καὶ τὸ μέγεθος τῆς ἡγεμονίας

βασιλέως δεῖσθαι φρόνημα καὶ φιλοτιμίαν ἔχοντος. Οὐχ ἧττον οὖν τοῖς ἄνω πιστεύων ὁ Κῦρος, ἢ τοῖς περὶ αὐτὸν, ἐπεχείρει τῷ πολέμῳ· καὶ Λακεδαιμονίοις ἔγραφε παρακαλῶν βοηθεῖν, καὶ συνεκπέμπειν ἄνδρας, οἷς ἔφη δώσειν, ἂν μὲν πεζοὶ παρῶσιν, ἵππους, ἂν δὲ ἱππεῖς, συνωρίδας· ἐὰν δ' ἀγροὺς ἔχωσι, κώμας· ἐὰν δὲ κώμας, πόλεις· μισθοῦ δὲ τοῖς στρατευομένοις οὐκ ἀριθμὸν, ἀλλὰ μέτρον ἔσεσθαι. Μεγαληγορῶν δὲ περὶ αὐτοῦ πολλὰ, καὶ καρδίαν ἔφη τοῦ ἀδελφοῦ φορεῖν βαρυτέ-
1014 ραν, καὶ φιλοσοφεῖν μᾶλλον, καὶ μαγεύειν βέλτιον, οἶνον δὲ πλείονα πίνειν καὶ φέρειν· ἐκεῖνον δ' ὑπὸ δειλίας καὶ μαλακίας ἐν μὲν τοῖς κυνηγεσίοις μηδ' ἐφ' ἵππου, ἐν δὲ τοῖς κινδύνοις μηδ' ἐπὶ τοῦ θρόνου καθῆσθαι. Λακεδαιμόνιοι μὲν οὖν σκυτάλην πρὸς Κλέαρχον ἀπέστειλαν, ὑπηρετεῖν Κύρῳ πάντα κελεύοντες. Ὁ δὲ Κῦρος ἀνέβαινεν ἐπὶ βασιλέα, βαρβαρικὴν τε πολλὴν ἄγων δύναμιν, καὶ μισθοφόρους Ἕλληνας ὀλίγῳ τρισχιλίων καὶ μυρίων ἀποδέοντας, ἄλλας ἐπ' ἄλλαις ποιούμενος προφάσεις τῆς στρατείας. Οὐ μὴν ἔλαθέ γ' εἰς πολὺν χρόνον, ἀλλ' ἦκε βασιλεῖ Τισαφέρνης αὐτάγγελος· καὶ πολὺς θόρυβος εἶχε τὰ βασίλεια, τῆς τε Παρυσάτιδος τὴν πλείστην αἰτίαν τοῦ πολέμου φερομένης, καὶ τῶν φίλων αὐτῆς ἐν ὑποψίᾳ ὄντων καὶ διαβολαῖς. Μάλιστα δ' ἠνία τὴν Παρυσάτιν ἡ Στάτειρα, τῷ πολέμῳ περιπαθοῦσα, καὶ βοῶσα· „Ποῦ νῦν οἱ πίστεις ἐκεῖναι; ποῦ δὲ αἱ δεήσεις, αἷς ἐξελομένη τὸν ἐπιβουλεύσαντα τῷ ἀδελφῷ, πολέμου καὶ κακῶν ἐμπέπληκας ἡμᾶς;“ Ἐκ δὴ τούτων μισοῦσα τὴν Στάτειραν ἡ Παρυσάτις, καὶ φύσει βαρύθυμος οὖσα, καὶ βάρβαρος ἐν ὀργαῖς καὶ μνησικακίαις, ἐπεβούλευεν αὐτὴν ἀνελεῖν. Ἐπεὶ δὲ Λείνων μὲν ἐν τῷ πολέμῳ συντελεσθῆναι τὴν ἐπιβουλὴν εἴρηκε, Κτησίας δ' ὕστερον, οὐν οὔτ' ἀγνοεῖν τὸν χρόνον εἰκὸς ἐστι παρόντα ταῖς πράξεσιν, οὔτε ἑκὼν αἰτίαν εἶχεν ἐκ τοῦ χρόνου μεταστῆσαι τὸ ἔργον, ὡς ἐπράχθη διηγούμενος, οἷα πάσχει πολ-

λάκις ὁ λόγος αὐτοῦ, πρὸς τὸ μυθῶδες καὶ δραματικὸν ἐκτρεπόμενος τῆς ἀληθείας· τοῦτο μὲν, ἣν ἐκεῖνος ἀπέδωκε, χώραν ἔξει.

VII. Κύρῳ δὲ προσιόντι φῆμαι καὶ λόγοι προσέπιπτον, ὡς οὐ μάχεσθαι βασιλέως εὐθὺς ἐγνωκότος, οὐδὲ συνθραμεῖν εἰς χεῖρας αὐτῷ σπεύδοντος, ἀλλ' ἐν Πέρσαις ὑπομένειν, ἄχρις ἂν αἱ δυνάμεις ἐκεῖ πανταχόθεν συνέλθωσι. Καὶ γὰρ τάφρον εὖρος ὀργυιῶν δέκα, καὶ βάθος ἴσων, ἐπὶ σταδίους διὰ τοῦ πεδίου τετρακοσίους ἐνέβαλε. Καὶ ταύτης τε περιεῖδε τὸν Κῦρον ἐντὸς παρελθόντα, καὶ Βαβυλῶνος αὐτῆς οὐ μακρὰν γενόμενον. Τιριβάζου δ', ὥς φασι, πρώτου τολμήσαντος εἰπεῖν, ὡς οὐ δεῖ φυγομαχεῖν· οὐδὲ Μηδίας ἐκστάντα καὶ Βαβυλῶνος, ἀλλὰ καὶ Σούσων, ἐνδύεσθαι τῇ Περσίδι, πολλαπλασίαν μὲν ἔχοντα δύναμιν τῶν πολεμίων, μυρίους δὲ σατράπας καὶ στρατηγοὺς, Κύρου καὶ φρονεῖν καὶ μάχεσθαι βελτίονας, ὥρμησε διαγωνίσασθαι τὴν ταχίστην. Καὶ τὸ μὲν πρῶτον ἐξαίφνης καταφανεὶς ἐνενήκοντα μυριάσι στρατοῦ διακεκοσμημένου λαμπρῶς, τοὺς πολεμίους, ἀσυντάκτους καὶ ἀόπλους διὰ τὸ θαρρεῖν καὶ καταφρονεῖν ὁδοιποροῦντας, ἐξέπληξε καὶ συνετάραξεν, ὥστε σὺν θορύβῳ καὶ βοῇ πολλῇ μόλις εἰς τάξιν καταστα θῆναι τὸν Κῦρον· ἔπειτα σιγῇ καὶ σχέδην ἐπάγων, θαῦμα τοῖς Ἕλλησι τῆς εὐταξίας παρεῖχε, κραυγὰς ἀτάκτους καὶ σκιρτήματα καὶ πολὺν τάραχον αὐτῶν καὶ διασπασμὸν ἐν πλήθει τοσούτῳ προσδεχομένοις. Ἐν δὲ καὶ κατὰ τοὺς Ἕλληνας ἀντέταξε τῶν θρεπανηφόρων τὰ ῥωμαλεώτατα πρὸ τῆς ἑαυτοῦ φάλαγγος, ὡς, πρὶν ἐν χερσὶ γενέσθαι, διακόψοντα τὰς τάξεις βίᾳ τῆς εἰσελάσεως.

VIII. Τὴν δὲ μάχην ἐκείνην πολλῶν μὲν ἀπηγγελκότων, Ξενοφῶντος δὲ μονονουχὶ δεικνύοντος ὄψει, καὶ τοῖς πράγμασιν, ὡς οὐ γεγενημένοις, ἀλλὰ γινομένοις, ἐφιστάντος ἀεὶ τὸν ἀκροατὴν ἐν πάθει καὶ συγκινδυνεύοντα διὰ τὴν ἐνάργειαν· οὐκ ἔστι νοῦν ἔχοντος ἐπεξηγεῖσθαι, πλὴν ὅσα τῶν ἀξίων λόγου

παρῆλθεν εἰπεῖν ἐκεῖνον. Ὁ μὲν οὖν τόπος, ἐν ᾧ
1015 παρετάξαντο, Κούναξα καλεῖται, καὶ Βαβυλῶνος
ἀπέχει σταδίους πεντακοσίους. Κῦρον δὲ πρὸ τῆς
μάχης Κλέαρχον παρακαλοῦντος ἐξόπισθεν τῶν Λα-
κεδαιμονίων εἶναι, καὶ μὴ κινδυνεύειν αὐτὸν, εἰ-
πεῖν φασί· „Τί λέγεις, ὦ Κλέαρχε; σὺ κελεύεις με,
τὸν βασιλείας ὀρεγόμενον, ἀνάξιον εἶναι βασιλείας;“
Ἁμαρτόντος δὲ Κύρου μέγα τῷ δύνασθαι προπετῶς
εἰς μέσα τὰ δεινὰ καὶ μὴ φυλάξασθαι τὸν κίνδυ-
νον, οὐχ ἧττον ἥμαρτεν, εἰ καὶ μὴ μᾶλλον, Κλέαρ-
χος, ἀνιστάξας κατὰ τὸν βασιλέα μὴ θελήσας τοὺς
Ἕλληνας, ἀλλὰ προσμίξας τῷ ποταμῷ τὸ δεξιὸν,
ὡς μὴ κυκλωθείη. Τὴν γὰρ ἀσφάλειαν ἐξ ἅπαντος
διώκοντα, καὶ πλεῖστον λόγον ἔχοντα τοῦ μηδὲν πα-
θεῖν, οἷος μένειν ἦν πράτιστος. Ὁ δὲ μυρίους
σταδίους ἀπὸ θαλάσσης ἐν ὅπλοις ἀναβαίνειν, μη-
δενὸς ἀναγκάζοντος, ἀλλ' ὅπως Κῦρον εἰς τὸν θρό-
νον καθίσῃ τὸν βασίλειον, εἶτα περισκοπῶν χώραν
καὶ τάξιν, οὐκ ἀφ' ἧς σώσει τὸν ἡγεμόνα καὶ μι-
σθοδότην, ἀλλ' ἐν τίνι θέμενος ἑαυτὸν ἀσφα-
λῶς μαχεῖται καθ' ἡσυχίαν, ὅμοιος ἦν ὑπὸ
δέους τῶν παόντων ἐκβεβληκότι τοὺς περὶ τῶν
ὅλων λογισμούς, καὶ προϊδομένῳ τὴν τῆς στρατείας
ὑπόθεσιν. Ὅτι γὰρ οὐδεὶς ἂν ὑπέμεινε τῶν τε-
ταγμένων περὶ βασιλέα τοὺς Ἕλληνας ἐμπεσόντας,
ἀσθένων δ' ἐκείνων καὶ βασιλέως φυγόντος,
ἢ πεσόντος, ὑπῆρχε Κύρῳ νικῶντι σώζε-
σθαι καὶ βασιλεύειν, ἐν τῶν πεπραγμένων δῆλόν
ἐστι. Διὸ τὴν Κλεάρχου μᾶλλον εὐλάβειαν, ἢ τὸ Κύ-
ρου θράσος, αἰτιατέον, ὡς τὰ πράγματα καὶ Κῦ-
ρον ἀπολέσασα. Εἰ γὰρ αὐτὸς ἐσκόπει βασιλεύς,
ὅπου τάξας τοὺς Ἕλληνας ἀβλαβεστάτους χρήσεται
πολεμίοις, οὐκ ἂν ἐξεῦρεν ἑτέραν, ἢ τὴν ἀπωτάτω
χώραν ἑαυτοῦ καὶ τῶν περὶ ἑαυτὸν ἀφ' ἧς οὔτε νε-
νῑκηθεὶς αὐτὸς ἦσθετο, καὶ Κῦρος ἔφθη κακοπείσῃ,
ἢ χρησάμενός τι τῇ Κλεάρχου γνώμῃ. Καίτοι Κῦρος
τὸ συμφέρον οὐκ ἠγνόησεν, ἀλλ' ἐπεὶ Κλέαρχον ἐπέ-

λεῦε τάττεσθαι, κατὰ μέσον. Ὁ δ' αὐτῷ μέλειν εἰπὼν, ὅπως ἕξει κάλλιστα, τὸ πᾶν διέφθειρεν.

IX. Οἱ μὲν γὰρ Ἕλληνες, ὅσον ἐβούλοντο, τοὺς βαρβάρους ἐνίκων, καὶ διώκοντες ἐπὶ τὸ πλεῖστον προῆλθον· Κύρῳ δὲ γενναῖον ἵππον, ἄστομον δὲ καὶ ὑβριστὴν, ἐλαύνοντι, Πασάκαν καλούμενον, ὡς Κτησίας φησὶν, ἀντεξήλασεν ὁ Καδουσίων ἄρχων, Ἀρταγέρσης, μέγα βοῶν· „Ὦ τὸ κάλλιστον ἐν Πέρσαις ὄνομα Κύρου καταισχύνων, ἀδικώτατε ἀνδρῶν καὶ ἀφρονέστατε, κακοὺς μὲν Ἕλληνας ἔρχῃ κακὴν ὁδὸν ἄγων ἐπὶ τὰ Περσῶν ἀγαθά· δεσπότην δὲ σεαυτοῦ καὶ ἀδελφὸν ἐλπίζων ἀναιρήσειν, ὃς σοῦ μυριάκις μυρίους δούλους ἔχει κρείσσονας. Αὐτίκα δὲ πειράσῃ· πρότερον γὰρ ἀπολεῖς ἐνταῦθα τὴν σεαυτοῦ κεφαλὴν, ἢ θεάσασθαι τὸ βασιλέως πρόσωπον." Ταῦτ' εἰπὼν, ἐξηκόντισεν ἐπ' αὐτόν. Ὁ δὲ θώραξ στερεῶς ἀντέσχε, καὶ οὐκ ἐτρώθη μὲν ὁ Κῦρος, ἐκραδάνθη δὲ, τῆς πληγῆς ἰσχυρᾶς προσπεσούσης. Ἀποστρέψαντος δὲ τὸν ἵππον τοῦ Ἀρταγέρσου, βαλὼν ὁ Κῦρος ἔτυχε, καὶ διήλασε παρὰ τὴν κλεῖδα διὰ τοῦ τραχήλου τὴν αἰχμήν. Τὸν μὲν οὖν Ἀρταγέρσην ἀποθανεῖν ὑπὸ Κύρου σχεδὸν ἅπαντες ὁμολογοῦσι· περὶ δὲ τῆς αὐτοῦ Κύρου τελευτῆς ἐπεὶ Ξενοφῶν ἁπλῶς καὶ συντόμως, ἅτε δὴ μὴ παρὼν αὐτὸς, εἶπεν, οὐδὲν ἴσως κωλύει, τὰ Δείνωνος ἰδίᾳ, καὶ πάλιν τὰ Κτησίου διελθεῖν.

X. Φησὶν οὖν ὁ μὲν Δείνων, ὅτι, τοῦ Ἀρταγέρσου πεσόντος, εἰσελάσας βιαίως ὁ Κῦρος εἰς τοὺς προτεταγμένους τοῦ βασιλέως, κατέτρωσεν αὐτοῦ τὸν ἵππον, ὁ δ' ἀπερρύη· Τιριβάζου δ' ἀναβαλόντος αὐτὸν ἐπ' ἄλλον ἵππον ταχὺ, καὶ εἰπόντος αὐτῷ· „Ὦ βασιλεῦ, μέμνησο τῆς ἡμέρας ταύτης· 1016
οὐ γὰρ ἀξία λήθης ἐστί·" πάλιν ὁ Κῦρος ἐνσείσας τῷ ἵππῳ κατέβαλε τὸν Ἀρτοξέρξην. Πρὸς δὲ τὴν τρίτην ἐπέλασιν δυσανασχετήσας ὁ βασιλεὺς, καὶ εἰπὼν πρὸς τοὺς παρόντας, ὡς βέλτιόν ἐστι μὴ ζῆν, ἀντεξήλαυνε τῷ Κύρῳ προπετῶς καὶ ἀπερισκέπτως

εἰς ἐναντία βέλη φερομένῳ. Καὶ βάλλει μὲν αὐτὸς ἀκοντίῳ, βάλλουσι δ' οἱ περὶ αὐτόν. Πίπτει δ' ὁ Κῦρος· ὡς μὲν ἔνιοι λέγουσι, πληγεὶς ὑπὸ τοῦ βασιλέως· ὡς δ' ἕτεροί τινες, Κᾶρος ἀνθρώπου πατάξαντος, ᾧ γέρας ἔδωκε τῆς πράξεως ταύτης ὁ βασιλεὺς, ἀλεκτρυόνα χρυσοῦν ἐπὶ δόρατος ἀεὶ πρὸ τῆς τάξεως ἐν ταῖς στρατείαις νομίζειν. Καὶ γὰρ αὐτοὺς τοὺς Κᾶρας ἀλεκτρυόνας οἱ Πέρσαι, διὰ τοὺς λόφους, οἷς κοσμοῦσι τὰ κράνη, προσηγόρευον.

XI. Ἡ δὲ Κτησίου διήγησις, ὡς ἐπιτεμόντα πολλὰ συντόμως ἀπαγγεῖλαι, τοιαύτη τις ἐστί. Κῦρος, ἀποκτείνας Ἀρταγέρσην, ἤλαυνεν εἰς αὐτὸν βασιλέα τὸν ἵππον, καὶ αὐτὸς εἰς ἐκεῖνον, ἀμφότεροι σιωπῇ. Φθάνει δὲ βάλλων Ἀριαῖος, ὁ Κύρου φίλος, βασιλέα, καὶ οὐκ ἔτρωσε. Βασιλεὺς δ' ἀφεὶς τὸ δόρυ, Κύρου μὲν οὐκ ἔτυχε, Τιταφέρνην δὲ, πιστὸν ἄνδρα Κύρῳ καὶ γενναῖον, ἔβαλε καὶ κατέκτεινε. Κῦρος δ' ἐπ' αὐτὸν ἐξακοντίσας, διὰ τοῦ θώρακος ἔτρωσε τὸ στῆθος, ὅσον ἐνδῦναι δύο δακτύλους τὸ ἀκόντιον, πεσεῖν δ' αὐτὸν ὑπὸ τῆς πληγῆς ἀπὸ τοῦ ἵππου. Φυγῆς δὲ καὶ ταραχῆς τῶν περὶ αὐτὸν γενομένης, ὁ μὲν ἀναστὰς μετ' ὀλίγων, ἐν οἷς καὶ Κτησίας ἦν, λόφον τινὰ πλησίον καταλαβὼν ἡσύχαζε· Κῦρον δὲ τοῖς πολεμίοις ἐνειλούμενον ὁ ἵππος ἐξέφερεν ὑπὸ θυμοῦ μακρὰν, ἤδη σκότους ὄντος, ἀγνοούμενον ὑπὸ τῶν πολεμίων, καὶ ζητούμενον ὑπὸ τῶν φίλων. Ἐπαιρόμενος δὲ τῇ νίκῃ, καὶ μεστὸς ὢν ὁρμῆς καὶ θράσους, διεξήλαυνε βοῶν· „Ἐξίστασθε, πενιχροί.“ Τοῦτο δὲ Περσιστὶ πολλάκις αὐτοῦ βοῶντος, οἱ μὲν ἐξίσταντο προσκυνοῦντες· ἀποπίπτει δὲ τῆς κεφαλῆς ἡ τιάρα τοῦ Κύρου, καὶ παρατρέχων νεανίας Πέρσης, ὄνομα Μιθριδάτης, ἀκοντίῳ βάλλει τὸν κρόταφον αὐτοῦ παρὰ τὸν ὀφθαλμὸν, ἀγνοῶν, ὅστις εἴη. Πολὺ δ' αἷμα τοῦ τραύματος ἐκβαλόντος, ἰλιγγιάσας καὶ καρωθεὶς ὁ Κῦρος ἔπεσε. Καὶ ὁ μὲν ἵππος ὑπεκφυγὼν ἐπλάζετο· τὸν δ' ἐφίππειον πῖλον ἀποῤῥύεντα λαμβάνει τοῦ τὸν Κῦρον βαλόντος

ἀπόλυσθος, αἵματος περίπλεω. Τὸν δὲ Κῦρον ἐπὶ τῆς πληγῆς ἀναφέροντα χαλεπῶς καὶ μόλις, εὐπού-χοί τινες παρόντες ὀλίγοι ἐπεχείρουν ἐπ' ἄλλον ἵπ-πον ἀναθέσθαι καὶ σώζειν. Ὁ δ' Ἀδυνάτως δ' ἔχοντα, καὶ δι' αὐτοῦ προθυμούμενον βαδίζειν, ὑπολαβόντες ἦγον· τῷ μὲν σώματι παρηβαροῦντα καὶ σφαλλόμε-νον, οἰόμενον δὲ νικᾶν, ἀπούρατα τῶν φευγόντων ἀναπαλυομένων Κῦρον βασιλέα, καὶ φείδεσθαι δεο-μένων. Ἐν δὲ τούτῳ Καύνιοί τινες ἄνθρωποι καὶ κόβιοι καὶ ἄπορον, καὶ ταπεινῶν ὑπουργημάτων ἔνε-κα τῇ τοῦ βασιλέως στρατιᾷ παρακολουθοῦντες, ἔτυ-χον συναναμιχθέντες οἷς φίλοι τοῖς περὶ τὸν Κῦρον. Ὡς δὲ μόλις συνεῖδον τὰ ἐπιθωρακίδια φοινικᾶ, λευ-κοῖς χρωμένων πᾶν βασιλικῶν ἁπάντων, ἔγνωσαν πολεμίους ὄντας. Εἰς οὖν ἐκείνων ἐτόλμησεν ἀγνοῶν ἐξόπισθεν βαλεῖν τὸν Κῦρον ἀκοντίῳ. Τῆς δὲ περὶ τὴν ἰγνύην φλεβὸς ἀναῤῥαγείσης, πεσὼν ὁ Κῦρος, ἅμα παίει πρός τινι λίθῳ τὸν τετρωμένον κρόκαφον, καὶ ἀποθνήσκει. Τοιοῦτος μὲν ὁ Κτησίου λόγος, ὡς καθάπερ ἀμβλεῖ ξιφιδίῳ, μόλις ἀναιρῶν τὸν ἀνδρα-πον ἀπήρτισεν.

XII. Ἤδη δ' αὐτοῦ τεθνηκότος, Ἀρτασύρας, ὁ βασιλέως ὀφθαλμὸς, ἔτυχεν ἵππῳ παρελαύνων. Γνωρίσας οὖν τοὺς εὐνούχους ὀλοφυρομένους, ἠρώ-τησε τὸν πιστότατον αὐτῶν· „Τίνα τοῦτον, ὦ Παρίσκα, κλαίεις παρακαθήμενος;“ Ὁ δ' εἶπεν· „Οὐχ ὁρᾷς, ὦ Ἀρτασύρα, Κῦρον τεθνηκότα;“ Θαυ-μάσας οὖν ὁ Ἀρτασύρας, τῷ μὲν εὐνούχῳ θαῤῥεῖν παρεκελεύσατο καὶ φυλάττειν τὸν νεκρόν· αὐτὸς δὲ συντείνας πρὸς τὸν Ἀρταξέρξην, ἀπεγυμνάτο μὲν ἤδη τὰ πράγματα, κακῶς δὲ καὶ τὸ σῶμα διακείμε-νον ὑπό τε δίψης καὶ τοῦ τραύματος, χαίρων φράζει, ὡς αὐτὸς ἴδοι τεθνηκότα Κῦρον. Ὁ δὲ πρῶτον μὲν εὐθὺς ὥρμησεν αὐτὸς ἰέναι, καὶ τὸν Ἀρτασύραν ἄγειν ἐκέλευσεν ἐπὶ τὸν τάφον· ἐπεὶ δὲ πολὺς ἦν λόγος τῶν Ἑλλήνων καὶ φόβος, ὡς διωκόντων, καὶ πάντα νικώντων καὶ κρατούντων, ἔδοξε πλείονας πέμ-ψαι τοὺς κατοψομένους· καὶ κριάκοντα λαμπάδας

ἔχοντες, ἐπέμφθησαν. Αὐτῷ δὲ, μικρὸν ἀπολείποντι τοῦ τεθνάναι διὰ τὸ διψῆν, Σατιβαρζάνης, ὁ εὐνοῦχος, περιθέων ἐζήτει ποτόν· οὐ γὰρ εἶχε τὸ χωρίον ὕδωρ, καὶ οὐδ' ἦν ἐγγὺς τὸ στρατόπεδον. Μόλις οὖν ἐπιτυγχάνει τῶν Καυνίων ἐκείνων τῶν κακοβίων ἑνὸς, ἐν ἀσκίῳ φαύλῳ διεφθαρμένον ὕδωρ καὶ πονηρὸν ἔχοντος, ὅσον ὀκτὼ κοτύλας· καὶ λαβὼν τοῦτο καὶ κομίσας βασιλεῖ δίδωσιν. Ἐκπιόντα δ' ἅπαν ἠρώτησεν, εἰ μὴ πάνυ δυσχεραίνοι τὸ ποτόν. Ὁ δ' ὤμοσε τοὺς θεοὺς, μήτ' οἶνον ἡδέως οὕτως πώποτε πεπωκέναι, μήτε ὕδωρ τὸ κουφότατον καὶ καθαρώτατον· „Ὥστε," ἔφη, „τὸν δόντα σοι τοῦτο ἄνθρωπον ἂν ἐγὼ μὴ δυνηθῶ ζητήσας ἀμείψασθαι, τοὺς θεοὺς εὔχομαι ποιῆσαι μακάριον καὶ πλούσιον."

XIII. Ἐν δὲ τούτῳ προσήλαυνον οἱ τριάκοντα λαμπροὶ καὶ περιχαρεῖς, ἀναγγέλλοντες αὐτῷ τὴν ἀνέλπιστον εὐτυχίαν. Ἤδη δὲ καὶ πλήθει τῶν συντρεχόντων πάλιν πρὸς αὐτὸν καὶ συνισταμένων ἐθάρρει, καὶ κατέβαινεν ἀπὸ τοῦ λόφου φωτὶ πολλῷ περιλαμπόμενος. Ὡς δ' ἐπέστη τῷ νεκρῷ, καὶ κατὰ δή τινα νόμον Περσῶν ἡ δεξιὰ χεὶρ ἀπεκόπη καὶ ἡ κεφαλὴ τοῦ σώματος, ἐκέλευσε τὴν κεφαλὴν αὐτοῦ κομισθῆναι· καὶ τῆς κόμης δραξάμενος οὔσης βαθείας καὶ λασίας, ἐπεδείκνυε τοῖς ἀμφιδοξοῦσιν ἔτι καὶ φεύγουσιν. Οἱ δ' ἐθαύμαζον καὶ προσεκύνουν· ὥστε ταχὺ μυριάδας ἑπτὰ περὶ αὐτὸν γενέσθαι, καὶ συνεισελάσαι πάλιν εἰς τὸ στρατόπεδον. Ἐξεληλάκει δ', ὡς ὁ Κτησίας φησὶν, ἐπὶ τὴν μάχην τεσσαράκοντα μυριάσιν. Οἱ δὲ περὶ Δείνωνα καὶ Ξενοφῶντα πολὺ πλείονας γενέσθαι λέγουσι τὰς μεμαχημένας. Ἀριθμὸν δὲ νεκρῶν ὁ Κτησίας ἐννακισχιλίους ἀνενεχθῆναί φησι πρὸς τὸν Ἀρτοξέρξην, αὐτῷ δὲ δισμυρίων οὐκ ἐλάττους φανῆναι τοὺς κειμένους. Ταῦτα μὲν οὖν ἔχει διαμφισβήτησιν· ἐκεῖνο δὲ τοῦ Κτησίου λαμπρὸν ἤδη ψεῦσμα, τὸ πεμφθῆναι φάναι πρὸς τοὺς Ἕλληνας αὐτὸν μετὰ Φαλήνου, τοῦ Ζακυνθίου, καὶ τινων ἄλλων. Ὁ γὰρ Ξενοφῶν

ἡδίστατο συνδιατρίβοντα βασιλεῖ Κτησίαν· μέμνηται γὰρ αὐτοῦ, καὶ τοῖς βιβλίοις τούτοις ἐντευχτικῶς δῆλός ἐστιν. Οὐκ ἂν οὖν ἐλθόντα, καὶ λόγων τοσούτων ἐρμηνέα γενόμενον, παρῆκεν ἀνώνυμον, Φάληνον δὲ, τὸν Ζακύνθιον, ὠνόμαζεν. Ἄλλα δαιμονίως ὁ Κτησίας, ὡς ἔοικε, φιλότιμος ὢν, καὶ οὐχ ἧττον φιλολάκων καὶ φιλοπολέαρχος, ἀεί τινας ἐν τῇ διηγήσει χώρας ἑαυτῷ δίδωσιν· ἐν αἷς γενόμενος πολλὰ καὶ καλὰ μεμνήσεται Κλεάρχου καὶ τῆς Λακεδαιμονίων.

XIV. Μετὰ δὲ τὴν μάχην ὧδε πάλιστα μὲν ἐξέπεμψε καὶ μέγιστα τῷ Ἀρταγέρσου παιδὶ, τοῦ πεσόντος ὑπὸ Κύρου· καλῶς δὲ καὶ Κτησίαν καὶ τοὺς ἄλλους ἐτίμησε. Τὸν δὲ Κυνίσκον ἐκεῖνον ἐξανευρὼν, ὃς ἐπέδωκε τὸ ἀσπίον, ἐξ ἀδόξου καὶ πένητος ἔντιμον καὶ πλούσιον ἐποίησεν. Ἦν δέ τις ἐμμέλεια καὶ περὶ τὰς τῶν ἐξαμαρτόντων διατιμήσεις. Ἀρβάκην μὲν γάρ τινα Μῆδον, ἐν τῇ μάχῃ πρὸς 1018
Κῦρον φρονήσαντα, καὶ πάλιν, ἐκείνου πεσόντος, μεταστάντα, δειλίαν καὶ μαλακίαν κατηγγυᾶς, οὐ προδοσίαν, οὐδὲ παρανοίαν, ἐκέλευσε γυμνὸν ἀναιλεβόντα πόρνην περιβάδην ἐπὶ τοῦ τραχήλου δι' ἡμέρας ὅλης ἐν ἀγορᾷ περιφέρειν. Ἑτέρου δὲ πρὸς τῷ μεταστῆναι φευσαμένου καταβαλεῖν δύο τῶν πολεμίων, προσέταξε διαπεῖραι τρυσὶ βελόναις τὴν γλῶτταν. Οἰόμενος δὲ καὶ βουλόμενος δοκεῖν καὶ λέγειν πάντας ἀνθρώπους, ὡς αὐτὸς ἀπέκτονεν Κῦρον, Μιθριβάτῃ τε, τῷ βαλόντι πρώτῳ Κῦρον, ἐξέπεμψε δῶρα, καὶ λέγειν ἐκέλευσε τοὺς διδόντας, ὡς „Τοῦτος σε τιμᾷ ὁ βασιλεὺς, ὅτι τὸν ἐφίππιον Κύρου πῖλον εὑρὼν ἀνήνεγκας“ τοῦ δὲ Κωρὸς, ὑφ' οὗ τὴν ἐγνύαν πληγεὶς ὁ Κῦρος ἔπεσε, καὶ αὐτοῦ δωρεὰν αἰσθόμενος, ἐκέλευσεν ἐπεῖν νοὺς διδόντας, ὅτι „Σοὶ ταῦτα δίδωσι βασιλεὺς εὐαγγελίων δευτερεῖα· πρῶτος γὰρ Ἀρτασύρας, μετ' ἐκεῖνον δὲ σὺ τὴν Κύρου τέλευτὴν ἀπήγγειλας.“ Ὁ μὲν οὖν Μιθριβάτης ἀπῆλθε σιωπῇ λυπούμενος· τὸν δ' ἄθλιον Κῶρα καινόν τι πάθος ἐξ ἀβελτερίας κατέσχε. Λιν-

φθαρεὶς γὰρ ὑπὸ τῶν παρόντων, ὡς ἔοικεν, ἀγαθῶν, καὶ ἀναπεισθεὶς εὐθὺς ἀντιποιεῖσθαι τῶν ὑπὲρ αὐτὸν, οὐκ ἠξίου τὰ δοθέντα μισθὸν εὐαγγελίων ἔχειν, ἀλλ' ἠγανάκτει μαρτυρόμενος καὶ βοῶν, ὅτι Κῦρον οὐδεὶς ἕτερος, ἀλλ' αὐτὸς, ἀπεκτόνοι, καὶ τὴν δόξαν οὐ δικαίως ἀποστεροῖτο. Ταῦτα δ' ἀκούσας ὁ βασιλεὺς, σφόδρα παρωξύνθη, καὶ τὴν κεφαλὴν ἐκέλευσεν ἀποτεμεῖν τοῦ ἀνθρώπου. Παροῦσα δ' ἡ μήτηρ· „Μὴ σύ γ'," εἶπεν, „οὗτον τὸν Κᾶρα τοῦτον, ὦ βασιλεῦ, τὸν ὄλεθρον ἀπαλλάξῃς, ἀλλὰ παρ' ἐμοῦ τὸν ἄξιον ἀπολήψεται μισθὸν, ὧν τολμᾷ λέγειν." Ἐπιτρέψαντος δὲ τοῦ βασιλέως, ἐκέλευσε τοὺς ἐπὶ τῶν τιμωριῶν ἡ. Παρυσάτις λαβόντας τὸν ἄνθρωπον, ἐφ' ἡμέρας δέκα στρεβλοῦν, εἶτα τοὺς ὀφθαλμοὺς ἐξορύξαντας, εἰς τὰ ὦτα θερμὸν ἐντήκειν χαλκὸν, ἕως ἀποθάνοι.

XV. Κακῶς δ' ἀπώλετο καὶ Μιθριδάτης μετ' ὀλίγον χρόνον ἐκ τῆς αὐτοῦ ἀβελτερίας. Κληθεὶς γὰρ ἐπὶ δεῖπνον, ἔνθα καὶ βασιλέως καὶ τῆς μητρὸς εὐνοῦχοι παρῆσαν, ἦκεν ἐσθῆτι καὶ χρυσῷ κεκοσμημένος, οἷς ἔλαβε παρὰ βασιλέως. Ἐπεὶ δ' εἰς τὸ πίνειν ἀφίκοντο, λέγει πρὸς αὐτὸν ὁ μέγιστον δυνάμενος τῶν Παρυσάτιδος εὐνούχων „Ὡς καλὴν μὲν ἐσθῆτά σοι ταύτην, ὦ Μιθριδάτα, ὁ βασιλεὺς δέδωκε, καλὰ δὲ στρεπτὰ καὶ ψέλια· πολλοῦ δ' ἄξιος ὁ ἀκινάκης! Ἦ μακαρίων σε καὶ περιβλεπτον ἅπασι πεποίηκεν." Ἤδη δὲ μεθύων ὁ Μιθριδάτης· „Τί δὲ ταῦτ' ἐστιν," εἶπεν, „ὦ Σπαραμίξη; μειζόνων γὰρ ἐγὼ καὶ καλλιόνων βασιλεῖ τὴν ἡμέραν ἐκείνην ἄξιον ἐμαυτὸν παρέσχον." Καὶ ὁ Σπαραμίξης ἐπιμειδιάσας· „Φθόνος μὲν οὐδεὶς, ὦ Μιθριδάτα," εἶπεν· „ἐπεὶ δὲ φασιν Ἕλληνες, οἶνον καὶ ἀλήθειαν εἶναι, τί λαμπρὸν, ὦ ταν, ἢ μέγα, πῖλον εὑρεῖν ἵππου περιῤῥύεντα, καὶ τοῦτον ἀνενεγκεῖν;" Ταῦτα δ' οὐκ ἀγνοῶν τὸ ἀληθὲς ἔλεγεν, ἀλλὰ βαυλόμενος ἐκκαλύψαι πρὸς τοὺς παρόντας, ὑπεκίνει τὴν μοιχότητα τοῦ ἀνθρώπου, λά-

λου καὶ ἀκρατοῦς γεγονότος διὰ τὸν οἶνον. Εἶπεν οὖν μὴ κατασχών· „Ὑμεῖς μέν, ὅ τι βούλεσθε, πίλους λέγετε καὶ φλυάρους· ἐγὼ δ' ὑμῖν λέγω διαῤῥήδην, ὑπὸ ταύτης ἀνῃρῆσθαι Κῦρον τῆς χειρός. Οὐ γάρ, ὡς Ἀρταγέρσης, ἠφάνισα κενὸν καὶ μάταιον, ἀλλὰ τοῦ μὲν ὀφθαλμοῦ μικρὸν ἥμαρτον, τοῦ δὲ προτάφου τυχὼν καὶ διελάσας, κατέβαλόν τὸν ἄνδρα· καὶ τέθνηκεν ὑπ' ἐκείνου τοῦ τραύματος." Οἱ μὲν οὖν ἄλλοι τὸ τέλος ἤδη τοῦ Μιθριδάτου καὶ τὴν κακοδαιμονίαν ὁρῶντες, εἰς τὴν γῆν ἔκυψαν· ὁ δ' ἑστιῶν αὐτοὺς· „Ὦ τᾶν," ἔφη, „Μιθριδάτα, πίνωμεν ἐν τῷ παρόντι καὶ ἐσθίωμεν, τὸν βασιλέως δαίμονα προσκυνοῦντες, λόγους δὲ μελλοντας, ἢ καθ' ἡμᾶς, ἐάσωμεν." 1019

XVI. Ἐκ τούτου τῷ μὲν Παρυσάτιδι φράζει τὸν λόγον ὁ εὐνοῦχος, ἐκείνη δὲ βασιλεῖ βασιλεὺς ὃ ἠγανάκτησεν, ὥσπερ ἐλεγχόμενος, καὶ τὸ κάλλιστον καὶ ἥδιστον ἀπολύειν τῆς νίκης. Ἐβούλετο γὰρ βαρβάρους ἅπαντας πεπεῖσθαι καὶ Ἕλληνας, ὡς ἐν παῖς ἐξελάσειε καὶ συμπλοκαῖς δοὺς καὶ λαβὼν πληγήν, ἐτρώθη μὲν αὐτὸς, ἔκτεινε δ' ἐκεῖνον. Ἐκέλευσε γοῦν τὸν Μιθριδάτην ἀποθανεῖν σκαφευθέντα. Τὸ δὲ σκαφευθῆναι τοιοῦτόν ἐστι· σκάφας δύο πεποιημένας ἐφαρμόζειν ἀλλήλοις λαβόντες, εἰς τὴν ἑτέραν κατακλίνουσι τὸν κολαζόμενον ὕπτιον· εἶτα τὴν ἑτέραν ἐπάγοντες καὶ συναρμόζοντες, ὥστε τὴν κεφαλὴν καὶ τὰς χεῖρας ἔξω καὶ τοὺς πόδας ἀπολαμβάνεσθαι, τὸ δ' ἄλλο σῶμα πᾶν ἀποκεκρύφθαι, διδόασιν ἐσθίειν τῷ ἀνθρώπῳ, κἂν μὴ θέλῃ, προσβιάζονται, κεντοῦντες τὰ ὄμματα· φαγόντι δὲ, πιεῖν μέλι καὶ γάλα συγκεκραμένον ἐγχέουσιν εἰς τὸ στόμα, καὶ κατὰ τοῦ προσώπου κατεχέουσιν. Εἶτα πρὸς τὸν ἥλιον ἀεὶ στρέφουσιν ἐναντία τὰ ὄμματα, καὶ μυιῶν προσκαθημένων πλῆθος πᾶν ἀποκρύπτεται τὸ πρόσωπον. Ἐντὸς δὲ παιοῦντος, ὅσα ποιεῖν ἀναγκαῖόν ἐστιν ἐσθίοντας ἀνθρώπους καὶ πίνοντας, εὐλαὶ καὶ σκώληκες ὑπὸ φθορᾶς καὶ σηπεδόνος ἐκ τοῦ περιττώματος

ἀναζέουσιν, ὑφ' ὧν ἀναλίσκεται τὸ σῶμα διαδυομένων εἰς τὰ ἐντός. Ὅταν γὰρ ἤδη φανερῶς ᾖ τεθνηκὼς ὁ ἄνθρωπος, ἀφαιρεθείσης τῆς ἐπάνω σκάφης, ὁρῶσι τὴν μὲν σάρκα κατεδηδεσμένην, περὶ δὲ τὰ σπλάγχνα τοιούτων θηρίων ἐσμοὺς ἐσθιόντων καὶ προσπεφυκότων. Οὕτως ὁ Μιθριδάτης ἑπτακαίδεκα ἡμέρας φθειρόμενος μόλις ἀπέθανε.

XVII. Λοιπὸς δ' ἦν τῇ Παρυσάτιδι σκοπός, ὁ τὴν κεφαλὴν ἀποτεμὼν καὶ τὴν χεῖρα τοῦ Κύρου Μασαβάτης, βασιλέως εὐνοῦχος. Ὡς οὖν αὐτὸς οὐδεμίαν καθ' ἑαυτοῦ λαβὴν παρεδίδου, τοιοῦτον ἐπιβουλῆς τρόπον ἡ Παρυσάτις συνέθηκεν. Ἦν τά τ' ἄλλα θυμόσοφος γυνὴ καὶ δεινὴ κυβεύειν διὸ καὶ βασιλεῖ πρὸ τοῦ πολέμου πολλάκις συνεκύβευε· μετὰ δὲ τὸν πόλεμον διαλυθεῖσα πρὸς αὐτὸν, οὐκ ἔφευγε τὰς φιλοφροσύνας, ἀλλὰ καὶ συνέπαιζε, καὶ τῶν ἐρωτικῶν ἐκοινώνει, συμπράττουσα καὶ παροῦσα, καὶ ὅλως μεκρότατον αὐτῷ τῇ Στατείρᾳ μετεδίδου χρῆσθαι καὶ συνεῖναι, μισοῦσά τε μάλιστα πάντων ἐκείνην, καὶ μέγιστον αὐτὴ βουλομένη δύνασθαι. Λαβοῦσα δή ποτε τὸν Ἀρτοξέρξην ὡρμημένον ἀλύειν, σχολῆς οὔσης, προὐκαλεῖτο περὶ χιλίων δαρεικῶν κυβεῦσαι· καὶ κυβεύοντα περιεῖδε νικῆσαι, καὶ τὸ χρυσίον ἀπέδωκε. Προσποιουμένη δ' ἀνιᾶσθαι καὶ φιλονεικεῖν, ἐκέλευσεν αὖθις ἐξ ἀρχῆς περὶ εὐνούχου διακυβεῦσαι· κἀκεῖνος ὑπήκουσε. Ποιησάμενοι δὲ συνθήκας, πέντε μὲν ἑκάτερον ὑπεξελέσθαι τοὺς πιστοτάτους, ἐκ δὲ τῶν λοιπῶν, ὃν ἂν ὁ νικῶν ἕληται, δοῦναι τὸν ἡττώμενον, ἐπὶ τούτοις ἐκύβευον. Σφόδρα δὲ γενομένη πρὸς τῷ πράγματι, καὶ σπουδάσασα περὶ τὴν παιδιὰν, εὖ δέ πως αὐτῇ καὶ τῶν κύβων πεσόντων, νικήσασα λαμβάνει τὸν Μασαβάτην· οὐ γὰρ ἦν ἐν τοῖς ὑπεξῃρημένοις. Καὶ πρὶν ἐν ὑποψίᾳ βασιλέα γενέσθαι τοῦ πράγματος, ἐγχειρίσασα τοῖς ἐπὶ τῶν τιμωριῶν, προσέταξεν ἐκδεῖραι ζῶντα, καὶ τὸ μὲν σῶμα πλάγιον διὰ τριῶν σταυρῶν ἀναπῆξαι, τὸ δὲ

ἅρμα χωρὶς διαπατταλεῦσαι. Γενομένων δὲ τούτων, καὶ βασιλέως χαλεπῶς φέροντος, καὶ παροξυνομένου πρὸς αὐτὴν, εἰρωνευομένη μετὰ γέλωτος, „Ὡς ἡδύς,“ ἔφασκεν, „εἰ καὶ μακάριος, εἰ χαλκαίνεις δια γέροντα παιρὸν εὐνοῦχον; ἐγὼ δὲ χαλκοῦς ἐκινδευθεῖσα θηρεικοὺς σώσω καὶ στέργω.“ Βασιλεὺς μὲν οὖν ἐφ' οἷς ἐξηπατήθη μεταμελόμενος, ἡσυχίαν ἦγεν· ἡ δὲ Στάτειρα καὶ πρὸς τἄλλα φανερὰς ἐναντιοῦτο, καὶ τούτοις ἐδυσχέραινεν, ὡς ἄνδρας καὶ εὐνούχους πιστοὺς βασιλεῖ διὰ Κῦρον ὁμοῦ καὶ παρανόμως ἀπολλυούσης αὐτῆς.

XVIII. Ἐπεὶ δὲ Κλέαρχον καὶ τοὺς ἄλλους 1920
στρατηγοὺς Τισσαφέρνης ἐξηπάτησε καὶ παρεσκόνθησεν, ὅρκων γενομένων, καὶ συλλαβὼν ἀνέπεμψεν ἐν πέδαις δεδεμένους, δεηθῆναι φησὶν αὐτοῦ τὸν Κλέαρχον ὁ Κτησίας, ὅπως κἀγὼ ἐγκομίσωμαι. Τυχόντα δὲ καὶ τημελήσαντα τὴν κεφαλὴν ἡσθῆναί τε τῇ χρείᾳ, καὶ τὸν δακτύλιον αὐτῷ δοῦναι, σύμβολον φιλίας πρὸς τοὺς ἐν Λακεδαίμονι συγγενεῖς· καὶ σώσειν εἶναι δὲ μὴ φῆναι ἐν τῇ σφραγῖδι, Καρνείδας ὀργουμένας. Τὰ δὲ πεμπόμενα σιτία τῷ Κλεάρχῳ τοὺς συνδεδεμένους στρατιώτας ἀφαιρεῖσθαι καὶ καταναλίσκειν, ὀλίγα τῷ Κλεάρχῳ διδόντας ἀπ' αὐτῶν. Λάσασθαι δὲ καὶ τοῦτο φησὶν ὁ Κτησίας, πλείονα τῷ Κλεάρχῳ πέμπεσθαι διαπραξάμενος, ἰδίᾳ δ' ἕτερα τοῖς στρατιώταις δίδοσθαι· καὶ ταῦτα μὲν ὑπουργῆσαι καὶ παρασχεῖν χάριτι καὶ γνώμῃ τῆς Παρυσάτιδος. Ἡμπομένου δὲ καθ' ἡμέραν τῷ Κλεάρχῳ κολλῆνος ἐπὶ τοῖς σκέλεσι, παρακαλεῖν αὐτὸν καὶ δοκάσκειν, ὡς χρὴ μικρὸν εἰς τὸ πρόσω ἐμβαλόντα μαχαίριον, ἀποκρύψαντα πέμψαι, καὶ μὴ περιίδεῖν ἐν τῇ βασιλέως ὠμότητι τὸ τέλος αὐτοῦ γενόμενον· αὐτὸν δὲ φοβούμενον μὴ ἐθελῆσαι. Βασιλέα δὲ τῇ μὲν μητρὶ παραιτουμένῃ, μὴ κτεῖναι τὸν Κλέαρχον, ὁμολογῆσαι καὶ ὀμόσαι· περαθέντα δ' αὖθις ὑπὸ τῆς Στατείρας, ἀπακτεῖναι πάντας πλὴν Μένωνος. Ἐν δὲ τούτοις τὴν Παρυσάτιν ἐπιβουλεῦσαι τῇ Στατείρᾳ, καὶ συμπυάσασθαι τὴν φαρμακείαν παρ' αὐτῆς· οὗ

εἰκότα λέγων, ἀλλὰ πολλὴν ἀλογίαν ἔχοντα τῆς αἰτίας· εἰ δεινὸν ἔργον οὕτως ἔδρασε καὶ παρεκινδύνευσεν ἡ Παρυσάτις, διὰ Κλέαρχον ἀπελεῖν τολμήσασα τὴν γνησίαν βασιλέως γυναῖκα, καὶ τέκνων ποινωνὸν ἐπὶ βασιλείᾳ τρεφομένων. Ἀλλὰ ταῦτα μὲν οὐκ ἄδηλον ὡς ἐπιτραγῳδεῖται τῇ Κλεάρχου μνήμῃ. Καὶ γὰρ ἀναιρεθέντων φησὶ τῶν στρατηγῶν τοὺς μὲν ἄλλους ὑπὸ κυνῶν σπαράττεσθαι καὶ ὀρνέων· τῷ δὲ Κλεάρχου νεκρῷ θύελλαν ἀνέμου, γῆς θῖνα πολλὴν φέρουσαν, ἐπιχῶσαι καὶ ἐπικρύψαι τὸ σῶμα· φοινίκων δέ τινων διασπαρέντων, ὀλίγῳ χρόνῳ θαυμαστὸν ἄλσος ἀναφῦναι καὶ κατασκιάσαι τὸν τόπον· ὥστε καὶ βασιλεῖ σφόδρα μεταμέλειν, ὡς ἄνδρα θεοῖς φίλον ἀνῃρηκότι τὸν Κλέαρχον.

XIX. Ἡ δ' οὖν Παρυσάτις, μίσους τε πρὸς τὴν Στάτειραν ἐξ ἀρχῆς ὑποκειμένου καὶ ζηλοτυπίας, ὁρῶσα τὴν μὲν αὐτῆς δύναμιν αἰδουμένου βασιλέως καὶ τιμῶντος οὖσαν, τὴν δ' ἐκείνης ἔρωτι καὶ πίστει βέβαιον καὶ ἰσχυράν, ἐπεβούλευσεν ὑπὲρ τῶν μεγίστων, ὡς ὕστερον, παραβαλλομένη. Θεράπαιναν εἶχε πιστὴν καὶ δυναμένην παρ' αὐτῇ μέγιστον, ὄνομα Γίγιν· ἣν ὁ μὲν Δείνων ὑπουργῆσαι τῇ φαρμακείᾳ φησὶ, συγγνώναι δὲ μόνον ἄκουσαν ὁ Κτησίας. Τὸν δὲ δόντα τὸ φάρμακον οὗτος μὲν ὀνομάζει Βιγυάραν, ὁ δὲ Δείνων Μελάνταν. Ἐκ δὲ τῆς πρόσθεν ὑποψίας καὶ διαφορᾶς ἀρξάμεναι πάλιν εἰς τὸ αὐτὸ φοιτᾶν καὶ συνδειπνεῖν ἀλλήλαις, ὅμως τῷ δεδιέναι καὶ φυλάττεσθαι, τοῖς αὐταῖς σιτίοις καὶ ἀπὸ τῶν αὐτῶν ἔχρῶντο. Γίνεται δὲ μικρὸν ἐν Πέρσαις ὀρνίθιον, ᾧ περιττώματος οὐδέν ἐστιν, ἀλλ' ὅλον διαπλεων πιμελῆς τὰ ἐντός· ᾗ καὶ νομίζουσιν ἀνέμῳ καὶ δρόσῳ τρέφεσθαι τὸ ζῶον· ὀνομάζεται δὲ ῥυντάκης. Τοῦτο φησὶν ὁ Κτησίας μικρᾷ μαχαιρίδι κιχρισμένῃ τῷ φαρμάκῳ κατὰ θάτερα τὴν Παρυσάτιν διαιροῦσαν, ἐκμάξαι τῷ ἑτέρῳ μέρει τὸ φάρμακον· καὶ τὸ μὲν ἄχραντον καὶ καθαρὸν εἰς τὸ στόμα βαλοῦσαν αὐτὴν ἐσθίειν, δοῦναι δὲ τῇ Στατείρᾳ τὸ πεφαρμαγμένον· ὁ δὲ Δείνων, οὐ τὴν Παρυσάτιν,

ἄλλα τὸν Μελάντιον τέμνοντα τῷ μαχαιριδίῳ τὰ φαρμασσόμενα τῶν κρεῶν τεθέναι κατὰ τὴν Στάτειραν. Ἀποθνήσκουσα γοῦν ἡ γυνὴ μετὰ πόνων μεγάλων καὶ σπαραγμῶν, αὐτή τε συνησθάνετο τοῦ κακοῦ, καὶ βασιλεῖ παρέσχεν ὑποψίαν κατὰ τῆς μητρὸς, εἰδότι τὸ θηριῶδες αὐτῆς καὶ δυσμείλικτον. Ὅθεν εὐθὺς ἐπὶ τὴν ζήτησιν ὁρμήσας, τοὺς μὲν ὑπηρέτας καὶ τραπεζοκόμους τῆς μητρὸς συνέλαβε καὶ κατεστρέβλωσε· τὴν δὲ Γίγιν ἡ Παρυσάτις πολὺν χρόνον εἶχεν οἴκοι μεθ' αὑτῆς, καὶ, βασιλέως ἐξαιτοῦντος, οὐκ ἔδωκεν· ἀλλ' ὕστερον αὐτῆς δεηθείσης εἰς τὸν οἶκον ἀφεθῆναι νυκτὸς, αἰσθόμενος καὶ λόχον ὑφεὶς συνήρπασε, καὶ κατέγνω θάνατον. Ἀποθνήσκουσι δ' αἱ φαρμακεῖς ἐν Πέρσαις κατὰ νόμον οὕτως· λίθος ἐστὶ πλατὺς, ἐφ' οὗ τὴν κεφαλὴν καταθέντες αὐτῶν, ἑτέρῳ λίθῳ παίουσι καὶ πιέζουσιν, ἄχρις οὗ συνθλάσωσι τὸ πρόσωπον καὶ τὴν κεφαλήν. Ἡ οὖν Γίγις οὕτως ἀπέθανε. Τὴν δὲ Παρυσάτιν ὁ Ἀρταξέρξης ἄλλο μὲν οὐδὲν οὔτ' εἶπε κακὸν, οὔτ' ἐποίησεν, εἰς δὲ Βαβυλῶνα βουλομένην ἐξέπεμψεν, εἰπὼν, ἕως ἐκείνη περίεστιν, αὐτὸς οὐκ ὄψεσθαι Βαβυλῶνα. Τὰ μὲν οὖν κατὰ τὴν οἰκίαν οὕτως εἶχεν.

XX. Ἐπεὶ δὲ τοὺς Κύρῳ συναναβάντας Ἕλληνας σπουδάσας λαβεῖν ὁ βασιλεὺς οὐδὲν ἧττον, ἢ Κύρου περιγενέσθαι, καὶ τὴν βασιλείαν κατασχεῖν, οὐκ ἔλαβεν, ἀλλὰ Κῦρον, τὸν ἡγεμόνα, καὶ τοὺς αὐτῶν στρατηγοὺς ἀποβαλόντες ἐξ αὐτῶν μονονουχὶ τῶν βασιλείων ἐαυθησαν, ἐξελέγξαντες καὶ ἀποφήναντες τὰ Περσῶν καὶ βασιλέως πράγματα χρυσὸν ὄντα πολὺν καὶ τρυφὴν καὶ γυναῖκας, τὰ δ' ἄλλα τῦφον καὶ ἀλαζονείαν· πᾶσα μὲν ἡ Ἑλλὰς ἐξεθάρρησε καὶ κατεφρόνησε τῶν βαρβάρων Λακεδαιμονίοις δὲ καὶ δεινὸν ἔφαινετο, μὴ νῦν γε δουλείας ἐξελέσθαι τοὺς τὴν Ἀσίαν κατοικοῦντας Ἕλληνας, μηδὲ παῦσαι προσηλαικιζομένους ὑπ' αὐτῶν. Πρότερον δὲ διὰ Θίμβρωνος, εἶτα διὰ Δερκυλίδου πολεμοῦντες, οὐθὲν δὲ πράττοντες ἀξιόλογον, Ἀγη-

1021

σιλίαν, τῷ βασιλεῖ, τὸν πόλεμον ἐπέτρεψαν. Ὁ δὲ περαιωθεὶς ναυσὶν εἰς Ἀσίαν εὐθὺς ἦν ἐνεργὸς, καὶ δόξαν εἶχε μεγάλην καὶ Τισαφέρνην παραταξάμενος ἐνίκησε, καὶ τὰς πόλεις ἀφίστη. Τούτων δὲ γενομένων, συμφρονήσας ὁ Ἀρτοξέρξης, ὅν τρόπον αὐτοῖς ἐστι πολεμητέον, ἔπεμψεν Ἑρμοκράτην, τὸν Ῥόδιον, εἰς τὴν Ἑλλάδα, χρυσίον πολὺ κομίζοντα, διδόναι καὶ διαφθείρειν τοὺς πλείστους ἐν ταῖς πόλεσι δυναμένους κελεύσας, καὶ πόλεμον Ἑλληνικὸν κινεῖν ἐπὶ τὴν Λακεδαίμονα. Τοῦ δ' Ἑρμοκράτους ταῦτα πράττοντος, καὶ τῶν μεγίστων πόλεων συνισταμένων, καὶ τῆς Πελοποννήσου διαταραττομένης, μετεπέμποντο τὸν Ἀγησίλαον ἐκ τῆς Ἀσίας οἱ ἄρχοντες. Ὅτε δὴ καὶ φασιν αὐτὸν ἀπιόντα πρὸς τοὺς φίλους εἰπεῖν, ὡς τρισμυρίοις τοξόταις ἐξελαύνοιτο τῆς Ἀσίας ὑπὸ βασιλέως· τὸ γὰρ Περσικὸν νόμισμα τοξότην ἐπίσημον ἔχει.

XXI. Ἐξέβαλε δὲ καὶ τῆς θαλάσσης Λακεδαιμονίους Κόνωνι, τῷ Ἀθηναίῳ, μετὰ Φαρναβάζου στρατηγῷ χρησάμενος. Ὁ γὰρ Κόνων διεφθάρη μὲν ἐν Κύπρῳ μετὰ τὴν ἐν Αἰγὸς ποταμοῖς ναυμαχίαν, οὐ τὴν ἀσφάλειαν ἀγαπῶν, ἀλλὰ τὴν τῶν πραγμάτων μεταβολὴν, ὥσπερ ἐν πελάγει τροπὴν, περιμένων. Ὁρῶν δὲ καὶ τοὺς ἑαυτοῦ λογισμοὺς δυνάμεως, καὶ τὴν βασιλέως δύναμιν ἀνδρὸς ἔμφρονος δεομένην, ἔπεμψεν ἐπιστολὴν βασιλεῖ περὶ ὧν διανοεῖτο. Καὶ ταύτην ἐπίλεσσε τὸν κομίζοντα μάλιστα μὲν ἀποδοῦναι διὰ Ζήνωνος, τοῦ Κρητὸς, ἢ Πολυκρίτου, τοῦ Μενδαίου· τούτων δ' ἦν ὁ μὲν Ζήνων ὀργήστης, ὁ δὲ Πολύκριτος ἰατρός· ἂν δ' οὗτοι μὴ παρῶσι, διὰ Κτησίου, τοῦ ἰατροῦ. Λέγεται δ' ὁ Κτησίας τὴν ἐπιστολὴν λαβὼν παρεγράψαι τοῖς ὑπὸ τοῦ Κόνωνος ἐπεσταλμένοις, ὅπως καὶ Κτησίαν ἀποστείλῃ πρὸς αὐτὸν, ὡς ὠφέλιμον ὄντα ταῖς ἐπὶ θαλάσσῃ πράξεσιν. Ὁ δὲ Κτησίας αὐτὸν ἀφ' ἑαυτοῦ βασιλέα φησὶ προσθεῖναι τὴν
1022 λειτουργίαν αὐτῷ ταύτην. Ἀλλ' ἐπεὶ κρατήσας

τῇ περὶ Κνίδον ναυμαχίᾳ διὰ Φαρναβάζου καὶ Κόνωνος, ἀφείλετο τὴν κατὰ θάλατταν ἀρχὴν Λακεδαιμονίους, ἐπέστρεψε πᾶσαν ὁμοῦ τὴν Ἑλλάδα πρὸς αὐτὸν, ὥστε καὶ τὴν περιβόητον εἰρήνην βραβεῦσαι τοῖς Ἕλλησι, τὴν ἐπ' Ἀνταλκίδου προσαγορευομένην. Ὁ δ' Ἀνταλκίδας Σπαρτιάτης ἦν, Λέοντος υἱὸς, καὶ ἀπουδάσας βασιλεῖ, διεπράξατο τὰς ἐν Ἀσίᾳ πόλεις Ἑλληνίδας ἁπάσας καὶ νήσους, ὅσαι προσκυροῦσιν Ἀσίᾳ, παρεῖναι Λακεδαιμονίους αὐτῷ κεκτῆσθαι φόρων ὑποτελεῖς, εἰρήνης γενομένης τοῖς Ἕλλησιν· εἰ δεῖ τὴν τῆς Ἑλλάδος ὕβριν καὶ προδοσίαν εἰρήνην καλεῖν, ἧς πόλεμος οὐδεὶς ἀπλεέστερον ἤνεγκε τέλος τοῖς πρατηθεῖσι.

XXII. Διὸ καὶ τοὺς ἄλλους Σπαρτιάτας ἀεὶ βδελυττόμενος ὁ Ἀρτοξέρξης, καὶ νομίζων, ὡς φησι Δείνων, ἀνθρώπων ἁπάντων ἀναιδεστάτους εἶναι, τὸν Ἀνταλκίδαν ὑπερηγάπησεν εἰς Πέρσας ἀναβάντα. Καί ποτε λαβὼν ἕνα τῶν ἀνθινῶν στεφάνων, καὶ βάψας εἰς μύρον τὸ πολυτελέστατον, ἀπὸ δείπνου ἔπεμψε τῷ Ἀνταλκίδᾳ· καὶ πάντες ἐθαύμασαν τὴν φιλοφροσύνην. Ἦν δ', ὡς ἔοικεν, οὗτος ἐπιτήδειος ἐντρυφηθῆναι καὶ τοιοῦτον λαβεῖν στέφανον, ἐξορχησάμενος ἐν Πέρσαις τὸν Λεωνίδαν καὶ τὸν Καλλικρατίδαν. Ὁ μὲν γὰρ Ἀγησίλαος, ὡς ἔοικε, πρὸς τὸν εἰπόντα· „Θεῦ τῆς Ἑλλάδος, ὅπου μηδίζουσιν ἡμῖν οἱ Ἀχαιοί·“ „Οὐ, μᾶλλον,“ εἶπεν, „οἱ Μῆδοι λακωνίζουσι.“ Τοῦ δὲ ῥήματος ἡ κομψότης τὴν τοῦ πραγματος αἰσχύνην οὐκ ἀφεῖλεν, ἀλλὰ τὴν μὲν ἡγεμονίαν ἀπώλεσαν, ἐν Λευκτραις ἀγωνισάμενοι κακῶς· ἡ δὲ δόξα τῆς Σπάρτης προσαπώλετο ταῖς ὁμολογίαις ἐκείναις. Ἄχρι μὲν οὖν ἐπρώτευεν ἡ Σπάρτη, ξένον ἐποιεῖτο καὶ φίλον ὠνόμαζεν ἑαυτοῦ τὸν Ἀνταλκίδαν· ἐπεὶ δ' ἠττήθησαν ἐν Λεύκτροις, ταπεινὰ πράττοντες, ἐδέοντο μὲν χρημάτων, καὶ τὸν Ἀγησίλαον εἰς Αἴγυπτον ἐξέπεμψαν· ὁ δ' Ἀνταλκίδας ἀνέβη πρὸς τὸν Ἀρτοξέρξην, παρακαλῶν ἐπαρκεῖναι τοῖς Λακεδαι-

μονίοις. Ὁ δ' οὕτως ἐξημέλησε καὶ παρεῖδε καὶ ἀπέρριψεν αὐτὸν, ὥστε καταβάντα, καὶ γλευαζόμενον ὑπὸ τῶν ἐχθρῶν, φοβούμενον δὲ καὶ τοὺς ἐφόρους, ἀποκαρτερῆσαι. Ἀνέβη δὲ πρὸς τὸν βασιλέα καὶ Ἰσμηνίας, ὁ Θηβαῖος, καὶ Πελοπίδας; ἤδη τὴν ἐν Λεύκτροις μάχην νενικηκώς. Ἀλλ' οὗτος μὲν οὐδὲν αἰσχρὸν ἐποίησεν Ἰσμηνίας δὲ, προσκυνῆσαι κελευόμενος, ἐξέβαλε πρὸ αὐτοῦ χαμάζε τὸν δακτύλιον, εἶτα κύψας ἀνείλετο, καὶ παρέσχε δόξαν προσκυνοῦντος. Τιμαγόρᾳ δὲ, τῷ Ἀθηναίῳ, διὰ Βηλούριδος, τοῦ γραμματέως, εἰσπέμψαντι γραμματίδιον ἀπόρρητον, ἡσθεὶς, μυρίους τε δαρεικοὺς ἔδωκε, καὶ γάλακτος βοείου δεομένῳ διὰ ἀσθένειαν ὀγδοήκοντα βοῦς ἀμέλγεσθαι παρηκολούθουν· ἔτι δὲ κλίνην καὶ στρώματα καὶ τοὺς στρωννύντας ἔπεμψεν, ὡς οὐ μεμαθηκότων Ἑλλήνων ὑποστρωννύναι, καὶ φορεῖς τοὺς κομίζοντας αὐτὸν ἄχρι θαλάσσης μαλακῶς ἔχοντα. Παρόντι δὲ δεῖπνον ἐπέμπετο λαμπρότατον· ὥστε καὶ τὸν ἀδελφὸν τοῦ βασιλέως, Ὀστάνην, „Ὦ Τιμαγόρα,“ φάναι, „μέμνησο ταύτης τῆς τραπέζης· σὺ γὰρ ἐπὶ σμικροῖς οὕτω σοι κεκοσμημένη παράκειται.“ Τοῦτο δ' ἦν ὀνειδισμὸς εἰς προδοσίαν μᾶλλον, ἢ χάριτος ὑπόμνησις. Τιμαγόρου μὲν οὖν διὰ τὴν δωροδοκίαν Ἀθηναῖοι θάνατον κατέγνωσαν.

XXIII. Ὁ δ' Ἀρτοξέρξης ἓν ἀντὶ πάντων, ὧν ἐλύπει, τοὺς Ἕλληνας ηὔφρανε· Τισαφέρνην, τὸν ἔχθιστον αὐτοῖς καὶ δυσμενέστατον, ἀποκτείνας. Ἀπέκτεινε δὲ, ταῖς διαβολαῖς αὐτοῦ τῆς Παρυσατιδος συνεπιθεμένης. Οὐ γὰρ ἐνέμεινεν τῇ ὀργῇ πολὺν χρόνον ὁ βασιλεὺς; ἀλλὰ διηλλάγη τῇ μητρὶ, καὶ μετεπέμψατο, νοῦν μὲν ὁρῶν ἔχουσαν καὶ φρόνημα βασιλείας ἄξιον, αἰτίας δὲ μηδεμιᾶς ἐμποδὼν οὖσης ἔτι, δι' ἣν ὑποψονται συνόντες ἀλλήλοις, ἢ λυπήσουσιν. Ἐκ δὲ τούτου πάντα πρὸς χάριν ὑπουργοῦσα βασιλεῖ, καὶ τῷ πρὸς μηδὲν, ὧν ἐκεῖνος ἔπραττε, δυσκολαίνειν, ἔχουσα τὸ δύνασθαι παρ' αὐτῷ καὶ συγχάνειν ἁπάντων, ἦσθετο

τῆς ἑτέρας τῶν θυγατέρων, Ἀτόσσης, ἐρῶντος ἔρωτα δεινόν, ἐπικρυπτομένου δὲ δι' ἐκείνην οὐχ ἥκιστα, καὶ κολάζοντος τὸ πάθος, ὡς φασιν ἔνιοι, καίτοι γεγενημένης ἤδη πρὸς τὴν παρθένον ὁμιλίας αὐτῷ λαθραίας. Ὡς οὖν ὑπώπτευσεν ἡ Παρυσάτις, τὴν παῖδα μᾶλλον, ἢ πρότερον, ἠσπάζετο· καὶ πρὸς τὸν Ἀρτοξέρξην ἐπῄνει τό τε κάλλος αὐτῆς καὶ τὸ ἦθος, ὡς βασιλικῆς καὶ μεγαλοπρεποῦς. Τέλος γοῦν γῆμαι τὴν κόρην ἔπεισε, καὶ γνησίαν ἀποδεῖξαι γυναῖκα, χαίρειν ἐάσαντα δόξας Ἑλλήνων καὶ νόμους· Πέρσαις δὲ νόμον αὐτὸν ὑπὸ τοῦ θεοῦ καὶ δικαιοτὴν αἰσχρῶν καὶ καλῶν ἀποδεδειγμένον. Ἔνιοι μέντοι λέγουσιν, ὧν ἐστι καὶ Ἡρακλείδης ὁ Κυμαῖος, οὐ μίαν μόνον τῶν θυγατέρων, ἀλλὰ καὶ δευτέραν, Ἄμηστριν, γῆμαι τὸν Ἀρτοξέρξην, περὶ ἧς ὀλίγον ὕστερον ἀπαγγελλοῦμεν. Τὴν δ' Ἄτοσσαν οὕτως ἠγάπησεν ὁ πατὴρ συνοικοῦσαν, ὥστ', ἀλφοῦ παταπεμηθέντος αὐτῆς τὸ σῶμα, δυσχεραίνειν μὲν ἐπὶ τούτῳ μηδ' ὁτιοῦν· εὐχόμενος δὲ περὶ αὐτῆς τῇ Ἥρᾳ, προσκυνῆσαι μόνην θεῶν ἐκείνην, ταῖς χερσὶ τῆς γῆς ἁψάμενος· θῶρά τε τῇ θεῷ τοσαῦτα πέμψαι τοὺς σατράπας καὶ φίλους, αὐτοῦ κελεύσαντος, ὥστε τὰ μεταξὺ τοῦ ἱεροῦ καὶ τῶν βασιλείων ἑκκαίδεκα στάδια χρυσοῦ καὶ ἀργύρου καὶ πορφύρας καὶ ἵππων ἐμπλησθῆναι.

XXIV. Πόλεμον δὲ πρὸς μὲν Αἰγυπτίους διὰ Φαρναβάζου καὶ Ἰφικράτους ἐξενεγκὼν ἀπέτυχε, στασιασάντων ἐκείνων· ἐπὶ δὲ Καδουσίους αὐτὸς ἐστράτευσε τριάκοντα μυριάσι πεζῶν καὶ μυρίαις ἱππεύσιν. Ἐμβαλὼν δ' εἰς χώραν τραχύτητι χαλεπὴν καὶ ὀμιχλώδη, καὶ τῶν ἀπὸ σπόρου καὶ καρπῶν ἄγονον, ἄπλοις δὲ καὶ μήλοις καὶ τοιούτοις ἄλλοις ἀκροδρύοις τρέφουσαν ἀνθρώπους πολεμικοὺς καὶ θυμοειδεῖς, ἔλαθε μεγάλαις ἀπορίαις καὶ κινδύνοις περιπεσών. Οὐδὲν γὰρ ἐδώδιμον ἦν λαμβάνειν, οὐδ' ἔξωθεν ἐπεισάγεσθαι. Τὰ δ' ὑποζύγια μόνον κατέκοπτον, ὥστ' ὄνου κεφαλὴν μόλις δραχμῶν ἑξήκοντα ὤνιον εἶναι. Τὸ δὲ βασιλικὸν δεῖπνον ἐξελείφθη καὶ τῶν ἵππων

ὀλίγοι περιῆσαν ἔτι, τοὺς δ' ἄλλους ἐσθίοντες κατηναλώκεσαν. Ἐνταῦθα Τιρίβαζος, ἀνὴρ πολλάκις μὲν ἐν πρώτῃ δι' ἀνδραγαθίαν τάξει γενόμενος, πολλάκις δ' ἀπορρίφεὶς διὰ κουφότητα, καὶ τότε ταπεινὰ πράττων καὶ περιορώμενος, ἔσωσε βασιλέα καὶ τὸν στρατόν. Ὄντων γὰρ δυοῖν ἐν τοῖς Καδουσίοις βασιλέων, ἑκατέρου δὲ χωρὶς στρατοπεδεύοντος, ἐντυχὼν τῷ Ἀρτοξέρξῃ, καὶ φράσας περὶ ὧν διενοεῖτο πράττειν, ἐβάδιζεν αὐτὸς πρὸς τὸν ἕτερον τῶν Καδουσίων, καὶ πρὸς τὸν ἕτερον κρύφα τὸν υἱὸν ἔπεμπεν. Ἐξηπάτα δ' ἑκάτερον ἑκάτερος, λέγων, ὡς ἄτερος ἐπιπρεσβεύεται πρὸς τὸν Ἀρτοξέρξην, φιλίαν μόνῳ πράττων ἑαυτῷ καὶ συμμαχίαν· οὐκοῦν, εἰ σωφρονεῖ, χρῆναι πρότερον ἐντυγχάνειν ἐκείνῳ, αὐτὸν δὲ συμπράξειν ἅπαντα. Τούτοις ἐπείσθησαν ἀμφότεροι, καὶ φθονεῖν ἀλλήλοις νομίζοντες, ὁ μὲν τῷ Τιριβάζῳ συνέπεμψε πρέσβεις, ὁ δὲ τῷ παιδὶ τοῦ Τιριβάζου. Διατριβῆς δὲ γενομένης, ὑποψίαι καὶ διαβολαὶ κατὰ τοῦ Τιριβάζου τῷ Ἀρτοξέρξῃ προσέπιπτον· αὐτὸς δὲ δυσθύμως εἶχε, καὶ μετενόει πιστεύσας τῷ Τιριβάζῳ, καὶ τοῖς φθονοῦσιν ἐγκαλεῖν παρεῖχεν. Ἐπεὶ δ' ἦκεν ὁ Τιρίβαζος, ἦκε δὲ καὶ
1024 ὁ υἱὸς αὐτοῦ, τοὺς Καδουσίους ἄγοντες, ἐγένοντο δὲ σπονδαὶ πρὸς ἀμφοτέρους καὶ εἰρήνη· μέγας ὢν ὁ Τιρίβαζος ἤδη καὶ λαμπρὸς ἀνεζεύγνυε μετὰ τοῦ βασιλέως, ἐπιδεικνυμένου πᾶσαν τὴν δειλίαν καὶ τὴν μαλακίαν, οὐ τρυφῆς καὶ πολυτελείας, ὥσπερ οἱ πολλοὶ νομίζουσιν, ἔγκυον οὖσαν, ἀλλὰ μοχθηρᾶς φύσεως καὶ ἀγεννοῦς, καὶ δόξαις πονηραῖς ἑπομένης. Οὔτε γὰρ χρυσὸς, οὔτε κάνδυς, οὔτε ὁ τῶν μυρίων καὶ δισχιλίων ταλάντων περικείμενος ἀεὶ τῷ βασιλέως σώματι κόσμος ἐκεῖνον ἀπεκώλυε πονεῖν καὶ ταλαιπωρεῖν, ὥσπερ οἱ τυχόντες· ἀλλὰ τήν τε φαρέτραν ἐνημμένος, καὶ τὴν πέλτην φέρων αὐτὸς, ἐβάδιζε πρῶτος ὁδοὺς ὀρεινὰς καὶ προσάντεις, ἀπολιπὼν τὸν ἵππον, ὥστε τοὺς ἄλλους πτεροῦσθαι καὶ συνεπικουφίζεσθαι, τὴν ἐκείνου προθυμίαν καὶ ῥώμην ὁρῶντας. Καὶ γὰρ διακοσίων

καὶ πλειόνων σταδίων κατήνυεν ἡμέρας ἑκάστης πορείαν.

XXV. Ἐπεὶ δ' εἰς σταθμὸν κατέβη βασιλικὸν, παραδείσους ἔχοντα θαυμαστοὺς καὶ κεκοσμημένους διαπρεπῶς ἐν τῷ πέριξ ἀδένδρῳ καὶ ψιλῷ χωρίῳ, κρύους ὄντος, ἐπέτρεψε τοῖς στρατιώταις ἐκ τοῦ παραδείσου ξυλίζεσθαι, τὰ δένδρα κόπτοντας, μήτε πεύκης, μήτε κυπαρίττου φειδομένους. Ὀκνούντων δὲ καὶ φειδομένων διὰ τὰ κάλλη καὶ τὰ μεγέθη, λαβὼν πέλεκυν αὐτὸς, ὅπερ ἦν μέγιστον καὶ κάλλιστον τῶν φυτῶν ἔκοψεν. Ἐκ δὲ τούτου ξυλιζόμενοι, καὶ πολλὰ πυρὰ ποιοῦντες, εὐμαρῶς ἐνυκτέρευσαν. Οὐ μὴν ἀλλὰ πολλοὺς καὶ ἀγαθοὺς ἀποβαλὼν ἄνδρας, ἵππους δ' ὁμοῦ τι πάντας, ἐπανῆλθε. Καὶ δόξας καταφρονεῖσθαι διὰ τὴν ἀτυχίαν καὶ τὴν ἀποτευξιν τῆς στρατείας, ἐν ὑποψίαις εἶχε τοὺς πρώτους· καὶ πολλοὺς μὲν ἀνῄρει δι' ὀργὴν, πλείονας δὲ φοβούμενος. Ἡ γὰρ δειλία φονικώτατόν ἐστιν ἐν ταῖς τυραννίσιν· ἴλεων δὲ καὶ πρᾶον καὶ ἀνύποπτον ἡ θαῤῥαλεότης. Διὸ καὶ τῶν θηρίων τὰ ἀτιθάσσευτα καὶ δυσεξημέρωτα, ψοφοδεῆ καὶ δειλά· τὰ δὲ γενναῖα, πιστεύοντα μᾶλλον διὰ τὸ θαῤῥεῖν, οὐ φεύγει τὰς φιλοφροσύνας.

XXVI. Ὁ δ' Ἀρτοξέρξης, ἤδη πρεσβύτερος ὢν, ἠσθάνετο τοὺς υἱοὺς ἀγῶνα περὶ τῆς βασιλείας ἐν τοῖς φίλοις καὶ τοῖς δυνατοῖς ἔχοντας. Οἱ μὲν γὰρ εὐγνωμονες ἠξίουν, ὡς ἔλαβεν αὐτὸς, οὕτως ἀπολιπεῖν πρεσβεῖα Δαρείῳ τὴν ἀρχήν. Ὁ δὲ νεώτερος, Ὦχος, ὀξὺς ὢν καὶ βίαιος, εἶχε μὲν καὶ τῶν περὶ τὸ βασίλειον οὐκ ὀλίγους σπουδαστὰς, ἤλπιζε δὲ μάλιστα κατεργάσεσθαι τὸν πατέρα διὰ τῆς Ἀτόσσης. Ἐκείνην γὰρ ἐθεράπευεν, ὡς γαμησομένην καὶ συμβασιλεύσουσαν αὐτῷ μετὰ τὴν τοῦ πατρὸς τελευτήν. Ἦν δὲ λόγος, ὅτι καὶ ζῶντος ἐλάνθανεν αὐτῇ πλησιάζων. Ἀλλὰ τοῦτο μὲν ἠγνόησεν ὁ Ἀρτοξέρξης· ταχὺ δὲ βουλόμενος ἐκκρούσαι τῆς ἐλπίδος τὸν Ὦχον, ὅπως μὴ, τὰ αὐτὰ Κύρῳ τολμήσαντος αὐτοῦ, πόλεμοι καὶ ἀγῶνες αὖθις καταλάβωσι τὴν βασιλείαν,

ἀνέδειξε τὸν Δαρεῖον βασιλέα, πέμπτον καὶ εἰκοστὸν ἔτος γεγονότα, καὶ τὴν καλουμένην κίταριν ὀρθὴν φέρειν ἔδωκε. Νόμου δ' ὄντος ἐν Πέρσαις, δωρεὰν αἰτεῖν τὸν ἀναδειχθέντα, καὶ διδόναι τὸν ἀναδείξαντα πᾶν τὸ αἰτηθέν, ἅπερ ἡ δυνατὸν, ἤτησεν Ἀσπασίαν ὁ Δαρεῖος, τὴν μάλιστα σπουδασθεῖσαν ὑπὸ Κύρου, τότε δὲ βασιλεῖ παλλακευομένην. Ἦν δὲ Φωκαΐς τὸ γένος ἀπ' Ἰωνίας, ἐλευθέρων γονέων, καὶ τεθραμμένη κοσμίως. Ἐπεὶ δὲ, Κύρου δειπνοῦντος, εἰσήχθη μεθ' ἑτέρων γυναικῶν, αἱ μὲν ἄλλαι παρακαθεζόμεναι, προσπαίζοντος αὐτοῦ καὶ ἁπτομένου καὶ σκώπτοντος, οὐκ ἀηδῶς ἀνεδέχοντο τὰς φιλοφροσύνας, ἐκείνη δὲ παρὰ τὴν κλίνην εἱστήκει σιωπῇ καὶ, Κύρου παλοῦντος, οὐχ ὑπήκουε
1025 βουλομένων δὲ προσαγειν τῶν κατευναστῶν „Οἰμώξεται μέντοι τούτων," εἶπεν, „ὃς ἂν ἐμοὶ προσαγάγῃ τὰς χεῖρας." Ἔδοξεν οὖν ἄχαρις τοῖς παροῦσιν εἶναι καὶ ἄγροικος. Ὁ δὲ Κῦρος ἡσθεὶς ἐγέλασε, καὶ εἶπε πρὸς τὸν ἀγαγόντα τὰς γυναῖκας· „Ἆρα ἤδη συνορᾷς, ὅτι μοι μόνην ταύτην ἐλευθέραν καὶ ἀδιάφθορον ἤγεις κομίζων;" Ἐκ δὲ τούτου προσεῖχεν ἀρξάμενος αὐτῇ, καὶ μάλιστα πασῶν ἔστερξε, καὶ σοφὴν προσηγόρευσεν. Ἑάλω δὲ, Κύρου πεσόντος ἐν τῇ μαχῃ, καὶ διαρπαζομένου τοῦ στρατοπέδου.

XXVII. Ταύτην ὁ Δαρεῖος αἰτήσας, ἠνίασε τὸν πατέρα. Λύσζηλα γὰρ τὰ βαρβαρικὰ δεινῶς περὶ τὰ ἀπόλαστα, ὥστε μὴ μόνον τὸν προσελθόντα καὶ θιγόντα παλλακῆς βασιλέως, ἀλλὰ καὶ τὸν ἐν πορείᾳ προεξελθόντα καὶ διεξελάσαντα τὰς ἁμάξας, ἐφ' αἷς κομίζονται, θανάτῳ κολάζεσθαι. Καίτοι τὴν μὲν Ἄτοσσαν εἶχεν ἔρωτι ποιησάμενος γυναῖκα παρὰ τὸν νόμον· ἐξήποντα δὲ καὶ τριακόσιαι παρετρέφοντο πάλλακες διαφέρουσαι παλλακίδες. Οὐ μὴν ἀλλὰ καὶ αἰτηθεὶς ἐκείνην, ἐλευθέραν ἔφησεν εἶναι, καὶ λαμβάνειν ἐκέλευσε βουλομένην, ἄκουσαν δὲ μὴ βιάζεσθαι. Μεταπεμφθείσης δὲ τῆς Ἀσπασίας, καὶ παρ' ἐλπίδας τοῦ βασιλέως ἑλομένης τὸν Δαρεῖον, ἔδωκε μὲν ὑπ' ἀνάγκης τοῦ νόμου, θοὺς θ', ὀλίγον ὕστερον ἀ-

φείλετο. Τῆς γὰρ Ἀρτέμιδος τῆς ἐν Ἐκβατάνοις, ἣν Ἀνεῖτιν καλοῦσιν, ἱέρειαν ἀνέδειξεν αὐτὴν, ὅπως ἁγνὴ διάγῃ τὸν ἐπίλοιπον βίον οἰόμενος, οὐ χαλεπὴν, ἀλλὰ μετρίαν τινὰ καὶ παιδιᾷ μεμιγμένην ταύτην λήψεσθαι δίκην παρὰ τοῦ παιδός. Ὁ δ' ἤνεγκεν οὐ μετρίως, εἴτ' ἔρωτι τῆς Ἀσπασίας περιπαθὴς γεγονὼς, εἴτε ὑβρίσθαι καὶ κεχλευάσθαι νομίζων ὑπὸ τοῦ πατρός. Αἰσθόμενος δ' αὐτὸν οὕτως ἔχοντα Τιρίβαζος, ἔτι μᾶλλον ἐξετράχυνεν, ἐν τοῖς ἐκείνου συνιδὼν τὰ καθ' αὑτόν. Ἦν δὲ τοιαῦτα. Πλειόνων οὐσῶν βασιλεῖ θυγατέρων, ὡμολόγησε Φαρναβάζῳ μὲν Ἀπάμαν δώσειν γυναῖκα, Ῥοδογούνην δ' Ὀροίτῃ, Τιρίβαζῳ δ' Ἀμηστριν. Καὶ τοῖς μὲν ἄλλοις ἔδωκε, Τιρίβαζον δ' ἐψεύσατο, γήμας αὐτὸς τὴν Ἀμηστριν. Ἀντ' ἐκείνης δὲ τῷ Τιρίβαζῳ τὴν νεωτάτην, Ἄτοσσαν, ἐνηγύησεν. Ἐπεὶ δὲ καὶ ταύτην ἐρασθεὶς ἔγημεν, ὡς εἴρηται, παντάπασι δυσμενῶς πρὸς αὐτὸν ὁ Τιρίβαζος ἔσχεν, οὐδ' ἄλλως στάσιμος ὢν τὸ ἦθος, ἀλλ' ἀνώμαλος καὶ παράφορος. Διὸ καὶ νῦν μὲν ἐνημερῶν ὅμοια τοῖς πρώτοις, νῦν δὲ προσκρούων καὶ σκορακιζόμενος, οὐδεμίαν ἔφερεν ἐμμελῶς μεταβολὴν ἀλλὰ καὶ τιμώμενος, ἦν ἐπασθὴς ὑπὸ χαυνότητος, καὶ τὸ πολυούμενον, οὐ ταπεινὸν, οὐδ' ἡσυχαῖον, ἀλλὰ τραχὺ καὶ ἀγέρωχον εἶχε.

XXVIII. Πῦρ οὖν ἐπὶ πῦρ ἐγένετο τῷ νεανίσκῳ προσκείμενος ὁ Τιρίβαζος ἀεὶ, καὶ λέγων, ὡς οὐδὲν ὀνίνησιν ἡ κίταρις ἑστῶσα περὶ τῇ κεφαλῇ τοὺς ὑπ' αὐτὸν, μὴ ζητοῦντος ὀρθοῦσθαι αὐτοῖς τὰ πράγματα· κἀκεῖνον ἀβέλτερα φρονεῖν, εἰ, τοῦ μὲν ἀδελφοῦ διὰ τῆς γυναικωνίτιδος ἐνδυομένου τοῖς πράγμασι, τοῦ δὲ πατρὸς σύτως ἔμπληκτον ἦθος καὶ ἀβέβαιον ἔχοντος, οἴεται βέβαιον αὐτῷ τὴν διαδοχὴν ὑπάρχειν. Ὁ γὰρ Ἑλληνικοῦ χάριν γυναίου τὸν ἄψευστον ἐν Πέρσαις ψευσάμενος νόμον, οὐ δή που πιστὸς ἔστι τὰς περὶ τῶν μεγίστων ὁμολογίας ἐμπεδώσειν. Οὐ ταὐτὸ δ' εἶναι τὸ μὴ τυχεῖν Ὤχῳ, κἀκείνῳ τὸ στέρεσθαι τῆς βασιλείας. Ὤχον μὲν γὰρ οὐδένα κωλύσειν ἰδιώτην βιοῦν μακαρίως, ἐκείνῳ δ' ἀποδε-

δειγμένῳ βασιλεῖ βασιλεύειν ἀνάγκην, ἢ μηδὲ ζῆν εἶναι. Καθόλου μὲν οὖν ἴσως τὸ Σοφόκλειον

Ταχεῖα πειθὼ τῶν κακῶν ὁδοιπορεῖ.

λείαι γάρ τις ἡ πορεία καὶ κατάντης ἐπὶ τὸ βουλόμενον. Βούλονται δ' οἱ πλεῖστοι τὰ φαῦλα δι' ἀπειρίαν τῶν καλῶν καὶ ἄγνοιαν. Οὐ μὴν ἀλλὰ
1026 τὸ μέγεθος τὸ τῆς ἀρχῆς, καὶ τὸ πρὸς τὸν Ὦχον τοῦ Δαρείου δέος, ὑπόθεσιν τῷ Τιριβάζῳ παρεῖχε. Κυπρογένεια δ' οὐ πάμπαν ἀναίτιος, ἡ τῆς Ἀσπασίας ἀφαίρεσις.

XXIX. Ἐπέθοκεν οὖν ἑαυτὸν τῷ Τιριβάζῳ, καὶ πολλῶν ἤδη συνισταμένων, εὐνοῦχος ἐδήλωσε τῷ βασιλεῖ τὴν ἐπιβουλὴν καὶ τὸν τρόπον· εἰδὼς ἀκριβῶς, ὅτι νυκτὸς ἐγνώκασιν ἐν τῷ θαλάμῳ κατακείμενον ἀναιρεῖν αὐτὸν ἐπεισελθόντες. Ἀκούσαντι δὲ τῷ Ἀρτοξέρξῃ, καὶ τὸ παριδεῖν κίνδυνον τηλικοῦτον, ἀμελήσαντα τῆς διαβολῆς, δεινὸν ἐδόκει, καὶ τὸ πιστεῦσαι, μηδενὸς ἐλέγχου γενομένου, δεινότερον. Οὕτως οὖν ἐποίει· τὸν μὲν εὐνοῦχον ἐκείνοις ἐκέλευσε παρεῖναι καὶ παρακολουθεῖν· αὐτὸς δὲ τοῦ θαλάμου τὸν ὄπισθεν τῆς κλίνης τοῖχον ἐκκόψας καὶ θυρώσας, κατεκάλυψεν αὐλαίᾳ τὰς θύρας. Ἐνστάσης δὲ τῆς ὥρας, καὶ φράσαντος τοῦ εὐνούχου τὸν καιρὸν, ἐπὶ τῆς κλίνης ὑπέμεινε, καὶ οὐκ ἐξανέστη πρότερον, ἢ τῶν ἐπ' αὐτὸν ἐρχομένων τὰ πρόσωπα κατιδεῖν, καὶ γνωρίσαι σαφῶς ἕκαστον. Ὡς δ' εἶδεν ἐσπασμένους τὰ ἐγχειρίδια καὶ προσφερομένους, ταχὺ τὴν αὐλαίαν ὑπολαβὼν ἀνεχώρησεν εἰς τὸ ἐντὸς οἴκημα, καὶ τὰς θύρας ἐπήρασε κράζων. Ὀφθέντες γοῦν οἱ σφαγεῖς ὑπ' αὐτοῦ, πράξαντες δὲ μηθέν, ἀπεχώρουν φυγῇ διὰ θυρῶν· καὶ τοὺς περὶ τὸν Τιρίβαζον ἐκέλευον ἀποχωρεῖν, ὡς φανεροὺς γεγονότας. Οἱ μὲν οὖν ἄλλοι διαλυθέντες ἔφυγον· ὁ δὲ Τιρίβαζος συλλαμβανόμενος, πολλοὺς ἀπέκτεινε τῶν βασιλέως δορυφόρων, καὶ μόγις ἀκοντίῳ πληγεὶς πόρρωθεν ἔπεσε. Τῷ δὲ Δαρείῳ, μετὰ τῶν τέκνων ἀναχθέντι, καθίσας τοὺς βασιλέους δικαστὰς, οὐ παρὼν αὐτὸς, ἀλλ' ἑτέρων κατηγορησάντων, ἐκέλευσεν ὑπηρέτας τὴν ἑκάστου γραψαμέ-

νους ἀπόφασιν ὡς αὐτὸν ἐπανενεγκεῖν. Ἀποφηναμένων δὲ πάντων ὁμοίως, καὶ καταγνόντων τοῦ Δαρείου θάνατον, οἱ μὲν ὑπηρέται συλλαβόντες αὐτὸν, εἰς οἴκημα πλησίον ἀπήγαγον· ὁ δὲ δήμιος κληθεὶς ἦκε μὲν ξυρὸν ἔχων, ᾧ τὰς κεφαλὰς ἀποτέμνουσι τῶν κολαζομένων, ἰδὼν δὲ τὸν Δαρεῖον ἐξεπλάγη, καὶ ἀνεχώρει πρὸς τὰς θύρας ἀποβλέπων, ὡς οὐ δυνησόμενος οὐδὲ τολμήσων αὐτόχειρ γενέσθαι βασιλέως. Ἔξωθεν δὲ τῶν δικαστῶν ἀπειλούντων καὶ διακελευομένων, ἀναστρέψας, καὶ τῇ ἑτέρᾳ χειρὶ δραξάμενος τῆς κόμης αὐτοῦ καὶ καταγαγὼν, ἀπέτεμε τῷ ξυρῷ τὸν τράχηλον. Ἔνιοι δέ φασι, τὴν κρίσιν γενέσθαι, βασιλέως αὐτοῦ παρόντος, τὸν δὲ Δαρεῖον, ὡς κατελαμβάνετο τοῖς ἐλέγχοις, ἐπὶ στόμα πεσόντα, δεῖσθαι καὶ ἱκετεύειν· τὸν δ' ὑπ' ὀργῆς ἀναστάντα καὶ σπασάμενον τὸν ἀκινάκην, τύπτειν, ἕως ἀπέκτεινεν· εἶτ' εἰς τὴν αὐλὴν προελθόντα, τὸν Ἥλιον προσκυνῆσαι, καὶ εἰπεῖν· „Εὐφραίνεσθε ἀπιόντες, ὦ Πέρσαι, καὶ λέγετε τοῖς ἄλλοις, ὅτι τοῖς ἄθεσμα καὶ παράνομα διανοηθεῖσιν ὁ μέγας Ὡρωμάζης δίκην ἐπιτέθεικεν."

XXX. Ἡ μὲν οὖν ἐπιβουλὴ τοιοῦτον ἔσχε τέλος. Ὁ δ' Ὦχος ἤδη μὲν ἦν ταῖς ἐλπίσι λαμπρὸς, ὑπὸ τῆς Ἀτόσσης ἐπαιρόμενος· ἔτι δ' ἐφοβεῖτο τῶν μὲν γνησίων τὸν ὑπόλοιπον, Ἀριάσπην, τῶν δὲ νόθων Ἀρσάμην. Ὁ μὲν γὰρ Ἀριάσπης, οὐ διὰ τὸ πρεσβύτερος εἶναι τοῦ Ὦχου, πρᾶος δὲ καὶ ἁπλοῦς καὶ φιλάνθρωπος, ἠξιοῦτο βασιλεύειν ὑπὸ τῶν Περσῶν· ὁ δ' Ἀρσάμης καὶ νοῦν ἔχειν ἐδόκει, καὶ μάλιστα τῷ πατρὶ προσφιλὴς ὢν οὐκ ἐλάνθανε τὸν Ὦχον. Ἐπιβουλεύων οὖν ἀμφοτέροις, καὶ δολερὸς ὢν ὁμοῦ καὶ φονικὸς, ἐχρήσατο τῇ μὲν ὠμότητι τῆς φύσεως πρὸς τὸν Ἀρσάμην, τῇ δὲ κακουργίᾳ καὶ δεινότητι πρὸς τὸν Ἀριάσπην. Ὑπέπεμψε γὰρ πρὸς αὐτὸν εὐνούχους καὶ φίλους βασιλέως, ἀπειλάς τινας ἀεὶ καὶ λόγους φοβεροὺς ἀπαγγέλλοντας, ὡς τοῦ πατρὸς ἐγνωκότος ἀποκτιννύειν αὐτὸν ὠμῶς καὶ ἐφυβρίστως. Οἱ δὲ ταῦτα καθ'

ἡμέραν ἐκφέρειν δακοῦντες ὡς ἀπόῤῥητα, καὶ τὰ μὲν μέλλειν, τὰ δ' ὅσον οὔπω πράσσειν βασιλέα λέγον-
1027 τες, οὕτως ἐξέπληξαν τὸν ἄνθρωπον, καὶ τοσαύτην ἐνέβαλον πτοίαν αὐτῷ καὶ ταραχὴν καὶ δυσθυμίαν εἰς τοὺς λογισμούς, ὥστε φάρμακον σκευάσαντα τῶν θανασίμων καὶ πιόντα τοῦ ζῆν ἀπαλλαγῆναι. Πυθόμενος δ' ὁ βασιλεὺς τὸν τρόπον τῆς τελευτῆς, ἐκεῖνον μὲν ἀπέκλαυσε, τὴν δ' αἰτίαν ὑπώπτευεν. Ἐλέγχειν δὲ καὶ ζητεῖν ἐξαδυνατῶν διὰ τὸ γῆρας, ἔτι μᾶλλον ἠσπάζετο τὸν Ἀρσάμην, καὶ δῆλος ἦν μάλιστα πιστεύων ἐκείνῳ καὶ παῤῥησιαζόμενος. Ὅθεν οἱ περὶ τὸν Ὦχον οὐκ ἀνεβάλοντο τὴν πρᾶξιν, ἀλλ' Ἀρπάτην, υἱὸν Τριβάζου, παρασκευάσαντες, ἀπέκτειναν δι' ἐκείνου τὸν ἄνθρωπον. Ἦν μὲν οὖν ἐπὶ ῥοπῆς μικρᾶς ὁ Ἀρτοξέρξης διὰ τὸ γῆρας ἤδη τότε· προσπεσόντος δ' αὐτῷ τοῦ περὶ τὸν Ἀρσάμην πάθους, οὐδ' ὀλίγον ἀντέσχεν, ἀλλ' εὐθὺς ὑπὸ λύπης καὶ δυσθυμίας ἀπεσβέσθη, βιώσας μὲν ἐνενήκοντα καὶ τέσσαρα ἔτη, βασιλεύσας δὲ δύο καὶ ἑξήκοντα, δόξας δὲ πρᾶος εἶναι καὶ φιλυπήκοος, οὐχ ἥκιστα διὰ τὸν υἱὸν Ὦχον, ὠμότητι καὶ μιαιφονίᾳ πάντας ὑπερβαλλόμενον.

ΔΗΜΗΤΡΙΟΣ.

Οἱ πρῶτοι τὰς τέχνας ἐοικέναι ταῖς αἰσθήσεσιν 888
ὑπολαβόντες, οὐχ ἥκιστά μοι δοκοῦσι τὴν περὶ τὰς
κρίσεις αὐτῶν κατανοῆσαι δύναμιν, ἢ τῶν ἐναντίων
ὁμοίως ἑκατέρῳ γένει πεφύκαμεν ἀντιλαμβάνεσθαι.
Τοῦτο γὰρ αὐταῖς κοινόν ἐστι· τῇ δὲ πρὸς τὰ τέλη
τῶν πρινομένων ἀναφορᾷ διαλλάττουσιν. Ἡ μὲν
γὰρ αἴσθησις οὐδέν τι μᾶλλον ἐπὶ λευκῶν, ἢ με-
λάνων, διαγνώσει γέγονεν, οὐδὲ γλυκέων, ἢ πικρῶν,
οὐδὲ μαλακῶν καὶ εἰκόντων, ἢ σκληρῶν καὶ ἀντι-
τύπων, ἀλλ' ἔργον αὐτῆς, ἑκάστοις ἐντυγχάνουσαν,
ὑπὸ πάντων τε κινεῖσθαι, καὶ κινουμένην πρὸς τὸ
φρονοῦν ἀναφέρειν, ὡς πέπονθεν. Αἱ δὲ τέχναι
μετὰ λόγου συνεστῶσαι πρὸς αἵρεσιν καὶ λῆψιν οἰ-
κείου τινός, φυγήν τε καὶ διάκρουσιν ἀλλοκρίου, τὰ
μὲν ἀφ' αὑτῶν προηγουμένως, τὰ δ' ὑπὲρ τοῦ φυ-
λάξασθαι κατὰ συμβεβηκὸς ἐπιθεωροῦσι· καὶ γὰρ
ἰατρικὴ τὸ νοσερὸν, καὶ ἁρμονικὴ τὸ ἐκμελὲς, ὅπως
ἔχει, σκοπεῖν συμβέβηκε πρὸς τὴν τῶν ἐναντίων
ἀπεργασίαν. Αἵ τε πασῶν τελειόταται τεχνῶν,
σωφροσύνη, καὶ δικαιοσύνη, καὶ φρόνησις, οὐ κα-
λῶν μόνον καὶ δικαίων καὶ ὠφελίμων, ἀλλὰ καὶ 889
βλαβερῶν καὶ αἰσχρῶν καὶ ἀδίκων κρίσεις οὖσαι,
τὴν ἀπειρίαν τῶν κακῶν καλλωπιζομένην ἀκακίαν
οὐκ ἐπαινοῦσιν, ἀλλ' ἀβελτερίαν ἡγοῦνται, καὶ

ἄγνοιαν, ὧν μάλιστα γινώσκειν προσήκει τοὺς ὀρθῶς βιωσομένους. Οἱ μὲν οὖν παλαιοὶ Σπαρτιᾶται τοὺς Εἵλωτας ἐν ταῖς ἑορταῖς πολὺν ἀναγκάζοντες πίνειν ἄκρατον, εἰσήγον εἰς τὰ συμπόσια, τοῖς νέοις, οἷόν ἐστι τὸ μεθύειν, ἐπιδεικνύντες. Ἡμεῖς δὲ τὴν ἐκ διαστροφῆς ἑτέρων ἐπανόρθωσιν οὐ πάνυ φιλάνθρωπον, οὐδὲ πολιτικὴν, ἡγούμεθα. Τῶν δὲ κεχρημένων ἀσκεπτότερον αὐτοῖς, καὶ γεγονότων ἐν ἐξουσίαις καὶ πράγμασι μεγάλοις ἐπιφανῶν εἰς κακίαν, οὐ χεῖρον ἴσως ἐστὶ συζυγίαν μίαν, ἢ δύο, παρεμβαλεῖν εἰς τὰ παραδείγματα τῶν βίων; οὐκ ἐφ' ἡδονῇ, μὰ Δία, καὶ διαγωγῇ τῶν ἐντυγχανόντων ποικίλλοντας τὴν γραφὴν, ἀλλ' ὥσπερ Ἰσμηνίας ὁ Θηβαῖος, ἐπιδεικνύμενος τοῖς μαθηταῖς καὶ τοὺς εὖ καὶ τοὺς κακῶς αὐλοῦντας, εἰώθει λέγειν· „Οὕτως αὐλεῖν δεῖ" καὶ πάλιν· „Οὕτως αὐλεῖν οὐ δεῖ" ὁ δ' Ἀντιγενίδας καὶ ἥδιον ᾠήθετο τῶν ἀγαθῶν ἀκροᾶσθαι τοὺς νέους αὐλητῶν, ἐάν τινα καὶ τῶν φαύλων πεῖραν λαμβάνωσιν· οὕτω μοι δοκοῦμεν καὶ ἡμεῖς προθυμότεροι τῶν βελτιόνων ἔσεσθαι καὶ θεαταὶ καὶ μιμηταὶ βίων, εἰ μηδὲ τῶν φαύλων καὶ ψεγομένων ἀνιστορήτως ἔχοιμεν. Περιέξει δὲ τοῦτο τὸ βιβλίον τὸν Δημητρίου τοῦ Πολιορκητοῦ βίον, καὶ Ἀντωνίου τοῦ αὐτοκράτορος, ἀνδρῶν μάλιστα δὴ τῷ Πλάτωνι μαρτυρησάντων, ὅτι καὶ κακίας μεγάλας, ὥσπερ ἀρετὰς, αἱ μεγάλαι φύσεις ἐκφέρουσι. Γενόμενοι δ' ὁμοίως ἐρωτικοὶ, ποτικοὶ, στρατιωτικοὶ, μεγαλόδωροι, πολυτελεῖς, ὑβρισταὶ, καὶ τὰς κατὰ τύχην ὁμοιότητας ἀκολούθους ἔσχον. Οὐ γὰρ μόνον ἐν τῷ λοιπῷ βίῳ μεγάλα μὲν κατορθοῦντες, μεγάλα δὲ σφαλλόμενοι, πλείστων δ' ἐπικρατοῦντες, πλεῖστα δ' ἀποβάλλοντες, ἀπροσδοκήτως δὲ πταίοντες, ἀνελπίστως δὲ πάλιν ἀναφέροντες διετέλεσαν· ἀλλὰ καὶ κατέστρεψαν, ὁ μὲν ἁλοὺς ὑπὸ τῶν πολεμίων, ὁ δ' ἔγγιστα τοῦ παθεῖν τοῦτο γενόμενος.

II. Ἀντιγόνῳ τοίνυν δυοῖν υἱοῖν ἐκ Στρατονί-

κης τῆς Κορίνθου γενομένων, τὸν μὲν ἐπὶ τἀδελφῷ Δημήτριον, τὸν δ' ἐπὶ τῷ πατρὶ Φίλιππον ὠνόμασεν. Οὗτός ἐστιν ὁ τῶν πλείστων λόγος. Ἔνιοι δὲ τὸν Δημήτριον, οὐχ υἱὸν, ἀλλ' ἀδελφιδοῦν γενέσθαι τοῦ Ἀντιγόνου λέγουσιν· ἐπὶ νηπίῳ γὰρ αὐτῷ παντάπασι τοῦ πατρὸς τελευτήσαντος, εἶτα τῆς μητρὸς εὐθὺς τῷ Ἀντιγόνῳ γαμηθείσης, υἱὸν ἐκείνου νομισθῆναι. Τὸν μὲν οὖν Φίλιππον, οὐ πολλοῖς ἔτεσι τοῦ Δημητρίου νεώτερον ὄντα, συνέβη τελευτῆσαι. Δημήτριος δὲ μεγέθει μὲν ἦν τοῦ πατρὸς ἐλάττων, καίπερ ὢν μέγας· εἰδέᾳ δὲ καὶ κάλλει προσώπου θαυμαστὸς καὶ περιττός· ὥστε τῶν πλαττόντων καὶ γραφόντων μηθένα τῆς ὁμοιότητος ἐφικέσθαι. Τὸ γὰρ αὐτὸ χαρὶν καὶ βάρος καὶ φόβον καὶ ὥραν εἶχε, καὶ συνεκέκρατο τῷ νεαρῷ καὶ ἰταμῷ θυμίμητος ἡρωϊκή τις ἐπιφάνεια καὶ βασιλικὴ σεμνότης. Οὕτω δέ πως καὶ τὸ ἦθος ἐπεφύκει πρὸς ἔκπληξιν ἀνθρώπων ἅμα καὶ χάριν. Ἥδιστος γὰρ ὢν συγγενέσθαι σχολάζοντι περὶ πότους καὶ τρυφὰς καὶ διαίτας ἁβροβιώτατος βασιλέων, ἐνεργότατον αὖ πάλιν καὶ σφοδρότατον τὸ περὶ τὰς πράξεις ἐνδελεχὲς εἶχε καὶ δραστήριον· ἢ καὶ μάλιστα τῶν θεῶν ἐζήλου τὸν Διόνυσον, ὡς πολέμῳ τε χρῆσθαι δεινότατον, εἰρήνην τ' αὖθις ἐκ πολέμων τρέψαι καὶ πρὸς εὐφροσύνην καὶ χάριν ἐμμελέστατον.

III. Ἦν μὲν οὖν καὶ φιλοπάτωρ διαφερόντως. Τῇ δὲ περὶ τὴν μητέρα σπουδῇ καὶ τὸν πατέρα τιμῶν ἐφαίνετο, δι' εὔνοιαν ἀληθινὴν μᾶλλον, ἢ θεραπείαν τῆς δυνάμεως. Καί ποτε πρεσβείᾳ τινὶ τοῦ Ἀντιγόνου σχολάζοντος, ἀπὸ θήρας ὁ Δημήτριος ἐπέστη· καὶ προσελθὼν τῷ πατρὶ, καὶ φιλήσας, ὥσπερ εἶχε τὰς βολίδας, ἐκάθισε παρ' αὐτόν. Ὁ δὲ Ἀντίγονος ἀπιόντας ἤδη τοὺς πρέσβεις, ἔχοντας ἀποκρίσεις, μεγάλῃ φωνῇ προσαγορεύσας· „Καὶ τοῦτ'," εἶπεν, „ὦ ἄνδρες, ἀπαγγείλατε περὶ ἡμῶν, ὅτι πρὸς ἀλλήλους οὕτως ἔχομεν" ὡς ἰσχύν τινα πραγμάτων βασιλικῶν καὶ δυνάμεως ἐπίδειξιν οὖ-

890

σαν τὴν πρὸς τὸν υἱὸν ὁμόνοιαν καὶ πίστιν. Οὕτως ἄρα πάντη δυσκοινώνητον ἡ ἀρχὴ, καὶ μεστὸν ἀπιστίας καὶ δυσνοίας, ὥστ' ἀγάλλεσθαι τὸν μέγιστον τῶν Ἀλεξάνδρου διαδόχων καὶ πρεσβύτατον, ὅτι μὴ φοβεῖται τὸν υἱὸν, ἀλλὰ προσίεται τὴν λόγχην ἔχοντα τοῦ σώματος πλησίον. Οὐ μὴν ἀλλὰ καὶ μόνος, ὡς εἰπεῖν, ὁ οἶκος οὗτος ἐπὶ πλείστας διαδοχὰς τῶν τοιούτων κακῶν ἐκαθάρευσε· μᾶλλον δ' εἷς μόνος τῶν ἀπ' Ἀντιγόνου Φίλιππος ἀνεῖλεν υἱόν. Αἱ δ' ἄλλαι σχεδὸν ἅπασαι διαδοχαὶ, πολλῶν μὲν ἔχουσι παίδων, πολλῶν δὲ μητέρων φόνους καὶ γυναικῶν. Τὸ μὲν γὰρ ἀδελφοὺς ἀναιρεῖν, ὥσπερ οἱ γεωμέτραι τὰ αἰτήματα λαμβάνουσιν, οὕτω συνεχωρεῖτο κοινόν τι νομιζόμενον αἴτημα καὶ βασιλικὸν ὑπὲρ ἀσφαλείας.

IV. Τοῦ μέντοι καὶ φιλάνθρωπον φύσει καὶ φιλεταῖρον γεγονέναι τὸν Δημήτριον ἐν ἀρχῇ, παράδειγμα τοιοῦτόν ἐστιν εἰπεῖν. Μιθριδάτης, ὁ Ἀριοβαρζάνου παῖς, ἑταῖρος ἦν καθ' ἡλικίαν αὐτοῦ καὶ συνήθης, ἐθεράπευε δ' Ἀντίγονον, οὔτ' ὢν, οὔτε δοκῶν πονηρός· ἐκ δ' ἐνυπνίου τινὸς ὑποψίαν Ἀντιγόνῳ παρέσχεν. Ἔδοκει μέγα καὶ καλὸν πεδίον ἐπιὼν ὁ Ἀντίγονος, ψήγματα χρυσίου κατασπείρειν· ἐξ αὐτοῦ δὲ πρῶτον μὲν ὑποφύεσθαι θέρος χρυσοῦν, ὀλίγῳ δ' ὕστερον ἐπανελθὼν, οὐδὲν ἰδεῖν, ἀλλ' ἢ τετμημένην καλάμην. Λυπούμενος δὲ καὶ περιπαθῶν, ἀκοῦσαι τινῶν λεγόντων, ὡς ἄρα ὁ Μιθριδάτης ἐς Πόντον Εὔξεινον ὄἴχεται, τὸ χρυσοῦν θέρος ἐξαμησάμενος. Ἐκ τούτου ταραχθεὶς, καὶ τὸν υἱὸν ὁρκώσας σιωπήσειν, ἔφρασε τὴν ὄψιν αὐτῷ, καὶ ὅτι πάντως τὸν ἄνθρωπον ἐκποδὼν ποιεῖσθαι· καὶ διαφθείρειν ἔγνωκεν. Ἀκούσας δ' ὁ Δημήτριος ἠχθέσθη σφόδρα, καὶ τοῦ πεπίστευκεν, καθάπερ εἰώθει, γενομένου παρ' αὐτῷ καὶ συνόντος ἐπὶ σχολῆ, φθέγξασθαι μὲν οὐκ ἐτόλμησεν, οὐδὲ τῇ φωνῇ κατεῖπεῖν, διὰ τὸν ὅρκον· ὑπαγαγὼν δὲ κατὰ μικρὸν ἀπὸ τῶν φίλων, ὡς ἐγεγόνεισαν μόνοι καθ' αὑτοὺς, τῷ στύραξι τῆς λόγχης κατέ-

γραφεν εἰς τὴν γῆν, ὁρῶντος αὐτοῦ· „Φεῦγε, Μιθριδάτα.“ Συνεὶς δ' ἐκεῖνος, ἀπέδρα νυκτὸς εἰς Καππαδοκίαν. Καὶ ταχὺ τὴν Ἀντιγόνῳ γενομένην ὄψιν ὕπαρ αὐτοῦ συνετέλει τὸ χρεών. Πολλῆς γὰρ καὶ ἀγαθῆς ἐκράτησε χώρας, καὶ τὸ τῶν Παντικῶν βασιλέων γένος, ὀγδόῃ που διαδοχῇ παυσάμενος ὑπὸ Ῥωμαίων, ἐκεῖνος παρέσχε. Ταῦτα μὲν οὖν εὐφυΐας δείγματα τοῦ Δημητρίου πρὸς ἐπιείκειαν καὶ δικαιοσύνην.

V. Ἐπεὶ δ', ὥσπερ ἐν τοῖς Ἐμπεδοκλέους στοιχείοις, διὰ τὸ νεῖκος καὶ τὴν φιλίαν ἔνεστι διαφορὰ πρὸς ἄλληλα καὶ πόλεμος, μᾶλλον δὲ τοῖς ἀλλήλων ἁπτομένοις καὶ πελάζουσιν· οὕτω τὸν πᾶσι τοῖς Ἀλεξάνδρου διαδόχοις πρὸς ἀλλήλους ὄντα συνεχῆ πόλεμον αἱ τῶν πραγμάτων καὶ τῶν τόπων συναφειαι πρὸς ἐνίους ἐποίουν ἐπιφανέστερον, καὶ μᾶλλον ἐξέκαον, ὥσπερ Ἀντιγόνῳ τότε πρὸς Πτολεμαῖον. Αὐτὸς μὲν Ἀντίγονος ἐν Φρυγίᾳ διέτριβε· Πτολεμαῖον δ' ἀκούσας ἐκ Κύπρου διαβάντα πορθεῖν Συρίαν, καὶ τὰς πόλεις ἀπάγειν καὶ βιά- 891
ζεσθαι, κατέπεμψε τὸν υἱὸν Δημήτριον, δύο καὶ εἴκοσι ἐτῶν ὄντα, καὶ στρατείας τότε πρῶτον αὐτοτελῶς ἐπὶ πράγμασι μεγάλοις ἁπτόμενον. Οἷα δὲ νέος καὶ ἄπειρος ἀνδρὶ συμπεσὼν ἐκ τῆς Ἀλεξάνδρου παλαίστρας, ἠθλημότι πολλοὺς καὶ μεγάλους καθ' αὑτὸν ἀγῶνας, ἐσφάλη περὶ πόλιν Γάζαν ἡττηθείς, ὁπτακισχιλίων ἁλόντων καὶ πεντακισχιλίων ἀποθανόντων. Ἀπέβαλε δὲ καὶ σκηνὴν καὶ χρήματα, καὶ ὅλως σύμπασαν τὴν περὶ τὸ σῶμα θεραπείαν. Ἀλλὰ ταῦτα μὲν αὐτῷ Πτολεμαῖος ἀπέπεμψε μετὰ τῶν φίλων, εὐγνώμονα καὶ φιλάνθρωπον ἀνειπὼν λόγον, ὡς οὐ περὶ πάντων ἅμα, περὶ δόξης δὲ καὶ ἀρχῆς πολεμητέον ἐστὶν αὐτοῖς. Δημήτριος δὲ δεξάμενος εὔξατο τοῖς θεοῖς μὴ πολὺν χρόνον ὀφειλέτην γενέσθαι Πτολεμαίῳ τῆς χάριτος, ἀλλὰ ταχέως ἀμείψασθαι διὰ τῶν ὁμοίων. Καὶ πάθος οὐ μειρακίου παθών, ἐν ἀρχῇ πράξεων ἀνατραπέντος, ἀλλ' ἐμβριθοῦς στρατηγοῦ,

κεχρημένου πραγμάτων μεταβολαῖς, ἀνδρῶν τε συλλογῆς καὶ κατασκευῆς ὅπλων ἐπεμελεῖτο, καὶ τὰς πόλεις διὰ χειρὸς εἶχε, καὶ τοὺς ἀθροιζομένους ἐγύμναζεν.

VI. Ἀντίγονος δὲ, τὴν μάχην πυθόμενος, Πτολεμαῖον μὲν ἀγγελίους νενικηκότα ἔφη νῦν, αὖθις διαγωνιεῖσθαι πρὸς ἄνδρας· τοῦ δ' υἱοῦ τὸ φρόνημα καθελεῖν καὶ κολοῦσαι μὴ βουλόμενος, οὐκ ἐνέστη πάλιν αἰτουμένῳ μάχεσθαι καθ' αὑτὸν, ἀλλ' ἀφῆκε. Καὶ μετ' οὐ πολὺν χρόνον ἀφῖκτο Κίλλης, Πτολεμαίου στρατηγὸς, μετὰ λαμπρᾶς δυνάμεως, ὡς ἐξελάσων Συρίας Δημήτριον ἁπάσης, τῷ προητῆσθαι καταφρονούμενον. Ὁ δ' ἐξαίφνης ἐπιπεσὼν οὐ προαισθομένῳ, καὶ φοβήσας, ἔλαβεν αὐτῷ στρατηγῷ τὸ στρατόπεδον· καὶ στρατιώτας μὲν ἑπτακισχιλίους ζῶντας εἶλε, χρημάτων δὲ παμπόλλων ἐκυρίευσεν. Ἔχαιρε δὲ νικήσας, οὐχ οἷς ἔξειν, ἀλλ' οἷς ἀποδώσειν ἔμελλε· καὶ τῆς νίκης οὐ τὸν πλοῦτον οὕτως, οὐδὲ τὴν δόξαν, ὡς τὴν διάλυσιν τοῦ φιλανθρωπεύματος ἐκείνου καὶ τὴν χάριν ἠγάπησεν. Οὐ μὴν αὐτογνωμόνως ταῦτ' ἔπραξεν, ἀλλ' ἔγραψε τῷ πατρί. Δόντος δ' ἐκείνου καὶ κελεύσαντος ὃν βούλεται πᾶσι χρῆσθαι τρόπον, αὐτόν τε τὸν Κίλλην, καὶ φίλους αὐτῷ δωρησάμενος ἀφθόνως, ἀπέπεμψε. Τοῦτο τὸ πάθος Συρίας ἐξήλασε Πτολεμαῖον, Ἀντίγονον δὲ κατήγαγεν ἐκ Κελαινῶν, χαίροντα τῇ νίκῃ, καὶ ποθοῦντα θεάσασθαι τὸν υἱόν.

VII. Ἐκ τούτου δὲ τῶν Ἀράβων τοὺς καλουμένους Ναβαταίους ὑπαγαγέσθαι πεμφθεὶς ὁ Δημήτριος, ἐκινδύνευσε μὲν εἰς τόπους ἀνύδρους ἐμπεσὼν· τῷ δὲ μὴ διαταραχθῆναι, μηδ' ἐκπλαγῆναι καταπληξόμενος τοὺς βαρβάρους, λείαν τε λαβὼν πολλὴν, καὶ καμήλους ἑκατοσίας παρ' αὐτῶν, ἀνεχώρησεν. Ἐπεὶ δὲ Σέλευκος, ἐκπεσὼν μὲν ὑπ' Ἀντιγόνου τῆς Βαβυλωνίας πρότερον, ὕστερον δ' ἀναλαβὼν τὴν ἀρχὴν δι' αὐτοῦ καὶ κρατῶν, ἀνέβη μετὰ δυνάμεως, τὰ συνοροῦντα τοῖς Ἰνδοῖς ἔθνη

καὶ τὰς περὶ τὸν Καύκασον ἐπαρχίας προσαξόμενος· ἐλπίζων Δημήτριος ἔρημον εὑρήσειν τὴν Μεσοποταμίαν, καὶ περάσας ἄφνω τὸν Εὐφράτην, εἰς τὴν Βαβυλωνίαν παρεισπεσὼν ἔφθη, καὶ τῆς ἑτέρας ἄκρας (δύο γὰρ ἦσαν) ἐκκρούσας τὴν τοῦ Σελεύκου φρουράν, καὶ κρατήσας, ἰδίους ἐγκατέστησεν ἑπτακισχιλίους ἄνδρας. Ἐκ δὲ τῆς χώρας, ὅσα φέρειν ἢ ἄγειν ἠδύναντο, τοὺς στρατιώτας ὠφελεῖσθαι καὶ λαμβάνειν κελεύσας, ἐπανῆλθεν ἐπὶ θάλασσαν, βεβαιοτέραν Σελεύκῳ τὴν ἀρχὴν ἀπολιπών· ἐξίστασθαι γὰρ ἐδόκει τῷ κακοῦν, ὡς μηκέτι προσήκουσαν αὐτοῖς. Πτολεμαίου μέντοι πολιορκοῦντος Ἁλικαρνασσὸν, ὀξέως βοηθήσας ἐξήρπασε τὴν πόλιν.

VIII. Ἐνδόξου δὲ τῆς φιλοτιμίας ταύτης γενομένης, ὁρμὴ παρέστη θαυμάσιος αὐτοῖς ἐλευθε- 892
ροῦν τὴν Ἑλλάδα πᾶσαν, ὑπὸ Κασάνδρου καὶ Πτολεμαίου καταδεδουλωμένην. Τούτου πόλεμον οὐδεὶς ἐπολέμησε τῶν βασιλέων καλλίω καὶ δικαιότερον· ἅς γὰρ, ἅμα τοὺς βαρβάρους ταπεινοῦντες, εὐπορίας συνήγαγον, εἰς τοὺς Ἕλληνας ὑπὲρ εὐδοξίας καὶ τιμῆς ἀνήλισκον. Ὡς δὲ πρῶτον ἐδόκει πλεῖν ἐπὶ τὰς Ἀθήνας, τῶν φίλων εἰπόντος τινὸς πρὸς τὸν Ἀντίγονον, ὅτι δεῖ ταύτην τὴν πόλιν, ἂν ἕλωσι, κατέχειν δι' αὐτῶν, ἐπιβάθραν τῆς Ἑλλάδος οὖσαν, οὐ προσέσχεν ὁ Ἀντίγονος, ἀλλ' ἐπιβάθραν μὲν ἔφη καλὴν καὶ ἀσάλευτον εἶναι τὴν εὔνοιαν· τὰς δ' Ἀθήνας, ὥσπερ σκοπὸν τῆς οἰκουμένης, ταχὺ τῇ δόξῃ διαπυρσεύσειν εἰς ἅπαντας ἀνθρώπους τὰς πράξεις. Ἔπλει δὲ Δημήτριος ἔχων ἀργυρίου πεντακισχίλια τάλαντα, καὶ στόλον νεῶν πεντήκοντα καὶ διακοσίων ἐπὶ τὰς Ἀθήνας, τὸ μὲν ἄστυ Δημητρίου τοῦ Φαληρέως Κασάνδρῳ διοικοῦντος, ἐν δὲ τῇ Μουνυχίᾳ φρουρᾶς καθεστώσης. Εὐτυχίᾳ δ' ἅμα καὶ προνοίᾳ χρησάμενος, ἐπεφαίνετο τῷ Πειραιεῖ πέμπτῃ φθίνοντος Θαργηλιῶνος, προαισθομένου μὲν οὐδενός· ἐπεὶ δ' ὤφθη πλησίον ὁ στόλος, ἁπάντων ὡς Πτολεμαϊκὰς τὰς ναῦς ὑποδεχε-

σθαι παρασκευαζομένων, ὑψὲ συμφρονήσαντες ἐβοήθουν οἱ στρατηγοὶ, καὶ θορυβος ἦν, οἷον εἰκὸς ἐν ἀπροσδοκήτῳ πολεμίους ἀποβαίνοντας ἀναγκαζομένων ἀμύνεσθαι. Τοῖς γὰρ ὀνόμασι τῶν λιμένων ἀπλείστοις ἐπιτυχὼν ὁ Δημήτριος, καὶ διεξελάσας ἐντὸς, ἦν ἤδη καταφανὴς πᾶσι, καὶ διεσήμηνεν ἀπὸ τῆς νεὼς αἴτησιν ἡσυχίας καὶ σιωπῆς. Γενομένου δὲ τούτου, κήρυκα παραστησάμενος, ἀνεῖπεν, ὅτι πέμψειεν αὐτὸν ὁ πατὴρ ἀγαθῇ τύχῃ Ἀθηναίους ἐλευθερώσοντα, καὶ τὴν φρουρὰν ἐκβαλοῦντα, καὶ τοὺς νόμους αὐτοῖς καὶ τὴν πάτριον ἀποδώσοντα πολιτείαν.

IX. Ἀναρρηθέντων δὲ τούτων, οἱ μὲν πολλοὶ τὰς ἀσπίδας παραχρῆμα θέμενοι πρὸ τῶν ποδῶν ἀνεκρότησαν, καὶ βοῶντες ἐκέλευον ἀποβαίνειν τὸν Δημήτριον, σωτῆρα καὶ εὐεργέτην ἀναγορεύοντες· οἱ δὲ περὶ τὸν Φαληρέα πάντως μὲν ᾠοντο δεῖν δέχεσθαι τὸν κρατοῦντα, κἂν οὐδὲν, ὧν ἐπαγγέλλεται, μέλλῃ βεβαιοῦν· ὅμως δὲ πρέσβεις δεομένους ἀπέστειλαν, οἷς ὁ Δημήτριος ἐντυχὼν φιλανθρώπως, συνέπεμψε παρ' ἑαυτοῦ τῶν πατρῴων φίλων τὸν Μιλήσιον Ἀριστόδημον. Τοῦ δὲ Φαληρέως διὰ τὴν μεταβολὴν τῆς πολιτείας μᾶλλον τοὺς πολίτας, ἢ τοὺς πολεμίους, φοβουμένου, οὐκ ἠμέλησεν ὁ Δημήτριος, ἀλλὰ καὶ τὴν δόξαν αἰδεσθεὶς καὶ τὴν ἀρετὴν τοῦ ἀνδρὸς, εἰς Θήβας αὐτὸν, ὥσπερ ἠβούλετο, μετ' ἀσφαλείας συνεξέπεμψεν. Αὐτὸς δὲ τὴν μὲν πολιν οὐκ ἂν ἔφη, καίπερ ἐπιθυμῶν, ἰδεῖν πρότερον, ἢ πανταπασι ἐλευθερῶσαι, τῆς φρουρᾶς ἀπαλλάξας· τῇ δὲ Μουνυχίᾳ χαράκωμα καὶ τάφρον περιβαλὼν διὰ μέσου, Μεγαρεῖς ἐπέπλευσεν ὑπὸ Κασάνδρου φρουρουμένους. Πυθόμενος δὲ τὴν Ἀλεξάνδρου τοῦ Πολυπέρχοντος γενομένην γυναῖκα Κρατησίπολιν, ἐν Πάτραις διατρίβουσαν, οὐκ ἂν ἀηδῶς γενέσθαι μετ' αὐτοῦ, περιδοῦσαν οὖσαν ἐπὶ πάλλει, καταλιπὼν τὴν δύναμιν ἐν τῇ Μεγαρικῇ, προῆλθεν εὐζώνους τινὰς ἔχων σὺν αὐτῷ. Καὶ τούτων πάλιν ἀποστρέψας, ἀπεσκήνωσε χωρὶς, ὑπὲρ

τοῦ λαθεῖν τὴν γυναῖκα συνελθοῦσαν αὐτῷ. Τοῦτο τοιὲς αἰσθόμενοι τῶν πολεμίων, ἐξαίφνης κατέδραμον ἐπ' αὐτόν. Ὁ δὲ φοβηθεὶς, καὶ λαβὼν χλαμύδιον εὐτελὲς, δρόμῳ φεύγων ἐξέφυγεν, ὀλίγου δεήσας αἰσχίστην ἅλωσιν ἐξ ἀκρασίας ἁλῶναι. Τὴν δὲ σκηνὴν μετὰ τῶν χρημάτων ἔσχοντο λαβόντες οἱ πολέμιοι. Τῶν δὲ Μεγάρων ἁλόντων, καὶ τῶν στρατιωτῶν ἐφ' ἁρπαγὴν τραπομένων, Α. 893 θηναῖοι παρητήσαντο πολλῇ δεήσει τοὺς Μεγαρεῖς καὶ τὴν φρουρὰν ὁ Δημήτριος ἐκβαλὼν, ἠλευθέρωσε τὴν πόλιν. Ἔτι δὲ τούτου πραττῶν, τοῦ φιλοσόφου Στίλπωνος ἐμνήσθη, δόξαν ἔχοντος ἀνδρὸς ἠρημένου πως ἐκ ἡσυχίᾳ καταβιῶναι. Μεταπεμψάμενος οὖν ἠρώτα, μή τις εἴληφέ τι τῶν ἐκείνου. Καὶ ὁ Στίλπων, „Οὐδείς," εἶπεν· „οὐδένα γὰρ εἶδον ἐπιστάμαν ἀποφέροντα." Τῶν δὲ θεραπόντων σχεδὸν ἁπάντων διακλαπέντων, ἐπεὶ πάλιν αὐτὸν ὁ Δημήτριος ἐφιλοφρονεῖτο, καὶ τέλος ἀπαλλαττόμενος εἶπεν· „Ἐλευθέραν ὑμῶν, ὦ Στίλπων, ἀπολείπω τὴν πόλιν." „Ὀρθῶς," ἔφη, „λέγεις. Οὐδένα γὰρ ἡμῶν δοῦλον ἀπολείλοιπας."

X. Ἐπεὶ δὲ πάλιν ἐπανῆλθεν πρὸς τὴν Μουνυχίαν, καταστρατοπεδεύσας ἐξέκοψε τὴν φρουράν, καὶ κατέσκαψε τὸ φρούριον, οὕτως ἤδη, τῶν Ἀθηναίων δεχομένων καὶ καλούντων, παρελθὼν εἰς τὸ ἄστυ, καὶ συναγαγὼν τὸν δῆμον, ἀπέδωκε τὴν πάτριον πολιτείαν· καὶ προσυπέσχετο παρὰ τοῦ πατρὸς αὐτοῖς ἀφίξεσθαι σίτου πεντεκαίδεκα μυριάδας μεδίμνων, καὶ ξύλων ναυπηγησίμων πλῆθος εἰς ἑκατὸν τριήρεις. Ἀθηναῖοι δ' ἀπολαβόντες τὴν δημοκρατίαν ἔτει πεντεκαιδεκάτῳ, τὸν δὲ μέσον χρόνον ἀπὸ τῶν Λαμιακῶν καὶ τῆς περὶ Κρανῶνα μάχης, λόγῳ μὲν ὀλιγαρχικῆς, ἔργῳ δὲ μοναρχικῆς καταστάσεως γενομένης, διὰ τὴν τοῦ Φαληρέως δύναμιν, οὕτω λαμπρὸν ἐν ταῖς εὐερχεσίαις καὶ μέγαν φανέντα τὸν Δημήτριον, ἐπαχθῆ καὶ βαρὺν ἐποίησαν τῶν τιμῶν ταῖς ἀμετρίαις, ἃς ἐψηφίσαντο. Πρῶτον μὲν γὰρ ἁπάντων τὸν Δημήτριον καὶ Ἀντίγονον βασιλεῖς

ἀνηγόρευσαν, ἄλλως ἀφοσιουμένους τοὔνομα, ὡς τοῦτο δὴ μόνον τῶν βασιλικῶν ἔτι τοῖς ἀπὸ Φιλίππου καὶ Ἀλεξάνδρου περιεῖναι δοκοῦν ἄθικτον ἑτέροις καὶ ἀκοινώνητον. Μόνοι δὲ σωτῆρας ἀνέγραψαν θεούς, καὶ τὸν ἐπώνυμον καὶ πάτριον ἄρχοντα καταπαύσαντες, ἱερέα σωτήρων ἐχειροτόνουν καθ' ἕκαστον ἐνιαυτόν· καὶ τοῦτον ἐπὶ τῶν ψηφισμάτων καὶ τῶν συμβολαίων προέγραφον. Ἐνυφαίνεσθαι δὲ τῷ πέπλῳ μετὰ τῶν θεῶν αὐτοὺς ἐψηφίσαντο· καὶ τὸν τόπον, ὅπου πρῶτον ἀπέβη τοῦ ἅρματος, καθιερώσαντες, καὶ βωμὸν ἐπιθέντες, Δημητρίου Καταιβάτου προσηγόρευσαν. Καὶ ταῖς φυλαῖς δύο προσέθεσαν, Δημητριάδα καὶ Ἀντιγονίδα· καὶ τὴν βουλὴν τῶν πεντακοσίων πρῶτον, ἑξακοσίων ἐποίησαν, ἅτε δὴ φυλῆς ἑκάστης πεντήκοντα βουλευτὰς παρεχομένης.

XI. Τὸ δ' ὑπερφυέστατον ἐνθύμημα τοῦ Στρατοπλέους ἦν. Οὗτος γὰρ, ὁ τῶν σοφῶν τούτων καὶ περιττῶν καινουργὸς ἀρεσκευμάτων, ἔγραψεν, ὅπως οἱ πεμπόμενοι κατὰ ψήφισμα δημοσίᾳ πρὸς Ἀντίγονον ἢ Δημήτριον ἀντὶ πρεσβευτῶν θεωροὶ λέγοιντο, καθάπερ οἱ Πυθοῖ καὶ Ὀλυμπίαζε τὰς πατρίους θυσίας ὑπὲρ τῶν πόλεων ἄπαγοντες ἐν ταῖς Ἑλληνικαῖς ἑορταῖς. Ἦν δὲ καὶ τἆλλα παράτολμος ὁ Στρατοκλῆς, καὶ βεβιωκὼς ἀσελγῶς, καὶ τῇ τοῦ παλαιοῦ Κλέωνος ἀπομιμεῖσθαι δοκῶν βωμολοχίᾳ καὶ βδελυρίᾳ τὴν πρὸς τὸν δῆμον εὐχέρειαν. Ἔσχε δὲ τὴν ἑταίραν Φυλάκιον ἀνειληφὼς· καί ποτ' αὐτῷ πρὸς δεῖπνον ἐξ ἀγορᾶς πριαμένῃ ἐγκεφάλους καὶ τραχήλους, „Παπαῖ," εἶπε, „τοιαῦτά γ' ὠψώνηκας, οἷς σφαιρίζομεν οἱ πολιτευόμενοι." Τῆς δὲ περὶ Ἁρπαλον ἥττης τῶν νεῶν συμβάσης τοῖς Ἀθηναίοις, φθάσας τοὺς ἀπαγγέλλοντας, εἰσῆλασεν ἐστεφανωμένος διὰ τοῦ Κεραμεικοῦ, καὶ προσαγγείλας, ὅτι νενικήκασιν, εὐαγγέλια θύειν ἔγραψε, 894 καὶ κρεωδαισίαν τινὰ κατὰ φυλὴν ἐποίησεν. Ὀλίγῳ δ' ὕστερον τῶν τὰ ναυάγια κομιζόντων ἀπὸ τῆς μάχης παραγενομένων, καὶ τοῦ δήμου πρὸς ὀργὴν καλοῦν-

τος αὐτὸν, ἰταμῶς ὑποστὰς τὸν θόρυβον, „Εἶτα,“ ἔφη, „τί πεπόνθατε δεινὸν, εἰ δύο ἡμέρας ἡδέως γεγόνατε;“ Τοιαύτη μὲν ἡ τοῦ Στρατοκλέους θρασύτης.

XII. Ἦν δ' ἄρα καὶ πυρὸς ἕτερα θερμότερα κατὰ τὸν Ἀριστοφάνη. Γράφει γάρ τις ἄλλος, ὑπερβαλλόμενος ἀνελευθερίᾳ τὸν Στρατοκλέα, δέχεσθαι Δημήτριον, ὁσάκις ἂν παραγένηται, τοῖς Δήμητρος καὶ Διονύσου ξενισμοῖς· τῷ δ' ὑπερβαλλομένῳ λαμπρύτητι καὶ πολυτελείᾳ τὴν ὑποδοχὴν ἀργύριον εἰς ἀνάθημα δημοσίᾳ δίδοσθαι. Τέλος δὲ τῶν τε μηνῶν τὸν Μουνυχιῶνα Δημητριῶνα, καὶ τῶν ἡμερῶν τὴν ἕνην καὶ νέαν Δημητριάδα προσηγόρευσαν, καὶ τῶν ἑορτῶν τὰ Διονύσια μετωνόμασαν Δημήτρια. Ἐπεσήμαινε δὲ τοῖς πλείστοις τὸ θεῖον. Ὁ μὲν γὰρ πέπλος, ὥσπερ ἐψηφίσαντο, μετὰ τοῦ Διὸς καὶ τῆς Ἀθηνᾶς προσενυφηναμένων Δημήτριον καὶ Ἀντίγονον, „πεμπόμενος διὰ τοῦ Κεραμεικοῦ,“ μέσος ἐρράγη· θυέλλης ἐμπεσούσης περὶ δὲ τοὺς βωμοὺς τοὺς ἐκείνων ἐξήνθησεν ἡ γῆ κύκλῳ πολὺ καινεῖον, ἄλλως μηδὲ τῆς χώρας πολλαχοῦ φυόμενον. Τῇ δ' ἡμέρᾳ, ᾗ τὰ Διονύσια ἐγίνετο, τὴν πομπὴν κατέλυσαν, ἐσχυρῶν πάγων γενομένων παρ' ὥραν, καὶ πάχνης βαθείας πεσούσης, ἧς οὐ μόνον ἀμπέλους καὶ συκᾶς ἁπάσας ἀπέκαυσε τὸ ψύχος, ἀλλὰ καὶ τοῦ σίτου τὸν πλείστον κατέφθειρεν ἐν χλόῃ. Διὸ καὶ Φιλιππίδης ἐχθρὸς ὢν τοῦ Στρατοκλέους, ἐν κωμῳδίᾳ πρὸς αὐτὸν ἐποίησε ταῦτα·

Διὰ ὃν ἀπέκαυσεν ἡ πάχνη τὰς ἀμπέλους,
Διὰ ὃν ἀσεβοῦνθ' ὁ πέπλος ἐράγη μέσος,
Τὰς τῶν θεῶν τιμὰς προιοῦντ' ἀνθρωπίνας.
Ταῦτα παταλύει δῆμον, οὐ κωμῳδία.

Ἦν δ' ὁ Φιλιππίδης Λυσιμάχου φίλος, καὶ πολλὰ δι' αὐτὸν ὁ δῆμος εὖ ἔπαθεν ὑπὸ τοῦ βασιλέως. Ἐδόκει δὲ καὶ πρὸς πρᾶξιν αὐτῷ καὶ πρὸς στρατείαν εὐσύμβολος ἀπαντήσας εἶναι καὶ ὠφελής. Ἄλλως δὲ καὶ διὰ τὸ ἦθος εὐδοκίμει, μηδὲν ἐνοχλῶν, μηδ' αὐλικῆς περιεργίας ἀναπιμπλάμενος.

Φιλοφρονουμένου δέ ποτε τοῦ Λυσιμάχου πρὸς αὐτὸν, καὶ εἰπόντος· „Ὦ Φιλιππίδη, τίνος σοι τῶν ἐμῶν μεταδῶ;“ „Μόνον,“ ἔφη, „βασιλεῦ, μὴ τῶν ἀπορρήτων.“ Τοῦτον μὲν οὖν ἐπίτηδες ἐκείνῳ παρεθήκαμεν, τῷ ἀπὸ τοῦ βήματος τὸν ἀπὸ τῆς θυμέλης.

XIII. Ὁ δὲ μάλιστα τῶν τιμῶν ὑπερφυὲς ἦν καὶ ἀλλόκοτον, ἔγραψε Δρομοκλείδης ὁ Σφήττιος, ὑπὲρ τῆς τῶν ἀσπίδων ἀναθέσεως εἰς Δελφοὺς παρὰ Δημητρίου λαβεῖν χρησμόν. Αὐτὴν δὲ παραγράψω τὴν λέξιν ἐκ τοῦ ψηφίσματος, οὕτως ἔχουσαν „Ἀγαθῇ τύχῃ δεδόχθω τῷ δήμῳ, χειροτονῆσαι τὸν δῆμον ἕνα ἄνδρα ἐξ Ἀθηναίων, ὅστις ἀφικόμενος πρὸς τὸν Σωτῆρα, καὶ καλλιερησάμενος, ἐπερωτήσει [Δημήτριον] τὸν Σωτῆρα, πῶς εὐσεβέστατα καὶ κάλλιστα καὶ τὴν ταχίστην ὁ δῆμος τὴν ἀποκατάστασιν ποιήσαιτο τῶν ἀναθημάτων· ὅ τε δ' ἂν χρήσῃ, ταῦτα πράττειν τὸν δῆμον.“ Οὕτω καταμωκώμενοι τοῦ ἀνθρώπου, προσδιέφθειραν αὐτὸν, οὐδ' ἄλλως ὑγιαίνοντα τὴν διάνοιαν.

XIV. Ἀλλ' ἔν γε ταῖς Ἀθήναις τότε σχολάζων, ἠγάγετο χηρεύουσαν Εὐρυδίκην, ἡ Μιλτιάδου μὲν ἦν ἀπόγονος, τοῦ παλαιοῦ, συνοικήσασα δ' Ὀφέλτᾳ, τῷ Κυρήνης ἄρξαντι, μετὰ τὴν ἐκείνου τελευτὴν ἀφίκετο πάλιν εἰς τὰς Ἀθήνας. Οἱ μὲν οὖν Ἀθηναῖοι τὸν γάμον τοῦτον εἰς χάριν ἔθεντο καὶ τιμὴν τῆς πόλεως. Ἄλλως δ' ὁ Δημήτριος εὐχερής τις ἦν περὶ γάμους, καὶ πολλαῖς ἅμα συνῆν γυναιξίν, ὧν ἀξίωμα μέγιστον εἶχε καὶ τιμὴν Φί-
895 λα, δι' Ἀντίπατρον τὸν πατέρα, καὶ διὰ τὸ προσυνωκηκέναι Κρατερῷ, τῷ πλείστην εὔνοιαν αὐτοῦ παρὰ Μακεδόσι τῶν Ἀλεξάνδρου διαδόχων ἀπολιπόντι. Ταύτην, ὡς ἔοικε, κομιδῇ νέον ὄντα τὸν Δημήτριον ἔπεισθεν ὁ πατὴρ, οὐκ οὖσαν αὐτῷ καθ' ὥραν, ἀλλὰ πρεσβυτέραν, λαβεῖν· ἀπροθύμως δ' ἔχοντι, λέγεται πρὸς τὸ αὖς τὸ Εὐριπίδειον εἰπεῖν

Ὅπου τὸ κέρδος, παρὰ φύσιν γαμητέον.

ὁμαιόπτωτόν τι τῷ δουλευτέον εὐθυρρημονήσας. Τοιαύτη μὲν οὖν τις ἦν ἡ τοῦ Δημητρίου τιμὴ πρός τε Φίλαν καὶ τὰς ἄλλας γαμετάς, ὥστε πολλαῖς μὲν ἀνέδην ἑταίραις, πολλαῖς δ' ἐλευθέραις συνεῖναι γυναιξὶ, καὶ μάλιστα δὴ περὶ τὴν ἡδονὴν ταύτην κακῶς ἀπούσαι τῶν τότε βασιλέων.

XV. Ἐπεὶ δ' ὁ πατὴρ αὐτὸν ἐκάλει Πτολεμαίῳ περὶ Κύπρου πολεμήσοντα, πείθεσθαι μὲν ἦν ἀναγκαῖον· ἀχθόμενος δ', ὅτε τὸν ὑπὲρ τῆς Ἑλλάδος πόλεμον, ὄντα καλλίω καὶ λαμπρότερον, ἀπολείπει, προσέπεμψε Κλεωνίδῃ, τῷ Πτολεμαίου στρατηγῷ, φρουροῦντι Σικυῶνα καὶ Κόρινθον, χρήματα πρατεῖνων, ὥστ' ἐλευθέρας ἀφεῖναι τὰς πόλεις. Οὐ προσδεξαμένου δ' ἐκείνου, διὰ ταχέων ἀναχθεὶς καὶ προσλαβὼν δύναμιν, ἐπέπλευσε Κύπρῳ. Καὶ Μενέλαον μὲν, ἀδελφὸν Πτολεμαίου, μάχην συνάψας εὐθὺς ἐνίκησεν· αὐτοῦ δὲ Πτολεμαίου μετὰ δυνάμεως πεζικῆς ἅμα καὶ ναυτικῆς μεγάλης ἐπιφανέντος, ἐγένοντο μὲν ἀπειλαί τινες κομπώδεις καὶ διάλογοι, τοῦ μὲν ἀποπλεῖν Δημήτριον κελεύοντος, πρὶν ὑπὸ τῆς δυνάμεως πάσης ἀθροισθείσης καταπατηθῆναι, Δημητρίου δ' ἐκεῖνον ἀφεῖναι φάσκοντος, ἂν ὁμολογήσῃ Σικυῶνα καὶ Κόρινθον ἀπαλλάξειν τῆς φρουρᾶς. Ὁ δ' ἀγὼν οὐ μόνον αὐτοῖς ἐκείνοις, ἀλλὰ καὶ τοῖς ἄλλοις ἅπασι δυνάσταις, πολλὴν εἶχε προσδοκίαν τῆς ἐπικρεμαμένης ἀθηλότητος, ὡς οὐ Κύπρον, οὐδὲ Συρίαν, ἀλλὰ τὸ μέγιστον εὐθὺς εἶναι πάντων, τῷ κρατοῦντι τῆς νίκης προστιθείσης.

XVI. Αὐτὸς μὲν οὖν Πτολεμαῖος ἐπέπλει πεντήκοντα καὶ ἑκατὸν ναῦς ἔχων· ἐκ δὲ Σαλαμῖνος ἐκέλευσε Μενέλαον ἑξήκοντα ναυσὶν, ὅταν μάλιστα σύστασιν ὁ ἀγὼν ἔχῃ, προσφερόμενον, τὰς Δημητρίου κόπτειν ἐξόπισθεν, καὶ διαταράττειν τὴν τάξιν. Δημήτριος δὲ ταῖς μὲν ἑξήκοντα ταύταις ἀντέταξε δέκα ναῦς, (τοσαῦται γὰρ ἦκουν στενὸν ὄντα τοῦ λιμένος ἐμφράξαι τὸν ἔκπλουν) αὐτὸς δὲ

τὸ πεζὸν ἐπτάξας καὶ τοῖς ἀνατείνουσιν εἰς τὴν θάλασσαν ἀκροτηρίοις περιχαράμενος, οὕτως ἀνήχθη ναυσὶν ἑκατὸν ὀγδοήκοντα· προσμίξας δὲ ῥώμῃ καὶ βίᾳ πολλῇ, κατὰ κράτος ἐτρέψατο τὸν Πτολεμαῖον, αὐτὸν μὲν, ὡς ἐνικήθη, διὰ ταχέων φεύγοντα ναυσὶν ὀκτὼ μόναις, (τοσαῦται γὰρ ἐκ πασῶν περιεσώθησαν, τῶν δ' ἄλλων αἱ μὲν ἐν τῇ ναυμαχίᾳ διεφθάρησαν, ἑβδομήκοντα δ' ἥλωσαν αὐτανδροι,) τοῦ δ' ἐν ὁλκάσι παρορμοῦντος ὄχλου θεραπόντων καὶ φίλων καὶ γυναικῶν, ἔτι δ' ὅπλων καὶ χρημάτων καὶ μηχανημάτων ἁπλῶς οὐδὲν ἐξέφυγε τὸν Δημήτριον, ἀλλ' ἔλαβε πάντα καὶ κατήγαγεν εἰς τὸ στρατόπεδον. Ἐν δὲ τούτοις ἡ περιβόητος ἦν Λαμία, τὴν μὲν ἀρχὴν σπουδασθεῖσα διὰ τὴν τέχνην, (ἐδόκει γὰρ αὐλεῖν οὐκ εὐκαταφρονήτως) ὕστερον δὲ καὶ τοῖς ἐρωτικοῖς λαμπρὰ γενομένη. Τότε γοῦν ἤδη λήγουσα τῆς ὥρας, καὶ πολὺ νεώτερον ἑαυτῆς λαβοῦσα τὸν Δημήτριον, ἐκράτησε τῇ χάριτι καὶ κατέσχεν, ὥστ' ἐκείνης εἶναι μόνης ἐραστὴν, τῶν δ' ἄλλων γυναικῶν ἐρώμενον. Μετὰ δὲ τὴν ναυμαχίαν οὐδ' ὁ Μενέλαος ἀντέσχεν, ἀλλὰ τήν τε Σαλαμῖνα παρέδωκε τῷ Δημη-
896 τρίῳ, καὶ τὰς ναῦς καὶ τὸ πεζὸν, ἱππεῖς τε χιλίους καὶ διακοσίους, καὶ μυρίους καὶ δισχιλίους ὁπλίτας.

XVII. Οὕτω δὲ λαμπρὰν καὶ καλὴν τὴν νίκην γενομένην ἔτι μᾶλλον ἐπικοσμῶν ὁ Δημήτριος εὐγνωμοσύνῃ καὶ φιλανθρωπίᾳ, τοὺς νεκροὺς τῶν πολεμίων ἔθαψε μεγαλοπρεπῶς, καὶ τοὺς αἰχμαλώτους ἀφῆκεν Ἀθηναίοις δὲ χιλίας καὶ διακοσίας ἀπὸ τῶν λαφύρων ἐδωρήσατο πανοπλίας. Αὐτάγγελον δὲ τῆς νίκης τῷ πατρὶ τὸν Μιλήσιον Ἀριστόθημον ἔπεμψε, πρωτεύοντα πολλῷ τῶν αὐλικῶν ἁπάντων, καὶ τότε παρεσκευασμένον, ὡς ἔοικε, τῶν πολλευμάτων τὸ μέγιστον ἐπενεγκεῖν τοῖς πράγμασιν. Ὡς γὰρ ἐπέρασεν ἀπὸ τῆς Κύπρου, προσέχειν μὲν οὐκ εἴασε τῇ γῇ τὸ πλοῖον, ἀγκύρας δ' ἀφεῖναι κελεύσας, καὶ κατὰ νεῶν ἔχειν

ἀτρέμα πάντας, αὐτὸς ἐμβὰς εἰς τὸ ἐφόλκιον, ἐξῆλπε μόνος, καὶ πρὸς τὸν Ἀντίγονον ἀνέβαινε μετέωρον ὄντα τῇ προσδοκίᾳ τῆς μάχης, καὶ διακείμενον, ὡς εἰκὸς ἐστι διακεῖσθαι τοὺς περὶ πραγμάτων τηλικούτων ἀγωνιῶντας. Τότε γε μὴν ἀκούσας ἐκεῖνον ἥκειν, ἔτι μᾶλλον, ἢ πρότερον, ἔσχε ταραχωδῶς, καὶ μόλις μὲν αὐτὸν οἴκοι κατεῖχεν, ἄλλους δ' ἔπεμπεν ἐπ' ἄλλοις ὑπηρέτας καὶ φίλους, πευσομένους παρὰ τοῦ Ἀριστοδήμου περὶ τῶν γεγονότων. Ἀποκριναμένου δὲ μηδὲν αὐτοῦ μηδενὶ, βάδην δὲ καὶ συνεστῶτι τῷ προσώπῳ μετὰ πολλῆς σιωπῆς προιόντος, ἐκπλαγεὶς ὁρμιδῆ, καὶ μηκέτι καρτερῶν ὁ Ἀντίγονος, ἐπὶ τὰς θύρας ἀπήντησε, πολλοῦ παραπέμποντος ἤδη τὸν Ἀριστόδημον ὄχλου, καὶ συντρέχοντος ἐπὶ τὸ βασίλειον. Ὡς οὖν ἐγγὺς ἦλθεν, ἐκτείνας τὴν δεξιὰν ἀνεβόησε μεγάλῃ τῇ φωνῇ „Χαῖρε, βασιλεῦ Ἀντίγονε, νικῶμεν [βασιλέα] Πτολεμαῖον ναυμαχίᾳ, καὶ Κύπρον ἔχομεν, καὶ στρατιώτας αἰχμαλώτους μυρίους ἑξακισχιλίους ὀκτακοσίους." Ὁ δ' Ἀντίγονος· „Καὶ σὺ, νὴ Δία, χαῖρε," εἶπεν· „οὕτω δ' ἡμᾶς βασανίσας, δίκην ὑφέξεις· βράδιον γὰρ ἀπολήψῃ τὸ εὐαγγέλιον."

XVIII. Ἐκ τούτου πρῶτον ἀνεφώνησε τὸ πλῆθος Ἀντίγονον καὶ Δημήτριον βασιλέας. Ἀντίγονον μὲν οὖν εὐθὺς ἀνέδησαν οἱ φίλοι· Δημητρίῳ δ' ὁ πατὴρ ἔπεμψε διάδημα, καὶ γράφων ἐπιστολὴν, βασιλέα προσεῖπεν. Οἱ δ' ἐν Αἰγύπτῳ, τούτων ἀπαγγελλομένων, καὶ αὐτοὶ βασιλέα τὸν Πτολεμαῖον ἀνηγόρευσαν, ὡς μὴ δοκεῖν τοῦ ῥητοῦ ὑφίεσθαι διὰ τὴν ἧτταν. Ἐπενείματο δ' οὕτως τὸ πρᾶγμα τῷ ζήλῳ τοὺς διαδόχους. Καὶ γὰρ Λυσίμαχος ἤρξατο φορεῖν διάδημα, καὶ Σέλευκος ἐντυγχάνων τοῖς Ἕλλησιν· ἐπεὶ τοῖς γε βαρβάροις πρότερον οὗτος ὡς βασιλεὺς ἐχρημάτιζε. Κάσανδρος δὲ, τῶν ἄλλων αὐτὸν βασιλέα καὶ γραφόντων καὶ καλούντων, αὐτὸς, ὥσπερ πρότερον εἰώθει, τὰς ἐπιστολὰς ἔγραφε. Τοῦτο δ' οὐ προσθή-

μην ὀνόματος καὶ σχήματος ἐξαλλαγὴν εἶχε μόνον, ἀλλὰ καὶ τὰ φρονήματα τῶν ἀνδρῶν ἐκίνησε, καὶ τὰς γνώμας ἐπῆρε, καὶ τοῖς βίοις καὶ ταῖς ὁμιλίαις αὐτῶν ὄγκον ἐνεποίησε καὶ βαρύτητα, καθάπερ τραγικῶν ὑποκριτῶν ἅμα τῇ σκευῇ συμμεταβαλλόντων καὶ βάδισμα, καὶ φωνήν, καὶ κατάκλισιν, καὶ προσαγόρευσιν. Ἐκ δὲ τούτων ἐγένοντο καὶ περὶ τὰς δικαιώσεις βιαιότεροι, τὴν εἰς πολλὰ παρέχουσαν αὐτοὺς ἐλαφροτέρους καὶ μαλακωτέρους τοῖς ὑπηκόοις πρότερον εἰρωνείαν τῆς ἐξουσίας ἀφελόντες. Τοσοῦτον ἴσχυσε κόλακος φωνὴ μία, καὶ τοσαύτης ἐνέπλησε τὴν οἰκουμένην μεταβολῆς.

XIX. Ἀντίγονος δὲ, τοῖς πεπραγμένοις ὑπὸ Δημητρίου περὶ Κύπρον ἐπαρθεὶς, εὐθὺς ἐστράτευσεν ἐπὶ Πτολεμαῖον, αὐτὸς μὲν ἄγων πεζὴν τὴν δύναμιν, Δημητρίου δὲ μεγάλῳ στόλῳ συμπαραπλέοντος. Ὃν δὲ τρόπον ἔμελλε κρίνεσθαι τὰ πράγματα, Μήδιος, Ἀντιγόνου φίλος, ὄψιν εἶδε κατὰ τοὺς ὕπνους. Ἐδόκει γὰρ αὐτὸν Ἀντίγονον ἀγωνίζεσθαι μετὰ τῆς στρατιᾶς ἁπάσης βίαυλον, εὐρώστως καὶ ταχὺ τὸ πρῶτον, εἶτα κατὰ μικρὸν ἐνδιδόναι τὴν δυναμιν αὐτῷ καὶ τέλος, ὡς ἔκαμψεν, ἀσθενὴ γενόμενον καὶ μετὸν ἄσθματος, οὐ ῥᾳδίως ἀναφέρειν. Αὐτὸς τ' οὖν ἐντυγχὼν κατὰ γῆν πολλαῖς ἀπορίαις, καὶ Δημητρίου χειμῶνι καὶ κλύδωνι μεγάλῳ κινδυνεύσαντος εἰς τόπους κωλυομένους καὶ χαλεπούς ἐκριφῆναι, πολλὰς δὲ τῶν νεῶν ἀπολέσαντος, ἐπανῆλθεν ἄπρακτος. Ἦν δὲ τότε μικρὸν ἀπολείποντα γιγονὼς ἔτη ὀγδοήκοντα, μεγέθει δὲ καὶ βαρύτητι σώματος μᾶλλον, ἢ δι' αὐτὸ τὸ γῆρας, ἐπὶ τὰς στρατείας γεγονὼς δυσπαρακόμιστος, ἐχρῆτο τῷ παιδὶ καὶ δι' εὐτυχίαν, καὶ δι' ἐμπειρίαν ἤδη τὰ μέγιστα καλῶς οἰκοῦντι, τρυφᾶς δὲ καὶ πολυτελείας καὶ πότους αὐτοῦ μὴ βαρυνόμενος. Εἰρήνης γὰρ οὔσης, ἀφύβριζεν εἰς ταῦτα, καὶ σχολάζων ἐχρῆτο πρὸς τὰς ἡδονὰς ἀνειμένως αὐτῷ καὶ κατακόρως· ἐν δὲ τοῖς πολέμοις, ὡς δὲ φύσει

897

σώφρονες, ἔνηφε. Λέγεται δὲ, τῆς Λαμίας ἀναφανδὸν ἤδη κρατούσης, τὸν Ἀντίγονον, ὑπὸ τοῦ Δημητρίου καταφιλούμενον, ἥκοντος ἀπὸ ξένης, εἰπεῖν ἅμα γελῶντα· „Δοκεῖς Λαμίαν, ὦ παῖ, καταφιλεῖν;“ Πάλιν δὲ ποτε πλείονας ἡμέρας ἐν πότοις γενομένου, καὶ πρόφασιν λέγοντος, ὡς ῥεῦμά τι διοχλήσειεν αὐτόν· „Ἐπυθόμην,“ φάναι τὸν Ἀντίγονον „ἀλλὰ πότερον Θάσιον, ἢ Χῖον, ἦν τὸ ῥεῦμα;“ Πυθόμενος δ' αὖθις ἀσθενῶς ἔχειν αὐτὸν, ἐβάδιζεν ὀψόμενος, καὶ τῶν καλῶν τινι περὶ θύρας ἀπήντησεν· εἰσελθὼν δὲ καὶ καθίσας παρ' αὐτῷ, ἤψατο τῆς χειρός· ἐκείνου δ' εἰπόντος, ὅτι νῦν ὁ πυρετὸς ἀποκεχώρηκεν· „Ἀμέλει, παιδίον,“ ἔφη, „καὶ ἐμοὶ περὶ θύρας ἀπιὼν νῦν ἀπήντηκα.“ Ταῦτα δ' οὕτω πρᾴως ἤνεγκε διὰ τὴν ἄλλην πρᾶξιν τοῦ Δημητρίου. Οἱ μὲν γὰρ Σκύθαι πίνοντες καὶ μεθυσκόμενοι παραψάλλουσι τὰς νευρὰς τῶν τόξων, οἷον ἐκλυόμενον ὑπὸ τῆς ἡδονῆς ἀνακαλούμενοι τὸν θυμόν· ἐκεῖνος δὲ τὰ μὲν ἡδονῇ διδοὺς ἁπλῶς ἑαυτὸν, τὰ δὲ σπουδῇ, καὶ θάτερα τῶν ἑτέρων ἄκρατα μεταχειριζόμενος, οὐχ ἧττον ἦν δεινὸς ἐν ταῖς τοῦ πολέμου παρασκευαῖς.

XX. Ἀλλὰ καὶ παρασκευάσασθαι δύναμιν, ἢ χρήσασθαι, βελτίων ἐδόκει στρατηγὸς εἶναι, πάντα μὲν ἐκ περιουσίας ὑπάρχειν βουλόμενος ἐπὶ τὰς χρείας, τῆς δὲ περὶ τὰς ναῦς καὶ τὰ μηχανικὰ μεγαλουργίας καθ' ἡδονήν τινα τοῦ θεωρεῖν ἀπλήστως ἔχων. Εὐφυὴς γὰρ ὢν καὶ θεωρητικὸς, οὐκ εἰς παιδιὰς οὐδ' εἰς διαγωγὰς ἀχρήστους ἔτρεψε τὸ φιλότεχνον, ὥσπερ βασιλεῖς ἄλλοι, αὐλοῦντες καὶ ζωγραφοῦντες καὶ τορεύοντες. Ἄιροπος δ' ὁ Μακεδὼν τραπέζια μικρὰ καὶ λυχνίδια τεκταινόμενος, ὁπότε σχολάζοι, διῆγεν. Ἄτταλος δ' ὁ Φιλομήτωρ ἐκήπευε τὰς φαρμακώδεις βοτάνας, οὐ μόνον ὑοσκύαμον καὶ ἑλλέβορον, ἀλλὰ καὶ κώνειαν καὶ ἀκόνιτον καὶ δαρύφυλλον, αὐτὸς ἐν τοῖς βασιλικοῖς σπείρων καὶ φυτεύων, ὁπούς τε καὶ καρπὸν

αὐτῶν ἔργον πεποιημένος εἶδέναι, καὶ νομίζεσθαι καθ' ὥραν. Οἱ δὲ Πάρθων βασιλεῖς ἐσεμνύνοντο τὰς ἀκίδας τῶν βελῶν χαράττοντες αὐτοὶ καὶ παραθήγοντες. Ἀλλὰ μὴν Δημητρίου καὶ τὸ βάναυσον ἦν βασιλικὸν, καὶ μέγεθος ἢ μέθοδος εἶχεν, ἅμα τῷ περιττῷ καὶ φιλοτέχνῳ τῶν ἔργων ὕψος τι διανοίας καὶ φρονήματος συνεφερόντων· ὥστε μὴ μόνον γνώμης καὶ περιουσίας, ἀλλὰ καὶ χειρὸς ἄξια φαίνεσθαι βασιλικῆς. Μεγέθει μὲν γὰρ ἐξέπληττε καὶ τοὺς φίλους, κάλλει δὲ καὶ τοὺς πολεμίους ἔτερπε. Τοῦνο δ' ἔτι μᾶλλον ἀληθῶς, ἢ νομιῳῶς, εἴρηται. Καὶ τὰς μὲν ἑκκαιδεκήρεις αὐτοῦ καὶ τὰς πεντεκαιδεκήρεις ἐθαύμαζον ἑστῶτες
398 οἱ πολέμιοι παρὰ τὴν γῆν αὐτῶν πλεούσας· αἱ δ' ἑλεπόλεις ὡς θέαμα τοῖς πολιορκουμένοις ἦσαν, ὡς αὐτὰ τὰ πράγματα μαρτυρεῖ. Λυσίμαχος μὲν γὰρ, ἔχθιστος ὢν Δημητρίῳ τῶν βασιλέων, καὶ πολιορκοῦντι Σόλους τοὺς Κιλικίους ἀντιστρατηγήσας, ἔπεμψε παρακαλῶν ἐπιδεῖξαι τὰς μηχανὰς αὐτῷ, καὶ τὰς ναῦς πλεούσας· ἐπιδείξαντος δὲ, θαυμάσας ἀπῆλθε· Ῥόδιοι δὲ, πολὺν χρόνον ὑπ' αὐτοῦ πολιορκηθέντες, ἐπεὶ κατελύσατο τὸν πόλεμον, ἠτήσαντο τῶν μηχανῶν ἐνίας, ὅπως ὑπόμνημα τῆς ἐκείνου δυνάμεως ἅμα καὶ τῆς αὐτῶν ἀνδραγαθίας ἔχωσιν.

XXI. Ἐπολέμησε δὲ Ῥοδίοις, Πτολεμαίου συμμάχοις οὖσι, καὶ τὴν μεγίστην ἑλέπολιν τοῖς τείχεσι προσήγαγεν· ἧς ἕδρα μὲν ἦν τετράγωνος, ἑκάστην ἔχουσα τοῦ κάτω πλαισίου πλευρὰν ὀκτὼ καὶ τεσσαράκοντα πηχῶν, ἐξ δὲ καὶ ἑξήκοντα πηχῶν ὕψος εἶχεν εἰς κορυφὴν, συννεύουσαν ταῖς ἄνω πλευραῖς καὶ στενωτέραν τῆς βάσεως. Ἔνδοθεν μὲν οὖν στέγαις διειπέφρακτο καὶ χώραις πολλαῖς· τὸ δὲ πρὸς τοὺς πολεμίους αὐτῆς μέτωπον ἀνέῳκτο, καὶ καθ' ἑκάστην στέγην ἦν θυρὶς, καὶ διὰ τούτων ἐξέπιπτε βέλη παντοδαπά· μεστὴ γὰρ ἦν ἀνδρῶν μαχομένων πᾶσαν ἰδέαν μάχης. Καὶ τὸ μὴ κραδαινόμενον αὐτῆς, μηδὲ πλινόμενον ἐν ταῖς κο-

νήσσειν, ἀλλ' ὀρθὸν ἐν ἕδρᾳ καὶ ἀσάλευτον ἰσορρόπως ἅμα ῥοίζῳ καὶ τόνῳ πολλῷ προσχωροῦν, θάμβος ἅμα τῇ ψυχῇ καὶ χάριν ὁμοῦ τινα τῇ ὄψει τῶν θεωμένων παρεῖχε. Πρὸς δὲ τοῦτον τὸν πόλεμον αὐτῷ καὶ θώρακες ἐκομίσθησαν ἐκ Κύπρου δύο σαθροί, μνῶν ὁλκῆς ἑκάτερος τεσσαράκοντα. Δυσπάθειαν δ' αὐτῶν καὶ ῥώμην ἐπιδεικνύμενος ὁ τεχνίτης, Ζωΐλος, ἐκέλευσεν ἐξ εἴκοσι βημάτων ἀφεῖναι καταπελτικὸν βέλος. οὗ προσπεσόντος, ἀῤῥαγὴς διέμεινεν ὁ σίδηρος, ἀμυχὴν δὲ μόλις ἔσχεν ἀμβλεῖαν, οἵαν ἀπὸ γραφείου. Τοῦτον αὐτὸς ἐφόρει· τὸν δ' ἕτερον Ἄλκιμος ὁ Ἠπειρώτης, ἀνὴρ πολεμικώτατος τῶν σὺν αὐτῷ καὶ ῥωμαλεώτατος, ὃς μόνος ἐχρῆτο διταλάντῳ πανοπλίᾳ, τῶν ἄλλων χρωμένων ταλαντιαίᾳ· καὶ μαχόμενος ἐν Ῥόδῳ, περὶ τὸ θέατρον ἔπεσεν.

XXII. Εὐρώστως δὲ καὶ τῶν Ῥοδίων ἀμυνομένων, οὐδὲν ἄξιον λόγου πράττων ὁ Δημήτριος, ὅμως ἐθυμομάχει πρὸς αὐτούς, ὅτι, Φίλας, τῆς γυναικὸς, αὐτῷ γράμματα καὶ στρώματα καὶ ἱματίδια πεμψάσης, λαβόντες τὸ πλοῖον, ὥσπερ εἶχε, πρὸς Πτολεμαῖον ἀπέστειλαν, καὶ τὴν Ἀθηναίων συνεμιμήσαντο φιλανθρωπίαν, οἳ Φιλίππου πολεμοῦντος αὐτοῖς γραμματοφόρους ἑλόντες, τὰς μὲν ἄλλας ἀνέγνωσαν ἐπιστολὰς, μόνην δὲ τὴν Ὀλυμπιάδος οὐκ ἔλυσαν, ἀλλ', ὥσπερ ἦν κατασεσημασμένη, πρὸς ἐκεῖνον ἀπέστειλαν. Οὐ μὴν ἀλλὰ καίπερ ἐπὶ τούτῳ σφόδρα δηχθεὶς ὁ Δημήτριος, εὐθὺς παρασχόντας λαβὴν οὐχ ὑπέμεινεν ἀντιλυπῆσαι τοὺς Ῥοδίους. Ἔτυχε γὰρ αὐτοῖς ὁ Καύνιος Πρωτογένης γράφων τὴν περὶ τὸν Ἰάλυσον διάθεσιν, καὶ τὸν πίνακα μικρὸν ἀπολείποντα τοῦ τέλος ἔχειν ἔν τινι τῶν προαστείων ἔλαβεν ὁ Δημήτριος. Πεμψάντων δὲ κήρυκα τῶν Ῥοδίων, καὶ δεομένων φείσασθαι καὶ μὴ διαφθεῖραι τὸ ἔργον, ἀπεκρίνατο τὰς τοῦ πατρὸς εἰκόνας ἐμπρῆσαι ἂν μᾶλλον, ἢ τέχνης πόνον τοσοῦτον. Ἑπτὰ γὰρ ἔτεσι συντελέσαι λέγεται τὴν γραφὴν ὁ Πρωτογένης. Καὶ φη-

σιν ὁ Ἀπελλῆς οὕτως ἐκπλαγῆναι θεασάμενος τὸ ἔργον, ὥστε καὶ φωνὴν ἐπιλιπεῖν αὐτὸν, ὀψὲ δ' εἰπεῖν· „Μέγας ὁ πόνος, καὶ θαυμαστὸν τὸ ἔργον· οὐ μὴν ἔχειν γε χάριτας, δι' ἃς οὐρανοῦ ψαύειν τὰ ὑπ' αὐτοῦ γραφόμενα.“ Ταύτην μὲν οὖν τὴν γραφὴν εἰς ταὐτὸ ταῖς ἄλλαις συνωσθεῖσαν ἐν Ῥώμῃ τὸ πῦρ ἐπενείματο. Τῶν δὲ Ῥοδίων κατεξανι-
899 σταμένων τοῦ πολέμου, δείσαντον προφάσεως τὸν Δημήτριον Ἀθηναῖοι παραγενόμενοι διήλλαξαν, ἐπὶ τῷ συμμαχεῖν Ῥοδίους Ἀντιγόνῳ καὶ Δημητρίῳ, πλὴν ἐπὶ Πτολεμαῖον.

XXIII. Ἐπάλουν δὲ τὸν Δημήτριον Ἀθηναῖοι, Κασάνδρου τὸ ἄστυ πολιορκοῦντος. Ὁ δὲ ναυσὶν ἐπιπλεύσας τριακοσίαις τριάκοντα καὶ πολλοῖς ὁπλίταις, οὐ μόνον ἐξήλασε τῆς Ἀττικῆς τὸν Κάσανδρον, ἀλλὰ φεύγοντα μέχρι Θερμοπυλῶν διώξας καὶ τρεψάμενος, Ἡράκλειαν ἔλαβεν, ἑκουσίως αὐτῷ προσθεμένην, καὶ τῶν Μακεδόνων ἑξακισχιλίους μεταβαλλομένους πρὸς αὐτόν. Ἐπανιὼν δὲ, τοὺς ἐντὸς πυλῶν Ἕλληνας ἠλευθέρου, καὶ Βοιωτοὺς ἐποιήσατο συμμάχους, καὶ Κεγχρειὰς εἷλε· καὶ Φυλὴν, καὶ Πάνακτον, ἐπιτειχίσματα τῆς Ἀττικῆς ὑπὸ Κασάνδρου φρουρούμενα καταστρεψάμενος, ἀπέδωκε τοῖς Ἀθηναίοις. Οἱ δὲ καίπερ ἐκκεχυμένοι πρότερον πρὸς αὐτὸν καὶ κατακεχρημένοι πᾶσαν φιλοτιμίαν, ἐξεῦρον ὅμως καὶ τότε πρόσφατοι καὶ καινοὶ ταῖς κολακείαις φανῆναι. Τὸν γὰρ ὀπισθόδομον τοῦ Παρθενῶνος ἀπέδειξαν αὐτῷ καταλύσιν· κἀκεῖ δίαιταν εἶχε, τῆς Ἀθηνᾶς λεγομένης ὑποδέχεσθαι καὶ ξενίζειν αὐτὸν, οὐ πάνυ κόσμιον ξένον, οὐδ' ὡς παρθένῳ πρᾴως ἐπισταθμεύοντα. Καίτοι τὸν ἀδελφὸν αὐτοῦ, Φίλιππον, αἰσθόμενος ποτὲ ὁ πατὴρ καταλύοντα ἐν οἰκίᾳ τρεῖς ἐχούσῃ νέας γυναῖκας, πρὸς ἐκεῖνον μὲν οὐδὲν ἐφθέγξατο· παρόντος δ' ἐκείνου, τὸν σταθμοδότην μεταπεμψάμενος· „Οὗτος,“ εἶπεν, „οὐκ ἐξάξεις μου τὸν υἱὸν ἐκ τῆς στενοχωρίας;“

XXIV. Δημήτριος δὲ, τὴν Ἀθηνᾶν αὐτῷ προσ-

ἦκον, εἰ δ' ἄλλο μηδὲν, ὡς γε πρεσβυτέραν ἀδελφὴν αἰσχύνεσθαι, (τοῦτο γὰρ ἐβούλετο λέγεσθαι) τοσαύτην ὕβριν εἰς παῖδας ἐλευθέρους καὶ γυναῖκας ἀστὰς κατεσκέδασε τῆς ἀκροπόλεως, ὥστε δοκεῖν τότε μάλιστα καθαρεύειν τὸν τόπον, ὅτε Χρυσίδι, καὶ Λαμίᾳ, καὶ Δημοῖ, καὶ Ἀντικύρᾳ, ταῖς πόρναις ἐκείναις, συνακολασταίνοι. Τὰ μὲν οὖν ἄλλα σαφῶς ἀπαγγέλλειν οὐ πρέπει διὰ τὴν πόλιν· τὴν δὲ Δημοκλέους ἀρετὴν καὶ σωφροσύνην ἄξιόν ἐστι μὴ παρελθεῖν. Ἐκεῖνος γὰρ ἦν ἔτι παῖς ἄνηβος, οὐκ ἔλαθε δὲ τὸν Δημήτριον, ἔχων τῆς εὐμορφίας τὴν ἐπωνυμίαν κατήγορον· ἐκαλεῖτο γὰρ Δημοκλῆς ὁ καλός. Ὡς δὲ πολλὰ διδόντων, καὶ πειρώντων, καὶ φοβούντων, ὑπ' οὐδενὸς ἡλίσκετο· τέλος δὲ, φεύγων τὰς παλαίστρας καὶ τὸ γυμνάσιον, εἴς τι βαλανεῖον ἰδιωτικὸν ἐφοίτα λουσόμενος· ἐπιτηρήσας τὸν καιρὸν ὁ Δημήτριος ἐπεισῆλθεν αὐτῷ μόνῳ. Ὁ δὲ παῖς, ὡς συνεῖδε τὴν περὶ αὐτὸν ἐρημίαν, καὶ τὴν ἀνάγκην, ἀφελὼν τὸ πῶμα τοῦ χαλκώματος, εἰς ζέον ὕδωρ ἐνήλατο, καὶ διέφθειρεν αὐτὸν, ἀνάξια μὲν παθὼν, ἄξια δὲ τῆς πατρίδος καὶ τοῦ κάλλους φρονήσας· οὐχ ὡς Κλεαίνετος ὁ Κλεομέδοντος, ὃς ὠφληκότι τῷ πατρὶ πεντήκοντα ταλάντων δίκην ἀφεθῆναι διαπραξάμενος, καὶ γράμματα παρὰ Δημητρίου κομίσας πρὸς τὸν δῆμον, οὐ μόνον ἑαυτὸν κατῃσχυνεν, ἀλλὰ καὶ τὴν πόλιν συνετάραξε. Τὸν μὲν γὰρ Κλεομέδοντα τῆς δίκης ἀφῆκαν, ἐγράφη δὲ ψήφισμα, μηδένα τῶν πολιτῶν ἐπιστολὴν παρὰ Δημητρίου κομίζειν. Ἐπεὶ δ' ἀκούσας ἐκεῖνος οὐκ ἤνεγκε μετρίως, ἀλλ' ἠγανάκτησε, δείσαντες αὖθις οὐ μόνον τὸ ψήφισμα καθεῖλαν, ἀλλὰ καὶ τῶν εἰσηγησαμένων καὶ συνειπόντων τοὺς μὲν ἀπέκτειναν, τοὺς δ' ἐφυγάδευσαν· ἔτι δὲ προσεψηφίσαντο, δεδάχθαι τῷ δήμῳ τῶν Ἀθηναίων, πᾶν, ὅ τι ἂν ὁ βασιλεὺς Δημήτριος κελεύσῃ, τοῦτο καὶ πρὸς θεοὺς ὅσιον, καὶ πρὸς ἀνθρώπους εἶναι δίκαιον. Εἰπόντος δέ τινος τῶν 900
καλῶν κἀγαθῶν ἀνδρῶν, μαίνεσθαι τὸν Στρατο-

κλέα τοιαῦτα γράφοντα, Δημοχάρης ὁ Λευκονοεὺς εἶπε· „Μαίνοιτο μέν τ' ἄν, εἰ μὴ μαίνοιτο.“ Πολλὰ γὰρ ὁ Στρατοκλῆς ὠφελεῖτο διὰ τὴν κολακείαν. Ὁ δὲ Δημοχάρης ἐπὶ τούτῳ διαβληθεὶς ἐφυγαδεύθη. Τοιαῦτα ἔπραττον Ἀθηναῖοι, φρουρᾶς ἀπηλλάχθαι καὶ τὴν ἐλευθερίαν ἔχειν δοκοῦντες.

XXV. Δημήτριος δὲ παρελθὼν εἰς Πελοπόννησον, ὡς οὐδενὸς ὑφισταμένου τῶν ἐναντίων, ἀλλὰ φευγόντων, καὶ προϊεμένων τὰς πόλεις, προσηγάγετο τὴν καλουμένην Ἀκτὴν καὶ Ἀρκαδίαν, πλὴν Μαντινείας· καὶ Ἄργος, καὶ Σικυῶνα, καὶ Κόρινθον ἑλύσατο, τάλαντα δοὺς ἑκατὸν τοῖς φρουροῦσιν. Ἐν Ἄργει μὲν οὖν τῆς τῶν Ἡραίων ἑορτῆς καθηκούσης, ἀγωνοθετῶν καὶ συμπανηγυρίζων τοῖς Ἕλλησιν, ἔγημε τὴν Λιακίδου θυγατέρα, τοῦ Μολοττῶν βασιλέως, ἀδελφὴν δὲ Πύρρου, Δηϊδάμειαν. Σικυωνίους δὲ φήσας παρὰ τὴν πόλιν οἰκεῖν, εἰς τὴν πόλιν ἔπεισεν, οὗ νῦν οἰκοῦσι, μετοικίσασθαι· τῷ δὲ τόπῳ καὶ τοὔνομα τὴν πόλιν συμμεταβαλοῦσαν, ἀντὶ Σικυῶνος Δημητριάδα προσηγόρευσεν. Ἐν δ' Ἰσθμῷ κοινοῦ συνεδρίου γενομένου, καὶ πολλῶν ἀνθρώπων συνελθόντων, ἡγεμὼν ἀπηγορεύθη τῆς Ἑλλάδος, ὡς πρότερον οἱ περὶ Φίλιππον καὶ Ἀλέξανδρον· ὧν ἐκεῖνος οὐ παρὰ μικρὸν ἐνόμιζεν ἑαυτὸν εἶναι βελτίονα, τῇ τύχῃ τῇ παρούσῃ καὶ τῇ δυνάμει τῶν πραγμάτων ἐπαιρόμενος. Ἀλέξανδρός γ' οὖν οὐδένα τῶν ἄλλων βασιλέων ἀπεστέρησε τῆς ἐπωνυμίας, οὐδ' αὐτὸν ἀνεῖπε βασιλέων βασιλέα, καίτοι πολλοῖς τὸ καλεῖσθαι καὶ εἶναι βασιλέας αὐτὸς δεδωκώς· ἐκεῖνος δὲ γλευάζων καὶ γελῶν τοὺς ἄλλον τινὰ, πλὴν τοῦ πατρὸς καὶ αὐτοῦ, βασιλέα προσαγορεύοντας, ἡδέως ἤκουε τῶν παρὰ πότον ἐπιχύσεις λαμβανόντων, Δημητρίου βασιλέως, Σελεύκου δ' ἐλεφαντάρχου, Πτολεμαίου δὲ ναυάρχου, Λυσιμάχου δὲ γαζοφύλακος, Ἀγαθοκλέους δὲ, τοῦ Σικελιώτου, νησιάρχου. Τούτων δὲ πρὸς τοὺς βασιλεῖς ἐκφερομένων, οἱ μὲν ἄλλοι βασιλεῖς κατεγέ-

λων, Λυσίμαχος δ' ἠγανάκτει μόνος, εἰ σπάδοντα νομίζει Δημήτριος αὐτόν· ἐπιεικῶς γὰρ εἰώθεισαν εὐνούχους ἔχειν γαζοφύλακας. Ἦν δὲ καὶ πάντων ἀπεχθέστατος ὁ Λυσίμαχος αὐτῷ, καὶ λοιδορῶν εἰς τὸν ἔρωτα τῆς Λαμίας ἔλεγε, νῦν πρῶτον ἑωρακέναι πόρνην προερχομένην ἐκ τραγικῆς σκηνῆς· ὁ δὲ Δημήτριος ἔφη, σωφρονεστέραν εἶναι τὴν ἑαυτοῦ πόρνην τῆς ἐκείνου Πηνελόπης.

XXVI. Τότε δ' οὖν ἀναζευγνύων εἰς τὰς Ἀθήνας, ἔγραψεν, ὅτι βούλεται παραγενόμενος εὐθὺς μυηθῆναι, καὶ τὴν τελετὴν ἅπασαν ἀπὸ τῶν μικρῶν ἄχρι τῶν ἐποπτικῶν παραλαβεῖν. Τοῦτο δ' οὐ θεμιτὸν ἦν, οὐδὲ γεγονὸς πρότερον, ἀλλὰ τὰ μικρὰ τοῦ Ἀνθεστηριῶνος ἐτελοῦντο, τὰ δὲ μεγάλα τοῦ Βοηδρομιῶνος· ἐπώπτευον δὲ τοὐλάχιστον ἀπὸ τῶν μεγάλων ἐνιαυτὸν διαλιπόντες. Ἀναγνωσθέντων δὲ τῶν γραμμάτων, μόνος ἐτόλμησεν ἀντειπεῖν Πυθόδωρος ὁ δαδοῦχος, ἐπέρανε δ' οὐδέν· ἀλλὰ Στρατοκλέους γνώμην εἰπόντος, Ἀνθεστηριῶνα τὸν Μουνυχιῶνα ψηφισαμένους καλεῖν καὶ νομίζειν, ἐτέλουν τῷ Δημητρίῳ τὰ πρὸς ἀγοράν· καὶ μετὰ ταῦτα πάλιν ἐξ Ἀνθεστηριῶνος ὁ Μουνυχιὼν γενόμενος Βοηδρομιών, ἐδέξατο τὴν λοιπὴν τελετήν, ἅμα καὶ τὴν ἐποπτείαν τοῦ Δημητρίου προσεπιλαβόντος. Διὸ καὶ Φιλιππίδης τὸν Στρατοκλέα λοιδορῶν ἐποίησεν·

Ὁ τὸν ἐνιαυτὸν συντεμὼν εἰς μῆν' ἕνα.
καὶ περὶ τῆς ἐν τῷ Παρθενῶνι κατασκηνώσεως·
Ὁ τὴν ἀπρόπολιν πανδοκεῖον ὑπολαβών,
Καὶ τὰς ἑταίρας εἰσαγαγὼν τῇ Παρθένῳ. 901

XXVII. Πολλῶν δὲ γενομένων ἐν τῇ πόλει τότε πλημμελημάτων καὶ παρανομημάτων, ἐκεῖνο μάλιστα λέγεται λυπῆσαι τοὺς Ἀθηναίους, ὅτι διακόσια καὶ πεντήκοντα τάλαντα πορίσαι ταχὺ καὶ δοῦναι προσταχθὲν αὐτοῖς, καὶ τῆς εἰσπράξεως συντόμου καὶ ἀπαραιτήτου γενομένης, ἰδὼν ἠθροισμένον τὸ ἀργύριον, ἐκέλευσε Λαμίᾳ καὶ ταῖς περὶ αὐτὴν ἑταίραις εἰς σμῆγμα δοθῆναι. Ἡ γὰρ αἰσχυ-

νη τῆς ξημίας, καὶ τὸ ῥῆμα τοῦ πράγματος μᾶλλον ἠνώχλησε τοὺς ἀνθρώπους. Ἔνιοι δὲ τοῦτο Θετταλοῖς, οὐκ Ἀθηναίοις, ὑπ' αὐτοῦ συμβῆναι λέγουσι. Χωρὶς δὲ τούτων αὐτὴ καθ' ἑαυτὴν ἡ Λαμία τῷ βασιλεῖ παρασκευάζουσα δεῖπνον, ἠργυρολόγησε πολλούς. Καὶ τὸ δεῖπνον οὕτως ἤνθησε τῇ δόξῃ διὰ τὴν πολυτέλειαν, ὥστε ὑπὸ Λυγκέως τοῦ Σαμίου συγγεγράφθαι. Δι' ὃ καὶ τῶν κωμικῶν τις οὐ φαύλως τὴν Λαμίαν Ἑλέπολιν ἀληθῶς προσεῖπε. Δημοχάρης δ' ὁ Σάλιος τὸν Δημήτριον αὐτὸν ἐκάλει Μῦθον· εἶναι γὰρ αὐτῷ καὶ Λαμίαν. Οὐ μόνον δὲ ταῖς γαμεταῖς, ἀλλὰ καὶ τοῖς φίλοις τοῦ Δημητρίου ζῆλον καὶ φθόνον εὐημεροῦσα καὶ στεργομένη παρεῖχεν. Ἀφίκοντο γοῦν τινες παρ' αὐτοῦ κατὰ πρεσβείαν πρὸς Λυσίμαχον, οἷς ἐκεῖνος ἄγων σχολὴν ἐπέδειξεν ἔν τε τοῖς μηροῖς καὶ τοῖς βραχίοσιν ὠτειλὰς βαθείας, ὀνύχων λεοντείων· καὶ διηγεῖτο τὴν γενομένην αὐτῷ μάχην πρὸς τὸ θηρίον, ὑπ' Ἀλεξάνδρου συγκαθειρχθέντι τοῦ βασιλέως. Οἱ δὲ γελῶντες ἔφασαν, καὶ τὸν αὐτῶν βασιλέα δεινοῦ θηρίου ὀήγματα φέρειν ἐν τῷ τραχήλῳ, Λαμίας. Ἦν δὲ θαυμαστὸν, ὅτι τῆς Φίλας ἐν ἀρχῇ τὸ μὴ καθ' ἡλικίαν δυσχεραίνων, ἤττητο τῆς Λαμίας, καὶ τοσοῦτον ἦρα χρόνον ἤδη παρηκμακυίας. Δημὼ γ' οὖν, ἡ ἐπικαλουμένη Μακία, παρὰ δεῖπνον αὐλούσης τῆς Λαμίας, καὶ τοῦ Δημητρίου πυθομένου „Τί σοι δοκεῖ;" „Γραῦς," εἶπεν, „ὦ βασιλεῦ." Πάλιν δὲ τραγημάτων παρατεθέντων, κἀκείνου πρὸς αὐτὴν εἰπόντος „Ὁρᾷς, ὅσα μοι Λαμία πέμπει;" „Πλείονα," ἔφη, „πεμφθήσεταί σοι παρὰ τῆς ἐμῆς μητρὸς, ἐὰν θέλῃς καὶ μετ' αὐτῆς καθεύδειν." Ἀπομνημονεύεται δὲ τῆς Λαμίας καὶ πρὸς τὴν λεγομένην Βοκχόρεως κρίσιν ἀντίῤῥησις. Ἐπεὶ γάς τις ἐρῶν ἐν Λίγυπτῳ τῆς ἑταίρας Θωνίδος ἠτεῖτο συχνὸν χρυσίον, εἶτα κατὰ τοὺς ὕπνους δόξας αὐτῇ συγγενέσθαι τῆς ἐπιθυμίας ἐπαύσατο, δίκην ἔλαχεν ἡ Θωνὶς αὐτῷ τοῦ μισθώματος. Ἀκούσας δὲ τὸν λόγον ὁ

Βόκχορις, ἐκέλευσε τὸν ἄνθρωπον, ὅσον ἠτήθη χρυσίον ἠριθμημένον ἐν τῷ ἀγγείῳ διαφέρειν δεῦρο κἀκεῖσε τῇ χειρὶ, τὴν δ' ἑταίραν ἔχεσθαι τῆς σκιᾶς, ὡς τὴν δόξαν τῆς ἀληθείας σκιὰν οὖσαν. Οὐκ ᾤετο ταύτην εἶναι τὴν κρίσιν ἡ Λαμία δικαίαν· οὐ γὰρ ἀπέλυσεν ἡ σκιὰ τῆς ἐπιθυμίας τοῦ ἀργυρίου τὴν ἑταίραν, τὸ δ' ὄναρ ἔπαυσεν ἐρῶντα τὸν νεανίσκον. Ταῦτα μὲν οὖν περὶ Λαμίας.

XXVIII. Τὴν δὲ διήγησιν, ὥσπερ ἐκ κωμικῆς σκηνῆς, πάλιν εἰς τραγικὴν μετάγουσιν αἱ τύχαι καὶ αἱ πράξεις τοῦ ἀνδρὸς, ὃν διηγούμεθα. Τῶν γὰρ ἄλλων βασιλέων ἁπάντων συνιστάμενων ἐπὶ τὸν Ἀντίγονον, καὶ συμφερόντων εἰς ταὐτὸ τὰς δυνάμεις, ἀπῆρεν ὁ Δημήτριος ἐκ τῆς Ἑλλάδος, καὶ τῷ πατρὶ συμμίξας φιλοτιμουμένῳ παρ' ἡλικίαν, πρὸς τὸν πόλεμον ἔτι μᾶλλον αὐτὸς ἐπερρώσθη. Καίτοι δοκεῖ γ' Ἀντίγονος, εἰ μικρῶν τινῶν ὑφεῖτο, καὶ τῆς ἄγαν φιλαρχίας ἐχάλασε, μέχρι παντὸς ἂν αὐτῷ διαφυλάξαι κἀκεῖνο καταλιπεῖν τὸ πρῶτον εἶναι. Φύσει δὲ βαρὺς ὢν καὶ ὑπερόπτης, καὶ τοῖς λόγοις οὐχ ἧττον, ἢ τοῖς πράγμασι, τραχὺς, πολλοὺς καὶ νέους καὶ δυνατοὺς ἄνδρας ἐξηγρίαινε καὶ παρῴξυνε· καὶ τήν γε τότε 902
σύστασιν καὶ κοινωνίαν αὐτῶν ἔλεχεν, ὥσπερ ὀρνίθων σπερμολόγων συνδρομὴν, ἑνὶ λίθῳ καὶ φόφῳ συνδιαταράξειν. Ἦγε δὲ πεζοὺς μὲν ἑπτακισμυρίους πλείους, ἱππεῖς δὲ μυρίους, ἐλέφαντας δ' ἑβδομήκοντα πέντε· τῶν ἐναντίων ἐχόντων πεζοὺς μὲν ἑξακισμυρίους καὶ τετρακισχιλίους, ἱππεῖς δὲ πεντακοσίους τῶν ἐκείνου πλείονας, ἐλέφαντας δὲ τετρακοσίους, ἅρματα δ' ἑκατὸν εἴκοσι. Γενομένων δ' ἐγγὺς, αὐτῷ τροπὴν ἔσχεν ἡ διάνοια τῆς ἐλπίδος μᾶλλον, ἢ τῆς γνώμης. Ὑψηλὸς γὰρ εἶναι καὶ γαῦρος εἰώθως ἐν τοῖς ἀγῶσι, καὶ χρώμενος φωνῇ τε μεγάλῃ καὶ λόγοις σοβαροῖς, πολλάκις δὲ καὶ τῷ παρασκώπτειν τι καὶ γελοῖον εἰπεῖν, τῶν πολεμίων ἐν χερσὶν ὄντων, ἐπιδεικνύμενος εὐστάθειαν καὶ καταφρόνησιν, τότε σύννους ἐωρᾶτο καὶ σιω-

πηλὸς τὰ πολλὰ, καὶ τὸν υἱὸν ἀπέδειξε τῷ πλήθει καὶ συνέστησε διάδοχον. Ὁ δὲ μάλιστα πάντες ἐθαύμασαν, ἐν τῇ σκηνῇ μόνος διελέχθη πρὸς αὐτὸν, οὐκ εἰθισμένος ἔχειν οὐδὲ πρὸς ἐκεῖνον ἀπορρήτους κοινολογίας, ἀλλ' ἴδιος ὢν γνώμῃ, εἶτα προσπάτων φανερῶς καὶ χρώμενος οἷς βουλεύσαιτο καθ' ἑαυτόν. Λέγεται γοῦν, μειράκιον ἔτι ὄντα τὸν Δημήτριον αὐτοῦ πυθέσθαι, πότε μέλλουσιν ἀναζευγνύειν· τὸν δ' εἰπεῖν πρὸς ὀργήν· „Ἀγωνιᾷς, μὴ μόνος σὺ τῆς σάλπιγγος οὐκ ἀκούσῃς;“

XXIX. Τότε μέντοι καὶ σημεῖα μοχθηρὰ κατεδουλοῦτο τὴν γνώμην αὐτῶν. Δημήτριος μὲν γὰρ ἔδοξε κατὰ τοὺς ὕπνους Ἀλέξανδρον ὡπλισμένον λαμπρῶς ἐρωτᾷν, ὁποῖόν τι σύνθημα διδόναι πρὸς τὴν μάχην μέλλουσιν· αὐτοῦ δὲ φήσαντος· „Δία καὶ Νίκην“ „Ἀπειμι τοίνυν,“ φάναι, „πρὸς τοὺς ἐναντίους· ἐκεῖνοι γάρ με παραλαμβάνουσιν.“ Ἀντίγονος δὲ, παρατατομένης ἤδη τῆς φάλαγγος, ἐξιὼν προσέπταισεν, ὥστε πεσεῖν ὅλος ἐπὶ στόμα, καὶ διατεθῆναι χαλεπῶς· ἀναστὰς δὲ καὶ τὰς χεῖρας ἀνατείνας πρὸς τὸν οὐρανὸν, ᾐτήσατο νίκην παρὰ τῶν θεῶν, ἢ θάνατον ἀναίσθητον πρὸ τῆς ἥττης. Γενομένης δὲ τῆς μάχης ἐν χερσὶ, Δημήτριος ἔχων τοὺς πλείστους καὶ κρατίστους τῶν ἱππέων, Ἀντιόχῳ τῷ Σελεύκου συνέπεσε, καὶ μέχρι τροπῆς τῶν πολεμίων λαμπρῶς ἀγωνισάμενος, ἐν τῇ διώξει σοβαρᾷ καὶ φιλοτίμῳ παρὰ καιρὸν γενομένῃ τὴν νίκην διέφθειρεν. Αὐτὸς μὲν γὰρ οὐκ ἔσχε πάλιν ἀναστρέψας συμμίξαι τοῖς πεζοῖς, τῶν ἐλεφάντων ἐν μέσῳ γενομένων· τὴν δὲ φάλαγγα γυμνὴν ἱππέων κατιδόντες οἱ περὶ Σέλευκον, οὐκ ἐνέβαλον μὲν, ὡς δ' ἐμβαλοῦντες ἐφόβουν καὶ περιήλαυνον, μεταβάλλεσθαι διδόντες αὐτοῖς· ὃ καὶ συνέβη. πολὺ γὰρ μέρος ἀπορραγὲν ἐπουσίως μετεχώρησε πρὸς ἐκείνους, τὸ δὲ λοιπὸν ἐτράπη. Φερομένων δὲ πολλῶν ἐπὶ τὸν Ἀντίγονον, καί τινος τῶν περὶ αὐτὸν εἰπόντος· „Ἐπὶ σὲ οὗτοι,

βασιλεῦ." „Τίνα γὰρ," εἶπεν, „πλὴν ἐμοῦ σκοπὸν ἔχουσιν; ἀλλὰ Δημήτριος ἀφίξεται βοηθῶν." Καὶ τοῦτο μέχρι παντὸς ἐλπίζων, καὶ περισκοπῶν τὸν υἱὸν, ἅμα πολλῶν ἀκοντισμάτων εἰς αὐτὸν ἀφεθέντων, ἔπεσε· καὶ τῶν ἄλλων ἀπολιπόντων ὀπαδῶν καὶ φίλων, μόνος παρέμεινε τῷ νεκρῷ Θώραξ ὁ Λαρισσαῖος.

XXX. Οὕτω δὲ κριθείσης τῆς μάχης, οἱ μὲν νενικηκότες βασιλεῖς τὴν ὑπ' Ἀντιγόνῳ καὶ Δημητρίῳ πᾶσαν ἀρχὴν, ὥσπερ μέγα σῶμα, κατακόπτοντες, ἐλάμβανον μερίδας καὶ προσδιενείμαντο τὰς ἐκείνων ἐπαρχίας, αἷς εἶχον αὐτοὶ πρότερον. Δημήτριος δὲ μετὰ πεντακισχιλίων πεζῶν καὶ τετρακισχιλίων ἱππέων φεύγων, καὶ συντόνως ἐλάσας εἰς Ἔφεσον, οἰομένων ἁπάντων, ἀποροῦντα χρημάτων αὐτὸν οὐκ ἀφέξεσθαι τοῦ ἱεροῦ, φοβηθεὶς 903
τοὺς στρατιώτας, μὴ τοῦτο ποιήσωσιν, ἀνέστη διὰ ταχέων, καὶ τὸν πλοῦν ἐπὶ τῆς Ἑλλάδος ἐποιεῖτο, τῶν λοιπῶν ἐλπίδων ἐν Ἀθηναίοις ἔχων τὰς μεγίστας. Καὶ γὰρ καὶ ναῦς ἐκεῖ καὶ χρήματα καὶ γυναῖκα Δηϊδάμειαν ἐτύγχανε καταλελοιπὼς· καὶ βεβαιοτέραν οὐκ ἐνόμιζε καταφυγὴν εἶναι τοῖς πράγμασι τῆς Ἀθηναίων εὐνοίας. Ὅθεν ἐπεὶ ἐπεισγομένῳ περὶ τὰς Κυκλάδας αὐτῷ πρέσβεις Ἀθηναίων ἀπήντησαν, ἀπέχεσθαι τῆς πόλεως παρακαλοῦντες, ὡς ἐψηφισμένου τοῦ δήμου μηδένα δέχεσθαι τῇ πόλει τῶν βασιλέων, τὴν δὲ Δηϊδάμειαν εἰς Μέγαρα ἐξέπεμψαν μετὰ τιμῆς καὶ πομπῆς πρεπούσης, τοῦ καθεστηκότος ἐξέστη δι' ὀργὴν αὐτοῦ, καίπερ ἐνηνοχὼς ῥᾷστα τὴν ἄλλην ἀτυχίαν, καὶ γεγονὼς ἐν τοιαύτῃ μεταβολῇ πραγμάτων οὐ ταπεινὸς, οὐδ' ἀγεννής. Ἀλλὰ τὸ παρ' ἐλπίδα διεψεῦσθαι τῶν Ἀθηναίων, καὶ τὴν δοκοῦσαν εὔνοιαν ἐξεληλέγχθαι τοῖς πράγμασι κενὴν καὶ πεπλασμένην οὖσαν, ὀδυνηρὸν ἦν αὐτῷ. Τὸ γὰρ φαυλότατον, ὡς ἔοικεν, εὐνοίας ὄχλων βασιλεῦσι καὶ δυνάσταις τεκμήριόν ἐστιν ὑπερβολὴ τιμῶν, ἧς ἐν τῇ προαιρέσει τῶν ἀποδιδόντων ἐχούσης τὸ

καλὸν, ἀφαιρεῖ τὴν πίστιν ὁ φόβος· τὰ γὰρ αὐτὰ καὶ δεδιότες ψηφίζονται καὶ φιλοῦντες. Διοπερ οἱ νοῦν ἔχοντες, οὐκ εἰς ἀνδριάντας, οὐδὲ γραφὰς, οὐδ' ἀποθεώσεις, ἀλλα μᾶλλον εἰς τὰ ἔργα καὶ τὰς πράξεις τὰς ἑαυτῶν ἀποβλέποντες, ἢ πιστεύουσιν, ὡς τιμαῖς, ἢ ἀπιστοῦσιν, ὡς ἀναγκαις· ὡς οἵ γε δῆμοι πολλάκις ἐν αὐταῖς μάλιστα ταῖς τιμαῖς μισοῦσι τοὺς ἀμέτρως καὶ ὑπερόγκως καὶ παρ' ἀκόντων λαμβάνοντας.

XXXI. Ὁ γοῦν Δημήτριος τότε δεινὰ μὲν ἡγούμενος πάσχειν, ἀδύνατος δ' ὢν ἀμύνασθαι, προσέπεμψε τοῖς Ἀθηναίοις ἐγκαλῶν μετρίως, ἀξιῶν δὲ τὰς ναῦς ἀπολαβεῖν, ἐν αἷς ἦν καὶ ἡ τρισκαιδεκήρης. Κομισάμενος δὲ παρέπλευσεν εἰς Ἰσθμὸν, καὶ τῶν πραγμάτων αὐτῷ κακῶς ἐχόντων, (ἐξέπιπτον γὰρ ἑκασταχόθεν αἱ φρουραὶ, καὶ πάντα μεθίστατο πρὸς τοὺς πολεμίους) ἀπολιπὼν ἐπὶ τῆς Ἑλλάδος Πύρρον, αὐτὸς ἅρας ἐπὶ τὴν Χερρόνησον ἔπλευσε· καὶ κακῶς ἅμα ποιῶν Λυσίμαχον, ὠφέλει καὶ συνεῖχε τὴν περὶ αὐτὸν δύναμιν, ἀρχομένην ἀναλαμβάνειν, καὶ γίνεσθαι πάλιν οὐκ εὐκαταφρόνητον. Ὁ δὲ Λυσίμαχος ὑπὸ τῶν ἄλλων βασιλέων ἠμελεῖτο, μηδὲν ἐπιεικέστερος ἐκείνου δοκῶν εἶναι, τῷ δὲ μᾶλλον ἰσχύειν καὶ φοβερώτερος. Οὐ πολλῷ δ' ὕστερον Σέλευκος ἐμνᾶτο πέμπων τὴν Δημητρίου καὶ Φίλας θυγατέρα, Στρατονίκην, ἔχων μὲν ἐξ Ἀπάμας, τῆς Περσίδος, υἱὸν Ἀντίοχον, οἰόμενος δὲ, τὰ πράγματα καὶ διαδόχους ἀρκεῖν πλείοσι, καὶ δεῖσθαι τῆς πρὸς ἐκεῖνον οἰκειότητος, ἐπεὶ καὶ Λυσίμαχον ὥρα τῶν Πτολεμαίου θυγατέρων τὴν μὲν ἑαυτῷ, τὴν δ' Ἀγαθοκλεῖ τῷ υἱῷ λαμβάνοντα. Δημητρίῳ δ' ἦν ἀνέλπιστος εὐτυχία, κηδεῦσαι Σελεύκῳ. Καὶ τὴν κόρην ἀναλαβὼν ἔπλει ταῖς ναυσὶ πάσαις εἰς Συρίαν, τῇ τ' ἄλλῃ γῇ προσέχων ἀναγκαίως, καὶ τῆς Κιλικίας ἀπτόμενος, ἣν Πλείσταρχος εἶχε μετὰ τὴν πρὸς Ἀντίγονον μάχην, ἐξαίρετον αὐτῷ δοθεῖσαν ὑπὸ τῶν βασιλέων· ἦν δὲ Κασσάνδρου Πλείσταρχος ἀδελ-

φός. Ἀδικεῖσθαι δὲ τὴν χώραν αὐτοῦ νομίζων ὑπὸ Δημητρίου κατὰ τὰς ἀποβάσεις, καὶ μέμψασθαι βουλόμενος τὸν Σέλευκον, ὅτι τῷ κοινῷ διαλλάττεται πολεμίῳ δίχα τῶν ἄλλων βασιλέων, ἀνέβη πρὸς αὐτόν.

XXXII. Αἰσθόμενος δὲ τοῦτο Δημήτριος, ὥρμησεν ἀπὸ θαλάσσης ἐπὶ Κυίνδων, καὶ τῶν χρημάτων εὑρὼν ἔτι λοιπὰ χίλια διακόσια τάλαντα, ταῦτα συσκευασάμενος, καὶ φθάσας ἐμβαλέσθαι, διὰ ταχέων ἀνήχθη. Καὶ παρούσης ἤδη Φίλας 904
τῆς γυναικὸς αὐτῷ, περὶ Ὀροσσὸν ἀπήντησε Σέλευκος. Καὶ τὴν ἔντευξιν εὐθὺς ἄδολον καὶ ἀνύποπτον καὶ βασιλικὴν ἐποιοῦντο, πρότερον μὲν Σέλευκος ἑστιάσας ἐπὶ σκηνῆς ἐν τῷ στρατοπέδῳ Δημήτριον, αὖθις δὲ Δημήτριος ἐκεῖνον ἐν τῇ τρισκαιδεκήρει δεξάμενος. Ἦσαν δὲ καὶ σχολαὶ καὶ κοινολογίαι καὶ συνδιημερεύσεις ἀφρούρων καὶ ἀνόπλων· ἄχρις οὗ Σέλευκος τὴν Στρατονίκην ἀναλαβὼν, λαμπρῶς εἰς Ἀντιόχειαν ἀνέβη. Δημήτριος δὲ Κιλικίαν κατέσχε, καὶ Φίλαν τὴν γυναῖκα πρὸς Κάσανδρον ἔπεμψε τὸν ἀδελφὸν, ἀπολυσομένην τὰς Πλειστάρχου κατηγορίας. Ἐν δὲ τούτῳ Δηϊδάμεια πλεύσασα πρὸς αὐτὸν ἀπὸ τῆς Ἑλλάδος, καὶ συγγενομένη χρόνον οὐ πολὺν, ἐξ ἀῤῥωστίας τινὸς ἐτελεύτησε. Γενομένης δὲ φιλίας πρὸς Πτολεμαῖον αὐτῷ διὰ Σελεύκου, ὡμολογήθη Πτολεμαΐδα, τὴν Πτολεμαίου θυγατέρα, λαβεῖν αὐτὸν γυναῖκα. Καὶ ταῦτα μὲν ἀστεῖα τοῦ Σελεύκου. Κιλικίαν δ' ἀξιῶν χρήματα λαβόντα παραδοῦναι Δημήτριον, ὡς οὐκ ἔπειθε, Σιδῶνα καὶ Τύρον ἀπαιτῶν πρὸς ὀργὴν, ἐδόκει βίαιος εἶναι καὶ δεινὰ ποιεῖν, εἰ τὴν ἀπ' Ἰνδῶν ἄχρι τῆς κατὰ Συρίαν θαλάσσης ἅπασαν ὑφ' αὑτῷ πεποιημένος, οὕτως ἐνδεὴς ἐστιν ἔτι χρημάτων καὶ πτωχὸς, ὡς ὑπὲρ δυοῖν πόλεων ἄνδρα κηδεστὴν καὶ μεταβολῇ τύχης κεχρημένον ἐλαύνειν· λαμπρὰν τῷ Πλάτωνι μαρτυρίαν διδοὺς, διακελευομένῳ, μὴ τὴν οὐσίαν πλείω, τὴν δ' ἀπληστίαν ποιεῖν ἐλάσσω, τόν γε βουλόμενον ὡς ἀληθῶς εἶναι πλούσιον· ὡς ὅ γε μὴ παύων φιλοπλουτίαν, οὔτος οὔτε πενίας, οὔτ' ἀπορίας ἀπήλλακται.

XXXIII. Οὐ μὴν ὑπέπτηξε Δημήτριος, ἀλλὰ φήσας, οὐδ', ἂν μυριάκις ἡττηθῇ μάχας ἄλλας ἐν Ἴψῳ, γαμβρὸν ἀγαπήσειν ἐπὶ μισθῷ Σέλευκον, τὰς μὲν πόλεις ἐκρατύνατο φρουραῖς· αὐτὸς δὲ πυθόμενος, Λαχάρη στασιάζουσιν Ἀθηναίοις ἐπιθέμενον τυραννεῖν, ἦλπισε ῥᾳδίως ἐπιφανεὶς λήψεσθαι τὴν πόλιν. Καὶ τὸ μὲν πέλαγος ἀσφαλῶς διεπεραιώθη μεγάλῳ στόλῳ· παρὰ δὲ τὴν Ἀττικὴν παραπλέων ἐχειμάσθη, καὶ τὰς πλείστας ἀπέβαλε τῶν νεῶν, καὶ συνδιεφθάρη πλῆθος ἀνθρώπων οὐκ ὀλίγον. Αὐτὸς δὲ σωθεὶς ἥψατο μέν τινος πολέμου πρὸς τοὺς Ἀθηναίους· ὡς δ' οὐδὲν ἐπέραινε, πέμψας ναυτικὸν αὖθις ἀθροίσοντας, αὐτὸς εἰς Πελοπόννησον παρῆλθε, καὶ Μεσσήνην ἐπολιόρκει, καὶ προσμαχόμενος τοῖς τείχεσιν ἐκινδύνευσε, καταπελτικοῦ βέλους εἰς τὸ πρόσωπον αὐτῷ καὶ τὸ στόμα διὰ τῆς σιαγόνος ἐμπεσόντος. Ἀναληφθεὶς δὲ, καὶ πόλεις τινὰς ἀφεστώσας προσαγαγόμενος, πάλιν εἰς τὴν Ἀττικὴν ἐνέβαλε, καὶ κρατήσας Ἐλευσῖνος καὶ Ῥαμνοῦντος, ἔφθειρε τὴν χώραν, καὶ ναῦν τινα λαβὼν ἔχουσαν σῖτον, καὶ εἰσάγουσαν τοῖς Ἀθηναίοις, ἐκράτησε τὸν ἔμπορον καὶ τὸν κυβερνήτην· ὥστε, τῶν ἄλλων ἀποτρεπομένων διὰ φόβον, σύντονον λιμὸν ἐν ἄστει γενέσθαι, πρὸς δὲ τῷ λιμῷ καὶ τῶν ἄλλων ἀπορίαν. Ἀλῶν γοῦν μέδιμνον ὠνοῦντο τετταράκοντα δραχμῶν, ὁ δὲ τῶν πυρῶν μόδιος ὤνιος ἦν τριακοσίων. Μικρὰν δὲ τοῖς Ἀθηναίοις ἀναπνοὴν παρέσχον ἑκατὸν πεντήκοντα νῆες φανεῖσαι περὶ Αἴγιναν, ἃς ἔπεμψεν ἐπικούρους αὐτοῖς Πτολεμαῖος. Εἶτα Δημητρίῳ πολλῶν μὲν ἐκ Πελοποννήσου, πολλῶν δ' ἀπὸ Κύπρου νεῶν παραγενομένων, ὥστε συμπάσας ἀθροισθῆναι τριακοσίας, ἔφυγον ἅπαντες οἱ Πτολεμαίου, καὶ Λαχάρης ὁ τύραννος ἀπέδρα προέμενος τὴν πόλιν.

XXXIV. Οἱ δ' Ἀθηναῖοι, καίπερ ψηφισάμενοι θάνατον, εἰ μνησθείη τις εἰρήνης καὶ διαλλα-
905 γῆς πρὸς Δημήτριον, εὐθὺς ἀνεῴγνυσαν τὰς ἐγκὺς

πύλας, καὶ πρέσβεις ἔπεμπον, οὐδὲν μὲν ἀπ' ἐκείνου χρηστὸν προσδοκῶντες, ἐκβιαζομένης δὲ τῆς ἀπορίας, ἐν ᾗ, δυσχερῶν πολλῶν συνεμπεσόντων, λέγεταί τι καὶ τοιοῦτον γενέσθαι· πατέρα καὶ υἱὸν ἐν οἰκήματι καθέζεσθαι τὰ καθ' ἑαυτοὺς ἀπεγνωκότας, ἐκ δὲ τῆς ὀροφῆς μῦν νεκρὸν ἐκπεσεῖν, τοὺς δ', ὡς εἶδον, ἀναπηδήσαντας ἀμφοτέρους διαμάχεσθαι περὶ αὐτοῦ. Τότε καὶ τὸν φιλόσοφον Ἐπίκουρον ἱστοροῦσι διαθρέψαι τοὺς συνήθεις, κυάμους πρὸς ἀριθμὸν μετ' αὐτῶν διανεμόμενον. Οὕτως οὖν τῆς πόλεως ἐχούσης, εἰσελθὼν ὁ Δημήτριος, καὶ πελεύσας εἰς τὸ θέατρον ἀθροισθῆναι πάντας, ὅπλοις μὲν συνέφραξε τὴν σκηνὴν, καὶ δορυφόροις τὸ λογεῖον περιέλαβεν, αὐτὸς δὲ καταβὰς, ὥσπερ οἱ τραγῳδοὶ, διὰ τῶν ἄνω παρόδων, ἔτι μᾶλλον ἐκπεπληγμένων τῶν Ἀθηναίων, τὴν ἀρχὴν τοῦ λόγου πέρας ἐποιήσατο τοῦ δέους αὐτῶν. Καὶ γὰρ τόνου φωνῆς καὶ ῥημάτων πικρίας φεισάμενος, ἐλαφρῶς δὲ καὶ φιλικῶς μεμψάμενος αὐτοῖς, διηλλάσσετο, καὶ δέκα μυριάδας σίτου μεδίμνων ἐπέδωκε, καὶ κατέστησεν ἀρχὰς, αἳ μάλιστα τῷ δήμῳ προσφιλεῖς ἦσαν. Συνιδὼν δὲ Δρομοκλείδης ὁ ῥήτωρ ὑπὸ χαρᾶς τὸν δῆμον ἔν τε φωναῖς ὄντα παντοδαπαῖς, καὶ τοὺς ἀπὸ τοῦ βήματος ἐπαίνους τῶν δημαγωγῶν ἀμελλόμενον ὑπερβάλλεσθαι, γνώμην ἔγραψε, Δημητρίῳ τῷ βασιλεῖ τὸν Πειραιᾶ παραδοθῆναι καὶ τὴν Μουνυχίαν. Ἐπιψηφισθέντων δὲ τούτων, ὁ Δημήτριος αὐτὸς ἀφ' ἑαυτοῦ προσενέβαλε φρουρὰν εἰς τὸ Μουσεῖον, ὡς μὴ πάλιν ἀναχαιτίσαντα τὸν δῆμον ἀσχολίας αὐτῷ πραγμάτων ἑτέρων παρασχεῖν.

XXXV. Ἐχομένων δὲ τῶν Ἀθηνῶν, εὐθὺς ἐπεβούλευε τῇ Λακεδαίμονι. Καὶ περὶ Μαντίνειαν Ἀρχιδάμου τοῦ βασιλέως ἀπαντήσαντος αὐτῷ, νικήσας μάχῃ καὶ τρεψάμενος, εἰς τὴν Λακωνικὴν ἐνέβαλε. Καὶ πρὸς αὐτῇ τῇ Σπάρτῃ πάλιν ἐκ παρατάξεως ἑλὼν πεντακοσίους, καὶ διαφθείρας διακοσίους, ὅσαν οὔπω τὴν πόλιν ἔχειν ἔδοκει μέχρι

τῶν χρόνων ἐκείνων ἀγάλωτον οὖσαν. Ἀλλ' ἡ τύχη περὶ οὐδένα τῶν βασιλέων ἔοικεν οὕτω τροπὰς λαβεῖν μεγάλας καὶ ταχείας, οὐδ' ἐν ἑτέροις πράγμασι τοσαυτάκις μικρὰ καὶ πάλιν μεγάλη, καὶ ταπεινὴ μὲν ἐκ λαμπρᾶς, ἰσχυρὰ δ' αὖθις ἐκ φαύλης γενέσθαι. Διὸ καί φασιν αὐτὸν ἐν ταῖς χείροσι μεταβολαῖς πρὸς τὴν τύχην ἀναφθέγγεσθαι τὸ Αἰσχύλειον·

Σύ τοί μ' ἔφυσας, σὺ με καταίθειν μοι δοκεῖς.

Καὶ γὰρ τότε τῶν πραγμάτων οὕτως εὐπόρων αὐτῷ πρὸς ἀρχὴν καὶ δύναμιν ἐπεδιδόντων, ἀγγέλλεται Λυσίμαχος μὲν πρῶτος ἀφῃρημένος αὐτοῦ τὰς ἐν Ἀσίᾳ πόλεις, Κύπρον δὲ Πτολεμαῖος ἠρηκὼς, ἄνευ μιᾶς πόλεως Σαλαμῖνος, ἐν δὲ Σαλαμῖνι πολιορκῶν τοὺς παῖδας αὐτοῦ καὶ τὴν μητέρα κατειλημμένους. Οὐ μὴν ἀλλὰ καὶ ἡ τύχη, καθάπερ ἡ παρ' Ἀρχιλόχῳ γυνὴ

Τῇ μὲν ὕδωρ ἐφόρει δολόφρων περὶ, τῇ δ' ἑτέρῃ πῦρ,

δεινοῖς αὐτὸν οὕτω καὶ φοβεροῖς ἀγγέλμασιν ἀποστήσασα τῆς Λακεδαίμονος, εὐθὺς ἑτέρας πραγμάτων καινῶν καὶ μεγάλων ἐπήνεγκεν ἐλπίδας ἐκ τοιαύτης αἰτίας.

XXXVI. Ἐπεὶ, Κασάνδρου τελευτήσαντος, ὁ πρεσβύτατος αὐτοῦ τῶν παίδων, Φίλιππος, οὐ πολὺν χρόνον βασιλεύσας Μακεδόνων ἀπέθανεν, οἱ λοιποὶ δύο πρὸς ἀλλήλους ἐστασίαζον. Θατέρου δ' αὐτῶν, Ἀντιπάτρου, τὴν μητέρα Θεσσαλονίκην φονεύσαντος, ἄτερος ἐκάλει βοηθοὺς, ἐκ μὲν Ἠπείρου Πύρρον, ἐκ δὲ Πελοποννήσου Δημήτριον. Ἔφθασε δὲ Πύρρος ἐλθὼν, καὶ πολὺ μέρος Μακεδονίας ἀποτεμόμενος, τῆς βοηθείας μισθὸν, φοβε-
906 ρὸς μὲν ἦν ἤδη παροικῶν Ἀλεξάνδρῳ· Δημητρίου δ', ὡς ἐδέξατο τὰ γράμματα, μετὰ τῆς δυνάμεως προσιόντος, ἔτι μᾶλλον ὁ νεανίας τοῦτον φοβηθεὶς διὰ τὸ ἀξίωμα καὶ τὴν δόξαν, ἀπήντησεν αὐτῷ περὶ Λίον, ἀσπαζόμενος μὲν καὶ φιλοφρονούμενος, οὐδὲν δὲ φάσκων ἔτι τῆς ἐκείνου δεῖσθαι τὰ πράγματα παρουσίας. Ἦσαν οὖν ἐκ τούτων ὑποψίαι

πρὸς ἀλλήλους αὐτοῖς, καὶ βαδίζοντι Δημητρίῳ πρὸς δεῖπνον ὑπὸ τοῦ νεανίσκου παρακεκλημένῳ μηνύει τις ἐπιβουλὴν, ὡς ἐν αὐτῷ τῷ πότῳ μελλόντων αὐτὸν ἀνελεῖν. Ὁ δὲ, μηδὲν διαταραχθεὶς, ἀλλὰ μικρὸν ὑφεὶς τῆς πορείας, ἐκέλευσε τοὺς μὲν ἡγεμόνας ἐν τοῖς ὅπλοις τὴν στρατιὰν ἔχειν, ἀκολούθους δὲ καὶ παῖδας, ὅσοι περὶ αὐτὸν ἦσαν (ἦσαν δὲ πολὺ πλείους τῶν Ἀλεξάνδρου) συνεισελθεῖν εἰς τὸν ἀνδρῶνα, καὶ παραμένειν, ἄχρις ἂν ἐξαναστῇ. Τοῦτο δείσαντες οἱ περὶ τὸν Ἀλέξανδρον, οὐκ ἐτόλμησαν ἐπιχειρῆσαι. Καὶ ὁ μὲν Δημήτριος οὐκ ἔχειν αὐτῷ τὸ σῶμα ποτικῶς σκηψάμενος, ἀπῆλθε διὰ ταχέων· τῇ δ' ὑστεραίᾳ περὶ ἀναζυγὴν εἶχε, πράγματα νεώτερα προσπεπτωκέναι φάμενος αὐτῷ, καὶ παρῃτεῖτο συγγνώμην ἔχειν τὸν Ἀλέξανδρον, εἰ τάχιον ἀπαίρει· συνέσεσθαι γὰρ αὐτῷ μᾶλλον ἄλλοτε σχολάζων. Ἔχαιρεν οὖν Ἀλέξανδρος, ὡς οὐ πρὸς ἔχθραν, ἀλλ' ἑκουσίως, ἐκ τῆς χώρας ἀπαίροντος αὐτοῦ, καὶ προέπεμπεν ἄχρι Θετταλίας. Ἐπεὶ δ' εἰς Λάρισσαν ἦκον, αὖθις ἀλλήλοις ἐπήγγελλον ἐστιάσεις ἀντεπιβουλεύοντες· ὃ δὴ μάλιστα τὸν Ἀλέξανδρον ὑποχείριον ἐποίησε τῷ Δημητρίῳ. Φυλάττεσθαι γὰρ οἰκῶν, ὡς μὴ παρ' ἐκεῖνον ἀντιφυλάττεσθαι διδάξῃ, παθὼν ἔφθασε, δρᾶν μέλλοντος αὐτοῦ, μὴ διαφυγεῖν ἐκεῖνον, ὃ ἐμηχανᾶτο. Κληθεὶς γὰρ ἐπὶ δεῖπνον ἦλθε πρὸς τὸν Δημήτριον. Ὡς δ' ἐκεῖνος ἐξανέστη μεταξὺ δειπνῶν, φοβηθεὶς ὁ Ἀλέξανδρος συνεξανέστη, καὶ κατὰ πόδας αὐτῷ πρὸς τὰς θύρας συνηκολούθει. Γενόμενος οὖν ὁ Δημήτριος πρὸς ταῖς θύραις κατὰ τοὺς ἑαυτοῦ δορυφόρους, καὶ τοῦτο μόνον εἰπών· „Κόπτε τὸν ἑπόμενον·“ αὐτὸς μὲν ὑπεξῆλθεν· ὁ δ' Ἀλέξανδρος ὑπ' ἐκείνων κατεκόπη, καὶ τῶν φίλων οἱ προσβοηθοῦντες, ὧν ἕνα λέγουσι σφαττόμενον εἰπεῖν, ὡς ἐν ἡμέρᾳ μιᾷ φθάσειεν αὐτοὺς ὁ Δημήτριος.

XXXVII. Ἡ μὲν οὖν νὺξ, οἷον εἰκὸς, θόρυβον ἔσχεν. Ἅμα δ' ἡμέρᾳ ταρασσομένοις τοῖς Μα-

μεδόσι, καὶ φοβουμένοις τὴν τοῦ Δημητρίου δύναμιν, ὡς ἐπήει μὲν οὐδεὶς φοβερὸς, ὁ δὲ Δημήτριος ἔπεμπε βουλόμενος ἐντυχεῖν, καὶ περὶ τῶν πεπραγμένων ἀπολογήσασθαι, θαρρεῖν παρέστη, καὶ δέχεσθαι φιλανθρώπως αὐτόν. Ὡς δ' ἦλθεν, οὐ μακρῶν ἐδέησεν αὐτῷ λόγων, ἀλλὰ τῷ μισεῖν μὲν Ἀντίπατρον, φονέα τῆς μητρὸς ὄντα, βελτίονος δ' ἀπορεῖν, ἐκεῖνον ἀνηγόρευσαν βασιλέα Μακεδόνων, καὶ παραλαβόντες αὐτὸν κατῆγον εἰς Μακεδονίαν. Ἦν δὲ καὶ τοῖς οἴκοι Μακεδόσιν οὐκ ἀκούσιος ἡ μεταβολὴ, μεμνημένοις ἀεὶ καὶ μισοῦσιν, ἃ Κάσανδρος εἰς Ἀλέξανδρον τεθνηκότα παρηνόμησεν. Εἰ δέ τις ἔτι μνήμη τῆς Ἀντιπάτρου τοῦ παλαιοῦ μετριότητος ὑπελείπετο, καὶ ταύτην Δημήτριος ἐκαρποῦτο Φίλᾳ συνοικῶν, καὶ τὸν ἐξ ἐκείνης υἱὸν ἔχων διάδοχον τῆς ἀρχῆς, ἤδη τότε μειράκιον ὄντα καὶ τῷ πατρὶ συστρατευόμενον.

XXXVIII. Οὕτω δὲ λαμπρᾷ κεχρημένος εὐτυχίᾳ, πυνθάνεται μὲν περὶ τῶν τέκνων καὶ τῆς μητρὸς, ὡς μεθεῖνται, δῶρα καὶ τιμὰς Πτολεμαίου προσθέντος αὐτοῖς· πυνθάνεται δὲ περὶ τῆς Σελεύκῳ γαμηθείσης θυγατρὸς, ὡς Ἀντιόχῳ τῷ Σελεύκου συνοικεῖ, καὶ βασίλισσα τῶν ἄνω βαρβάρων ἀνηγόρευται. Συνέβη γὰρ, ὡς ἔοικε, τὸν Ἀντίοχον 907 ἐρασθέντα τῆς Στρατονίκης, νέας οὔσης, ἤδη δὲ παιδίον ἐχούσης ἐκ τοῦ Σελεύκου, διακεῖσθαι κακῶς, καὶ πολλὰ ποιεῖν τῷ πάθει διαμαχόμενον· τέλος δ' αὐτοῦ καταγνόντα, δεινῶν μὲν ἐπιθυμεῖν, ἀνήκεστα δὲ νοσεῖν, κεκρατῆσθαι δὲ τῷ λογισμῷ, τρόπον ἀπαλλαγῆς τοῦ βίου ζητεῖν, καὶ παραλύειν ὠτρέμα, καὶ θεραπείας ἀμελείᾳ, καὶ τροφῆς ἀποχῇ, τὸ σῶμα, νοσεῖν τινα νόσον σκηπτόμενον. Ἐρασίστρατον δὲ τὸν ἰατρὸν αἰσθέσθαι μὲν οὐ χαλεπῶς ἐρῶντος αὐτοῦ· τὸ δ', οὗτινος ἐρᾷ, δυστόπαστον ὄν, ἐξανευρεῖν βουλόμενον, ἀεὶ μὲν ἐν τῷ δωματίῳ διημερεύειν· εἰ δέ τις εἰσίοι τῶν ἐν ὥρᾳ μειρακίων, ἢ γυναικῶν, ἐγκαθορᾶν τε τῷ προσώπῳ τοῦ Ἀντιόχου, καὶ τὰ συμπάσχειν μάλιστα τῇ ψυ-

χῇ τρεπομένῃ πεφυκότα μέρη καὶ κινήματα τοῦ σώματος ἐπισκοπεῖν. Ὡς οὖν, τῶν μὲν ἄλλων εἰσιόντων, ὁμοίως εἶχε, τῆς δὲ Στρατονίκης, καὶ καθ' ἑαυτὴν καὶ μετὰ τοῦ Σελεύκου φοιτώσης πολλάκις, ἐγίνετο τὰ τῆς Σαπφοῦς ἐκεῖνα περὶ αὐτὸν πάντα, φωνῆς ἐπίσχεσις, ἐρύθημα πυρῶδες, ὄψεων ὑποδείξεις, ἱδρῶτες ὀξεῖς, ἀταξία καὶ θόρυβος ἐν τοῖς σφυγμοῖς· τέλος δὲ, τῆς ψυχῆς κατὰ κράτος ἡττωμένης, ἀπορία καὶ θάμβος, καὶ ὠχρίασις· ἐπὶ τούτοις προσλογιζόμενον τὸν Ἐρασίστρατον κατὰ τὸ εἰκὸς, ὡς οὐκ ἂν ἑτέρᾳ ἐρῶν βασιλέως υἱὸς ἐνεκαρτέρει τῷ σιωπᾶν μέχρι θανάτου, χαλεπὸν μὲν ἡγεῖσθαι τὸ φράσαι ταῦτα καὶ κατειπεῖν· οὐ μὴν ἀλλὰ πιστεύοντα τῇ πρὸς τὸν υἱὸν εὐνοίᾳ τοῦ Σελεύκου, παρακινδυνεῦσαι ποτὲ καὶ εἰπεῖν, ὡς ἔρως μὲν εἴη τοῦ νεανίσκου τὸ πάθος, ἔρως δ' ἀδύνατος καὶ ἀνίατος. Ἐκπλαγέντος δ' ἐκείνου καὶ πυθομένου, πῶς ἀνίατος· ὅτι νὴ Δία, φάναι τὸν Ἐρασίστρατον, ἐρᾷ τῆς ἐμῆς γυναικός. Εἶτ' οὐκ ἂν, εἰπεῖν τὸν Σέλευκον, ἐπιδοίης, Ἐρασίστρατε, τῷ ἐμῷ παιδὶ, φίλος ὤν, τὸν γάμον; καὶ ταῦτα, ὁρῶν ἡμᾶς ἐπὶ τούτῳ μόνῳ σαλεύοντας; Οὐδὲ γὰρ ἂν σὺ, φάναι, τοῦτο πατὴρ ὢν ἐποίησας, εἰ Στρατονίκης Ἀντίοχος ἐπεθύμησε. Καὶ τὸν Σέλευκον· Εἴθε γὰρ, ὦ ἑταῖρε, εἰπεῖν, ταχὺ μεταστρέψαι τις ἐπὶ ταῦτα καὶ μεταβάλοι θεῶν ἢ ἀνθρώπων τὸ πάθος· ὡς ἐμοὶ καὶ τὴν βασιλείαν ἀφεῖναι καλὸν Ἀντιόχου περιεχομένῳ. Ταῦτ' ἐμπαθῶς σφόδρα τοῦ Σελεύκου καὶ μετὰ πολλῶν δακρύων λέγοντος, ἐμβαλόντα τὴν δεξιὰν αὐτῷ τὸν Ἐρασίστρατον εἰπεῖν, ὡς οὐδὲν Ἐρασιστράτου δέοιτο· καὶ γὰρ πατὴρ καὶ ἀνὴρ ὢν καὶ βασιλεὺς αὐτὸς, ἅμα καὶ ἰατρὸς εἴη τῆς οἰκίας ἄριστος. Ἐκ τούτου τὸν Σέλευκον ἐκκλησίαν ἀθροίσαντα πάνδημον, εἰπεῖν, ὅτι βούλεται καὶ διέγνωκε, τῶν ἄνω πάντων τόπων Ἀντίοχον ἀποδεῖξαι βασιλέα καὶ Στρατονίκην βασιλίδα, ἀλλήλοις συνοικοῦντας· οἴεσθαι δὲ τὸν μὲν υἱὸν, εἰθισμένον ἅπαντα πείθεσθαι καὶ κατήκοον ὄντα, μηθὲν

ἀντερεῖν αὐτῷ πρὸς τὸν γάμον· εἰ δ' ἡ γυνὴ τῷ μὴ νενομισμένῳ δυσκολαίνοι, παρακαλεῖν τοὺς φίλους, ὅπως διδάσκωσιν αὐτὴν καὶ πείθωσι, καλὰ καὶ δίκαια τὰ δοκοῦντα βασιλεῖ μετὰ τοῦ συμφέροντος ἡγεῖσθαι. Τὸν μὲν οὖν Ἀντιόχου καὶ Στρατονίκης γάμον ἐκ τοιαύτης γενέσθαι προφάσεως λέγουσι.

XXXIX. Δημήτριος δὲ μετὰ Μακεδονίαν καὶ Θετταλίαν ἦν παρειληφώς. Ἔχων δὲ καὶ τῆς Πελοποννήσου τὰ πλεῖστα, καὶ τῶν ἐκτὸς Ἰσθμοῦ Μέγαρα καὶ Ἀθήνας, ἐπὶ Βοιωτοὺς ἐστράτευσε. Καὶ πρῶτον μὲν ἐγένοντο συμβάσεις μέτριαι περὶ φιλίας πρὸς αὐτόν· ἔπειτα Κλεωνύμου τοῦ Σπαρτιάτου παραβαλόντος εἰς Θήβας μετὰ στρατιᾶς, ἐπαρθέντες οἱ Βοιωτοὶ, καὶ Πίσιδος ἅμα τοῦ Θεσπιέως, ὃς ἐπρώτευε δόξῃ καὶ δυνάμει τότε, συμπαρορμῶντος αὐτοὺς, ἀπέστησαν. Ὡς δὲ ταῖς Θήβαις ἐπαγαγὼν τὰς μηχανὰς ὁ Δημήτριος ἐπολιόρ-
908 κει, καὶ φοβηθεὶς ὑπεξῆλθεν ὁ Κλεώνυμος, καταπλαγέντες οἱ Βοιωτοὶ παρέδωκαν ἑαυτούς. Ὁ δὲ ταῖς πόλεσιν ἐμβαλὼν φρουρὰν, καὶ πραξάμενος πολλὰ χρήματα, καὶ καταλιπὼν αὐτοῖς ἐπιμελητὴν καὶ ἁρμοστὴν, Ἱερώνυμον, τὸν ἱστορικὸν, ἔδοξεν ἠπίως κεχρῆσθαι, καὶ μάλιστα διὰ Πίσιν. Ἕλων γὰρ αὐτὸν, οὐδὲν κακὸν ἐποίησεν, ἀλλὰ καὶ προσαγορεύσας καὶ φιλοφρονηθεὶς, πολέμαρχον ἐν Θεσπιαῖς ἀπέδειξεν. Οὐ πολλῷ δ' ὕστερον ἁλίσκεται Λυσίμαχος ὑπὸ Δρομιχαίτου, καὶ πρὸς τοῦτο κατὰ τάχος ἐξορμήσαντος ἐπὶ Θράκην τοῦ Δημητρίου, ὥσπερ ἔρημα καταληψομένου, πάλιν ἀπέστησαν οἱ Βοιωτοὶ, καὶ Λυσίμαχος ἅμα διειμένος ἀπηγγέλλετο. Ταχέως οὖν καὶ πρὸς ὀργὴν ἀναστρέψας ὁ Δημήτριος, εὗρεν ἡττημένους ὑπὸ τοῦ παιδὸς Ἀντιγόνου μάχῃ τοὺς Βοιωτοὺς, καὶ τὰς Θήβας αὖθις ἐπολιόρκει.

XL. Πύρρου δὲ Θεσσαλίαν κατατρέχοντος, καὶ μέχρι Θερμοπυλῶν παραφανέντος, Ἀντίγονον ἐπὶ τῆς πολιορκίας καταλιπὼν, αὐτὸς ὥρμησεν ἐπ' ἐκεῖ-

νον. Ὀξέως δὲ φυγόντος, ἐν Θεσσαλίᾳ καταστήσας μυρίους ὁπλίτας καὶ χιλίους ἱππεῖς, αὖθις ἐνέκειτο ταῖς Θήβαις, καὶ προσῆγε τὴν λεγομένην ἑλέπολιν, πολυπόνως καὶ κατὰ μικρὸν ὑπὸ βρίθους καὶ μεγέθους μοχλευομένην, ὡς πόλις ἐν δυσὶ μησὶ δύο σταδίους προελθεῖν. Τῶν δὲ Βοιωτῶν ἐρρωμένως ἀμυνομένων, καὶ τοῦ Δημητρίου πολλάκις φιλονεικίας ἕνεκα μᾶλλον, ἢ χρείας, μάχεσθαι καὶ κινδυνεύειν τοὺς στρατιώτας ἀναγκάζοντος, ὁρῶν ὁ Ἀντίγονος πίπτοντας οὐκ ὀλίγους, καὶ περιπαθῶν· Τί, ὦ πάτερ, ἔφη, παραναλισκομένους οὐκ ἀναγκαίως τούτους περιορῶμεν; Ὁ δὲ παροξυνθείς· Σὺ δὲ, ἔφη, τί δυσχεραίνεις; ἢ διάμετρον ὀφείλεις τοῖς ἀποθνήσκουσιν; Οὐ μὴν ἀλλὰ καὶ βουλόμενός γε μὴ δοκεῖν ἑταίρων ἀφειδεῖν μόνον, ἀλλὰ καὶ συγκινδυνεύειν τοῖς μαχομένοις, διελαύνεται τὸν τράχηλον ὀξεῖ βέλει. Καὶ δεινῶς μὲν ἔσχεν, οὐ μὴν ἀνῆκεν, ἀλλ' εἶλε τὰς Θήβας πάλιν. Καὶ παρελθὼν ἀνάτασιν μὲν καὶ φόβον ὡς τὰ δεινότατα πεισομένοις παρέσχεν· ἀνελὼν δὲ τρισκαίδεκα καὶ μεταστήσας τινὰς, ἀφῆκε τοὺς ἄλλους. Ταῖς μὲν οὖν Θήβαις οὔπω δέκατον οἰκουμέναις ἔτος ἁλῶναι δὶς ἐν τῷ χρόνῳ τούτῳ συνέπεσε. Τῶν δὲ Πυθίων καθηκόντων, πρᾶγμα καινότατον ἐπέτρεψεν αὐτῷ ποιεῖν ὁ Δημήτριος. Ἐπεὶ γὰρ Αἰτωλοὶ τὰ περὶ Δελφοὺς στενὰ κατεῖχον, ἐν Ἀθήναις αὐτὸς ἦγε τὸν ἀγῶνα καὶ τὴν πανηγυριν, ὡς ἂν προσῆκον αὐτόθι μάλιστα τιμᾶσθαι τὸν θεὸν, ὃς δὴ καὶ πατρῷός ἐστι, καὶ λέγεται τοῦ γένους ἀρχηγός.

XLI. Ἐντεῦθεν ἐπανελθὼν εἰς Μακεδονίαν, καὶ μήτ' αὐτὸς ἄγειν ἡσυχίαν πεφυκὼς, τούς τ' ἄλλους ὁρῶν ἐν ταῖς στρατείαις μᾶλλον αὐτῷ προσέχοντας, ἄκοπα δὲ ταραχώδεις καὶ πολυπράγμονας ὄντας, ἐστράτευσεν ἐπ' Αἰτωλούς, καὶ τὴν χώραν κακώσας, καὶ Πάνταυχον ἐν αὐτῇ, μέρος ἔχοντα τῆς δυνάμεως οὐκ ὀλίγον, ἀποδιπὼν, ἐπὶ Πύρρον αὐτὸς ἐχώρει, καὶ Πύρρος ἐπ' ἐκεῖνον· ἀλλήλων δὲ διαμαρτόντες, ὁ μὲν ἐπόρθει τὴν Ἤπειρον, ὁ δὲ, Πανταύχῳ περιπεσὼν

καὶ μάχην συνάψας, αὐτὸν μὲν ἄχρι τοῦ δοῦναι καὶ λαβεῖν πληγὴν ἐν χερσὶ γενόμενον ἐτρέψατο· τῶν δ' ἄλλων πολλοὺς μὲν ἀπέκτεινεν, ἑζώγρησε δὲ πεντακισχιλίους. Καὶ τοῦτο μάλιστα Δημήτριον ἐκάκωσεν· οὐ γὰρ σῦτω μισηθεὶς ὁ Πύῤῥος, ἀφ' ὧν ἔπραξεν, ὡς θαυμασθεὶς διὰ τὸ πλεῖστα τῇ χειρὶ κατεργάσασθαι, μέγα τε καὶ λαμπρὸν ἔσχεν ἀπὸ τῆς μάχης ἐκείνης ὄνομα παρὰ τοῖς Μακεδόσι
909 καὶ πόλλοῖς ἐπῆει λέγειν τῶν Μακεδόνων, ὡς ἐν μόνῳ τούτῳ τῶν βασιλέων εἴδωλον ἐνορῷτο τῆς Ἀλεξάνδρου τόλμης· οἱ δ' ἄλλοι, καὶ μάλιστα Δημήτριος, ὡς ἐπὶ σκηνῆς, τὸ βάρος ὑποκρίνοιντο καὶ τὸν ὄγκον τοῦ ἀνδρός. Ἦν δ' ὡς ἀληθῶς τραγῳδία μεγάλη περὶ τὸν Δημήτριον, οὐ μόνον ἀμπεχόμενον καὶ διαδούμενον περιττῶς καυσίαις διμίτροις, καὶ χρυσοπαρύφοις ἁλουργίσιν, ἀλλὰ καὶ περὶ τοῖς ποσὶν ἐκ πορφύρας ἀκράτου συμπεπιλημένης χρυσοβαφεῖς πεποιημένον ἐμβάδας. Ἦν δέ τις ὑφαινομένη χλαμὺς αὐτῷ πολὺν χρόνον, ἔργον ὑπερήφανον, εἴκασμα τοῦ κόσμου καὶ τῶν κατ' οὐρανὸν φαινομένων· ὃ κατελείφθη μὲν ἡμιτελὲς ἐν τῇ μεταβολῇ τῶν πραγμάτων, οὐδεὶς δ' ἐτόλμησεν αὐτῇ χρήσασθαι, καίπερ οὐκ ὀλίγων ὕστερον ἐν Μακεδονίᾳ σοβαρῶν γενομένων βασιλέων.

XLII. Οὐ μόνον δὲ τούτοις τοῖς θεάμασιν ἐλύπει τοὺς ἀνθρώπους ἀήθεις ὄντας, ἀλλὰ καὶ τρυφὴν καὶ δίαιταν ἐβαρύνοντο· καὶ μάλιστα δὴ τὸ δυσόμιλον αὐτοῦ καὶ δυσπρόσοδον. Ἡ γὰρ οὐ παρεῖχε καιρὸν ἐντυχεῖν, ἢ χαλεπὸς καὶ τραχὺς ἦν τοῖς ἐντυγχάνουσιν. Ἀθηναίων μὲν γὰρ, περὶ οὓς ἐσπουδάκει μάλιστα τῶν Ἑλλήνων, ἔτη δύο πρεσβείαν κατέσχεν· ἐκ Λακεδαίμονος δ' ἑνὸς πρεσβευτοῦ παραγενομένου, καταφρονεῖσθαι δοκῶν, ἠγανάκτησεν. Ἀστείως μέντοι καὶ Λακωνικῶς ἐκεῖνος, εἰπόντος αὐτοῦ· Τί σὺ λέγεις; ἕνα Λακεδαιμόνιοι πρεσβευτὴν ἔπεμψαν; Ναὶ, εἶπεν; ὦ βασιλεῦ, πρὸς ἕνα. Λύξαντος δὲ αὐτοῦ πυκὶ δημοτικώτερον

ἐξελαύνειν, καὶ πρὸς ἔντευξιν ἔχειν οὐκ ἀηδῶς, συνέδραμόν τινες ἐγγράφους ἀξιώσεις ἀναδιδόντες. Δεξαμένου δὲ πάσας καὶ τῇ χλαμύδι συλλαβόντος, ἤσθησαν οἱ ἄνθρωποι καὶ παρηκολούθουν· ὡς δ' ἦλθεν ἐπὶ τὴν τοῦ Ἄξιου γέφυραν, ἀναπτύξας τὴν χλαμύδα, πάσας εἰς τὸν ποταμὸν ἐξέῤῥιψε. Καὶ τοῦτο δὴ δεινῶς ἠνίασε τοὺς Μακεδόνας, ὑβρίζεσθαι δοκοῦντας, οὐ βασιλεύεσθαι, καὶ Φιλίππου μνημονεύοντας, ἢ τῶν μνημονευόντων ἀκούοντας, ὡς μέτριος ἦν περὶ ταῦτα καὶ κοινός. Καί ποτε πρεσβυτέρου γυναίου κόπτοντος αὐτὸν ἐν παρόδῳ τινὶ, καὶ δεομένου πολλάκις ἀκουσθῆναι, φήσας, μὴ σχολάζειν, ἐγκραγόντος ἐκείνου, καὶ, Μὴ βασίλευε, εἰπόντος· δηχθεὶς σφόδρα, καὶ πρὸς τοῦτῳ γενόμενος, ἀνέστρεψεν εἰς τὴν οἰκίαν, καὶ πάντα ποιησάμενος ὕστερα, τοῖς ἐντυχεῖν βουλομένοις, ἀρξάμενος ἀπὸ τῆς πρεσβύτιδος ἐκείνης, ἐπὶ πολλὰς ἡμέρας ἐσχόλασεν. Οὐδὲν γὰρ οὕτως τῷ βασιλεῖ προσῆκον, ὡς τὸ τῆς δίκης ἔργον. Ἄρης μὲν γὰρ τύραννος, ὥς φησι Τιμόθεος· νόμος δὲ πάντων βασιλεὺς κατὰ Πίνδαρον ἐστί· καὶ τοὺς βασιλεῖς Ὅμηρός φησιν, οὐχ ἑλεπόλεις, οὐδὲ ναῦς χαλκήρεις, ἀλλὰ θέμιστας παρὰ τοῦ Διὸς λαμβάνοντας ῥυέσθαι καὶ φυλάσσειν, καὶ τοῦ Διός, οὐ τὸν πολεμικώτατον, οὐδὲ τὸν ἀδικώτατον καὶ φονικώτατον τῶν βασιλέων, ἀλλὰ τὸν δικαιότατον, ἀριστῆν καὶ μαθητὴν προσηγόρευκεν. Ἀλλὰ Δημήτριος ἔχαιρε τῷ βασιλεῖ τῶν θεῶν ἀνομοιοτάτην ἐπιγραφόμενος προσωνυμίαν. Ὁ μὲν γὰρ Πολιεὺς καὶ Πολιοῦχος, ὁ δὲ Πολιορκητὴς ἐπίκλησιν ἔσχεν. Οὕτως ἐπὶ τὴν τοῦ καλοῦ χώραν τὸ αἰσχρὸν ὑπὸ δυνάμεως ἀμαθοῦς ἐπελθὸν, συνφκείωσε τῇ δόξῃ τὴν ἀδικίαν.

XLIII. Ὁ δ' οὖν Δημήτριος ἐπισφαλέστατα νοσήσας ἐν Πέλλῃ, μικροῦ τότε Μακεδονίαν ἀπέβαλε, καταδραμόντος ὀξέως Πύῤῥου, καὶ μέχρις Ἐδέσσης προελθόντος· Ἅμα δὲ τῷ κουφότερος γενέσθαι, πάνυ ῥᾳδίως ἐξελάσας αὐτὸν, ἐποιήσατο

τινὰς ὁμολογίας· οὐ βουλόμενος ἐμποδὼν ὄντι συνεχῶς προσπταίων καὶ τοπομαχῶν, ἧττων εἶναι πρὸς οὓς διενοεῖτο. Διενοεῖτο δ' οὐθὲν ὀλίγον,
910 ἀλλὰ πᾶσαν ἀναλαμβάνειν τὴν ὑπὸ τῷ πατρὶ γενομένην ἀρχήν. Καὶ τῆς ἐλπίδος ταύτης καὶ τῆς ἐπιβολῆς οὐκ ἀπελείπετο τὰ τῆς παρασκευῆς, ἀλλὰ στρατιᾶς μὲν ἤδη συνετέτακτο πεζῆς μυριάδας δέκα, δισχιλίων ἀνδρῶν ἀποδεούσας, καὶ χωρὶς ἱππέας ὀλίγῳ δισχιλίων καὶ μυρίων ἐλάττους. Στόλον δὲ νεῶν ἅμα πεντακοσίων καταβαλλόμενος, τὰς μὲν ἐν Πειραιεῖ τρόπεις ἔθετο, τὰς δ' ἐν Κορίνθῳ, τὰς δ' ἐν Χαλκίδι, τὰς δὲ περὶ Πέλλαν αὐτὸς ἐπιὼν ἐκασταχόσε, καὶ διδάσκων, ἃ χρή, καὶ συντεχνώμενος· ἐκπληττομένων ἁπάντων οὐ τὰ πλήθη μόνον, ἀλλὰ καὶ τὰ μεγέθη τῶν ἔργων. Οὐδεὶς γὰρ οἶδεν ἀνθρώπων οὔτε πεντεκαιδεκήρη ναῦν πρότερον, οὔτε ἑκκαιδεκήρη· ἀλλ' ὕστερον τεσσαρακοντήρη Πτολεμαῖος ὁ Φιλοπάτωρ ἐναυπηγήσατο, μῆκος διακοσίων ὀγδοήκοντα πηχῶν, ὕψος δὲ ἕως ἀκροστολίου πεντήκοντα δυοῖν δεόντων· ναύταις δὲ χωρὶς ἐρετῶν, ἑξηρτυμένην τετρακοσίοις, ἐρέταις δὲ τετρακισχιλίοις· χωρὶς δὲ τούτων, ὁπλίτας δεχομένην ἐπί τε τῶν παρόδων καὶ τοῦ καταστρώματος, ὀλίγῳ τρισχιλίων ἀποδέοντας. Ἀλλὰ θέαν μόνην ἐκείνη παρεσχε· καὶ μικρὸν ὅσον διαφέρουσα τῶν μονίμων οἰκοδομημάτων, φανῆναι πρὸς ἐπίδειξιν, οὐ χρείαν, ἐπισφαλῶς καὶ δυσέργως ἐκινήθη. Τῶν δὲ Δημητρίου νεῶν οὐκ ἦν τὸ καλὸν ἀναγώνιστον, οὐδὲ τῷ περιττῷ τῆς κατασκευῆς ἀπιστεροῦντο τὴν χρείαν, ἀλλὰ τὸ τάχος καὶ τὸ ἔργον ἀξιοθεατότερον τοῦ μεγέθους παρεῖχον.

XLIV. Αἱρομένης οὖν τοσαύτης δυνάμεως ἐπὶ τὴν Ἀσίαν, ὅσην μετ' Ἀλέξανδρον οὐδεὶς ἔσχε πρότερον, οἱ τρεῖς συνέστησαν ἐπὶ Δημήτριον, Σέλευκος, Πτολεμαῖος, Λυσίμαχος· ἔπειτα κοινῇ πρὸς Πύρρον ἀποστείλαντες, ἐκέλευον ἐξάπτεσθαι Μακεδονίας, καὶ μὴ νομίζειν σπονδὰς, αἷς Δημήτριος οὐκ ἐκείνῳ τὸ μὴ πολεμεῖσθαι δέδωκεν, ἀλλ' εἰλη-

φεν ἑαυτῷ τὸ πολεμεῖν οἷς βούλεται πρότερον. Λεξαμένου δὲ Πύῤῥου, πολὺς περιέστη πόλεμος ἔτι μέλλοντα Δημήτριον. Ἅμα γὰρ τὴν μὲν Ἑλλάδα πλεύσας στόλῳ μεγάλῳ Πτολεμαῖος ἀφίστη, Μακεδονίαν δὲ Λυσίμαχος ἐκ Θρᾴκης, ἐκ δὲ τῆς ὁμόρου Πύῤῥος, ἐμβαλόντες ἐλεηλάτουν. Ὁ δὲ τὸν μὲν υἱὸν ἐπὶ τῆς Ἑλλάδος κατέλιπεν, αὐτὸς δὲ βοηθῶν Μακεδονίᾳ, πρῶτον ὥρμησεν ἐπὶ Λυσίμαχον· ἀγγέλλεται δ' αὐτῷ Πύῤῥος ᾑρηκὼς πόλιν Βέῤῥοιαν. Καὶ τοῦ λόγου ταχέως εἰς τοὺς Μακεδόνας ἐμπεσόντος, οὐδὲν ἔτι τῷ Δημητρίῳ κατὰ κόσμον εἶχεν, ἀλλὰ καὶ ὀδυρμῶν καὶ δακρύων καὶ πρὸς ἐκεῖνον ὀργῆς καὶ βλασφημιῶν μεστὸν ἦν τὸ στράτευμα· καὶ συμμένειν οὐκ ἤθελον, ἀλλ' ἀπιέναι, τῷ μὲν λόγῳ πρὸς τὰ οἴκοι, τῇ δ' ἀληθείᾳ πρὸς τὸν Λυσίμαχον. Ἔδοξεν οὖν τῷ Δημητρίῳ, Λυσιμάχου μὲν ἀποστῆναι πορρωτάτω, πρὸς δὲ Πύῤῥον τραπέσθαι· τὸν μὲν γὰρ ὁμόφυλον εἶναι, καὶ πολλοῖς συνήθη δι' Ἀλέξανδρον· ἔπηλυν δὲ καὶ ξένον ἄνδρα, τὸν Πύῤῥον, οὐκ ἂν αὐτοῦ προτιμῆσαι Μακεδόνας. Τούτων μέντοι πολὺ διεψεύσθη τῶν λογισμῶν. Ὡς γὰρ ἐγγὺς ἐλθὼν τῷ Πύῤῥῳ παρεστρατοπέδευσεν, ἀεὶ μὲν αὐτοῦ τὴν ἐν τοῖς ὅπλοις λαμπρότητα θαυμάζοντες, ἔκ τε τοῦ παλαιοτάτου βασιλικώτατον εἰθισμένοι νομίζειν τὸν ἐν τοῖς ὅπλοις κράτιστον, τότε δὲ καὶ πρᾴως κεχρῆσθαι τοῖς ἁλισκομένοις πυνθανόμενοι, πάντες δὲ καὶ πρὸς ἕτερον καὶ πρὸς τοῦτον ἀπαλλαγῆναι τοῦ Δημητρίου ζητοῦντες, ἀπεχώρουν λάθρα, καὶ κατ' ὀλίγους τό γε πρῶτον, εἶτα φανερῶς ἅπαν εἶχε κίνησιν καὶ ταραχὴν τὸ στρατόπεδον. Τέλος δὲ τῷ Δημητρίῳ τολμήσαντες τινὲς προσελθεῖν, ἐκέλευον ἀπιέναι καὶ σώζειν αὐτόν· ἀπειρηκέναι γὰρ ἤδη Μακεδόνας ὑπὲρ τῆς 911
ἐκείνου τρυφῆς πολεμοῦντας. Οὗτοι μετριώτατοι τῶν λόγων ἐφαίνοντο τῷ Δημητρίῳ πρὸς τὴν τῶν ἄλλων τραχύτητα· καὶ παρελθὼν ἐπὶ σκηνὴν, ὥσπερ οὐ βασιλεὺς, ἀλλ' ὑποκριτὴς, μεταμφιέννυται χλαμύδα φαιὰν ἀντὶ τῆς τραγικῆς ἐκείνης, καὶ

διαλαθὼν ὑπεχώρησεν. Ὁρμησάντων δὲ τῶν πλείστων εὐθὺς ἐφ' ἁρπαγὴν, καὶ πρὸς ἀλλήλους διαμαχομένων, καὶ τὴν σκηνὴν διασπώντων, ἐπιφανεὶς ὁ Πύρρος ἐκράτησεν αὐτοβοεὶ καὶ κατέσχε τὸ στρατόπεδον. Καὶ γίνεται πρὸς Λυσίμαχον αὐτῷ συμπάσης Μακεδονίας κέρησις, ἑπταετίαν ὑπὸ Δημητρίου βεβαίως ἀρχθείσης.

XLV. Οὕτω δὲ τοῦ Δημητρίου τῶν πραγμάτων ἐκπεσόντος, καὶ καταφυγόντος εἰς Κασάνδρειαν, ἡ γυνὴ Φίλα περιπαθὴς γενομένη, προσιδεῖν μὲν οὐχ ὑπέμεινεν αὖθις ἰδιώτην καὶ φυγάδα τὸν ἑλληνοτάτων βασιλέων Δημήτριον, ἀπεπαμένη δὲ πᾶσαν ἐλπίδα, καὶ μισήσασα τὴν τύχην αὐτοῦ, βεβαιοτέραν ἐν τοῖς κακοῖς οὖσαν, ἢ τοῖς ἀγαθοῖς, πιοῦσα φάρμακον ἀπέθανε. Δημήτριος δ' ἔτι τῶν λοιπῶν ναυαγίων ἔχεσθαι διανοηθεὶς, ἀπῆρεν εἰς τὴν Ἑλλάδα, καὶ τοὺς ἐκεῖ στρατηγοὺς καὶ φίλους συνῆγεν. Ἦν οὖν ὁ Σοφοκλέους Μενέλαος εἰκόνα ταῖς αὑτοῦ τύχαις παρατίθησιν·

Ἀλλ' οὐμὸς αἰεὶ πότμος ἐν πυκνῷ θεοῦ
Τροχῷ κυκλεῖται, καὶ μεταλλάσσει φύσιν.
Ὥσπερ σελήνης δ' ὄψις εὐφρόναις δύο
Σκῆναι δύναιτ' ἂν οὔποτ' ἐν μορφῇ μιᾷ,
Ἀλλ' ἐξ ἀδήλου πρῶτον ἔρχεται νέα,
Πρόσωπα καλλύνουσα καὶ πληρουμένη,
Χὥταν περ αὐτῆς εὐγενεστάτη φανῇ,
Πάλιν διαῤῥεῖ, κεἰς τὸ μηδὲν ἔρχεται.

ταύτῃ μᾶλλον ἄν τις ἀπεικάσαι τὰ Δημητρίου πράγματα καὶ τὰς περὶ αὐτὸν αὐξήσεις καὶ φθίσεις, καὶ ἀναπληρώσεις καὶ ταπεινότητας· οὐ γὰρ καὶ τότε παντάπασιν ἀπολείπειν καὶ κατασβέννυσθαι δοκοῦντος, ἀνέλαμπεν αὖθις ἡ ἀρχὴ, καὶ δυνάμεις τινὲς ἀπῤῥέουσαι κατὰ μικρὸν ἀνεπλήρουν τὴν ἐλπίδα. Καὶ τότε πρῶτον ἰδιώτης καὶ τῶν βασιλικῶν κοσμίων ἔρημος ἐπεφοίτα ταῖς πόλεσι. Καί τις αὐτὸν ἐν Θήβαις τοιοῦτον θεασάμενος, ἐχρήσατο τοῖς Εὐριπίδου στίχοις οὐκ ἀηδῶς·

Μορφὴν ἀμείψας ἐκ θεοῦ βροτησίαν,
Πάρεστι Λίρκης νάματ' Ἰσμηνοῦ θ' ὕδωρ.

XLVI. Ἐπεὶ δ' ἅπαξ ὥσπερ εἰς ὁδὸν βασιλικὴν τὴν ἐλπίδα κατέστη, καὶ συνίστατο πάλιν σῶμα καὶ σχῆμα περὶ αὐτὸν ἀρχῆς, Θηβαίοις μὲν ἀπέδωκε τὴν πολιτείαν, Ἀθηναῖοι δ' ἀπέστησαν αὐτοῦ. Καὶ τόν τε Ἄφιλον, ὃς ἦν ἱερεὺς τῶν Σωτήρων ἀναγεγραμμένος, ἐκ τῶν ἐπωνύμων ἀνεῖλον, ἄρχοντας αἱρεῖσθαι πάλιν, ὥσπερ ἦν πάτριον, ψηφισάμενοι, τόν τε Πύῤῥον ἐκ Μακεδονίας μετεπέμποντο, μᾶλλον, ἢ προσεδόκησαν, ἰσχύοντα τὸν Δημήτριον ὁρῶντες. Ὁ δ' ὀργῇ μὲν ἐπῆλθεν αὐτοῖς, καὶ πολιορκίαν περὶ τὸ ἄστυ συνεστήσατο παρτερᾶν. Κράτητος δὲ, τοῦ φιλοσόφου, πεμφθέντος ὑπὸ τοῦ δήμου πρὸς αὐτὸν, ἀνδρὸς ἐνδόξου καὶ δυνατοῦ, τὰ μὲν, οἷς ὑπὲρ τῶν Ἀθηναίων ἐδεῖτο, πεισθεὶς, τὰ δ', ἐξ ὧν ἐδίδασκε περὶ τῶν ἐκείνῳ συμφερόντων, νοήσας, ἔλυσε τὴν πολιορκίαν, καὶ συναγαγὼν, ὅσαι νῆες ἦσαν αὐτῷ, καὶ στρατιώτας μυρίους καὶ χιλίους σὺν ἱππεῦσιν ἐμβιβάσας, ἐπὶ τὴν Ἀσίαν ἔπλει, Λυσιμάχου Καρίαν καὶ Λυδίαν ἀποστήσων. Λέγεται δ' αὐτὸν Εὐρυδίκη περὶ Μίλητον, ἀδελφὴ Φίλας, ἄγουσα τῶν αὐτῆς καὶ Πτολεμαίου θυγατέρων Πτολεμαΐδα, καθωμολογημένην 912
ἐκείνῳ πρότερον διὰ Σελεύκου. Ταύτην γαμεῖ Δημήτριος, Εὐρυδίκης ἐκδιδούσης. Καὶ μετὰ τὸν γάμον εὐθὺς ἐπὶ τὰς πόλεις τρέπεται, πολλῶν μὲν ἑκουσίως προστιθεμένων, πολλὰς δὲ καὶ βιαζόμενος. Ἔλαβε δὲ καὶ Σάρδεις· καί τινες τῶν Λυσιμάχου στρατηγῶν ἀπεχώρησαν πρὸς αὐτὸν, χρήματα καὶ στρατιὰν κομίζοντες. Ἐπερχομένου δ' Ἀγαθοκλέους, τοῦ Λυσιμάχου μετὰ δυνάμεως, ἀνέβαινεν εἰς Φρυγίαν, ἐγνωκὼς, ἅπερ Ἀρμενίας ἐπιλάβηται, Μηδίαν κινεῖν, καὶ τῶν ἄνω πραγμάτων ἔχεσθαι, πολλὰς ἐξωθουμένῳ περιφυγὰς καὶ ἀναχωρήσεις ἐχόντων. Ἐπομένου δ' Ἀγαθοκλέους, ἐν ταῖς συμπλοκαῖς περιῆν· ἐπισιτισμοῦ δὲ καὶ προνομῶν εἰργόμενος, ἠπορεῖτο, καὶ τοῖς στρατιώ-

ταις δι' ὑποψίας ἦν ὡς ἐπ' Ἀρμενίαν καὶ Μηδίαν ἐκτοπίζων. Ἅμα δὲ μᾶλλον ὁ λιμὸς ἐπέτεινε, καὶ διαμαρτία τις γενομένη περὶ τὴν Λύκου διάβασιν πλῆθος ἀνθρώπων ἁρπασθὲν ὑπὸ τοῦ ῥεύματος ἀπώλεσεν. Ὅμως δὲ τοῦ σκώπτειν οὐκ ἀπείχοντο. Προγράφει δέ τις αὐτοῦ πρὸ τῆς σκηνῆς τὴν τοῦ Οἰδίποδος ἀρχὴν, μικρὸν παραλλάξας·

Τέκνον τυφλοῦ γέροντος Ἀντιγόνου, τίνας
Χώρους ἀφίγμεθα;

XLVII. Τέλος δὲ καὶ νόσου τῷ λιμῷ συνεπιτιθεμένης, ὥσπερ εἴωθεν, ἐπὶ βρώσεις ἀναγκαίας τρεπομένων, τοὺς πάντας οὐκ ἐλάσσονας ὀκτακισχιλίων ἀποβαλὼν, ἀπῆγεν ὀπίσω τοὺς λοιπούς· καὶ καταβὰς εἰς Ταρσὸν, ἐβούλετο μὲν ἀπέχεσθαι τῆς χώρας, οὔσης ὑπὸ Σελεύκῳ τότε, καὶ πρόφασιν ἐκείνῳ μηδεμίαν παρασχεῖν· ὡς δ' ἦν ἀμήχανον, ἐν ταῖς ἐσχάταις ὄντων ἀπορίαις τῶν στρατιωτῶν, καὶ τοῦ Ταύρου τὰς ὑπερβολὰς Ἀγαθοκλῆς ἀπετείχισε, γράφει πρὸς Σέλευκον ἐπιστολὴν, μακρόν τινα τῆς αὐτοῦ τύχης ὀδυρμὸν, εἶτα πολλὴν ἱκεσίαν καὶ δέησιν ἔχουσαν, ἀνδρὸς οἰκείου λαβεῖν οἶκτον, ἄξια καὶ πολεμίοις συναλγῆσαι πεπονθότος. Ἐπικλασθέντος δέ πως Σελεύκου, καὶ γράψαντος τοῖς ἐκεῖ στρατηγοῖς, ὅπως αὐτῷ τε τῷ Δημητρίῳ χορηγίαν βασιλικὴν καὶ τῇ δυνάμει τροφὴν ἄφθονον παρέχωσιν, ἐπελθὼν Πατροκλῆς, ἀνὴρ συνετὸς εἶναι δοκῶν καὶ Σελεύκῳ φίλος πιστὸς, οὐ τὸ τῆς δαπάνης ἔφη πλεῖστον εἶναι τῶν Δημητρίου στρατιωτῶν τρεφομένων, ἀλλ' ἐνδιατρίβοντα τῇ χώρᾳ Δημήτριον οὐ καλῶς περιορᾷν αὐτὸν, ὃς ἀεὶ βιαιότατος ὢν καὶ μεγαλοπραγμονέστατος βασιλέων, νῦν ἐν τύχαις γέγονεν, αἳ καὶ τοὺς φύσει μετρίους ἐξάγουσι τολμᾷν καὶ ἀδικεῖν. Ἐκ τούτου παροξυνθεὶς ὁ Σέλευκος ἐξώρμησεν εἰς Κιλικίαν μετὰ πολλῆς δυνάμεως. Ὁ δὲ Δημήτριος, ἐκπλαγεὶς τῇ δι' ὀλίγου μεταβολῇ τοῦ Σελεύκου, καὶ φοβηθεὶς, ὑπέστειλε τοῖς ὀχυρωτάτοις τοῦ Ταύρου, καὶ διαπεμπόμενος, ἠξίου μάλιστα μὲν αὐτὸν πε-

ριῤῥεῖν τῶν αὐτονόμων τινὰ βαρβάρων πεισάμενον ἀρχήν, ἐν ᾗ καταβιώσεται πλάνης καὶ φυγῆς παυσάμενος· εἰ δὲ μὴ, τὸν χειμῶνα διαθρέψαι τὴν δύναμιν αὐτόθι, καὶ μὴ πάντων ἐνδεᾶ καὶ γυμνὸν ἐξελαύνειν, καὶ προβάλλειν τοῖς πολεμίοις.

XLVIII. Ἐπεὶ δὲ Σέλευκος, ταῦτα πάντα ὑποπτεύων, ἐκέλευσεν αὐτὸν, εἰ βούλεται, δύο μῆνας ἐν τῇ Καππαδοκίᾳ χειμάσαι, δόντα τοὺς πρώτους τῶν φίλων ὁμήρους, ἅμα δὲ τὰς εἰς Συρίαν ἀπετείχιζεν ἐκβολάς· ἐγκλειόμενος, ὥσπερ θηρίον, ὁ Δημήτριος κύκλῳ καὶ περιβαλλόμενος, ὑπ' ἀνάγκης τρέπεται πρὸς ἀλκὴν, καὶ τὴν τε χώραν κατέτρεχε, καὶ τῷ Σελεύκῳ προσβάλλοντι συμπλεκόμενος, ἀεὶ πλέον εἶχε. Καί ποτε τῶν θρεπανηφόρων εἰς αὐτὸν ἀφεθέντων, ὑπερβὰς τροπὴν ἐποιήσατο, καὶ 915
τῶν εἰς Συρίαν ὑπερβολῶν τοὺς ἀποτειχίζοντας ἐξελάσας ἐκράτησε. Καὶ ὅλως ἐπῆρτο τῇ γνώμῃ, καὶ τοὺς στρατιώτας ἀνατεθαῤῥηκότας ὁρῶν, παρεσκευάζετο διαγωνίσασθαι πρὸς τὸν Σέλευκον ἐπὶ τοῖς μεγίστοις ἄθλοις, ἠπορημένον ἤδη καὶ αὐτόν. Ἀπέστρεφε μὲν γὰρ τὴν παρὰ Λυσιμάχου βοήθειαν, ἀπιστῶν καὶ φοβούμενος· αὐτὸς δὲ καθ' ἑαυτὸν ὤμνει τῷ Δημητρίῳ συνάψαι, θεωρῶν τὴν ἀπόνοιαν αὐτοῦ, καὶ τὴν ἀεὶ μεταβολὴν, ἐκ τῶν ἐσχάτων ἀπορίων τὰς μεγίστας εὐτυχίας ἐπιφέρουσαν. Νόσος μέντοι βαρεῖα τὸν Δημήτριον ἐν τούτῳ καταλαβοῦσα, τό τε σῶμα δεινῶς ἐπάκωσε, καὶ τὰ πράγματα παντάπασι διέφθειρεν. Οἱ μὲν γὰρ ἀπεχώρησαν πρὸς τοὺς πολεμίους, οἱ δὲ διεῤῥύησαν αὐτοῦ τῶν στρατιωτῶν. Μόλις δ' ἐν ἡμέραις τεσσαράκοντα ῥαΐσας, καὶ τοὺς ὑπολοίπους ἀναλαβὼν, καὶ ὁρμήσας, ὅσον ἰδεῖν καὶ βοᾶσαι τοὺς πολεμίους, ἐπὶ Κιλικίας, εἶτα νυκτὸς ἄνευ σάλπιγγος ἅρας ἐπὶ θάτερα, καὶ τὸν Ἀμανὸν ὑπερβαλὼν, ἐπόρθει τὴν κάτω χώραν ἄχρι τῆς Κυῤῥηστικῆς.

XLIX. Ἐπιφανέντος δὲ τοῦ Σελεύκου, καὶ ποιουμένου τὰς καταλύσεις ἐγγὺς, ἀναστήσας ὁ Δημήτριος τὸ στράτευμα, νυκτὸς ἐβάδιζεν ἐπ' αὐ-

τὸν, ἀγνοοῦντα μέχρι πολλοῦ καὶ κοιμώμενον. Αὐτομόλων δέ τινων παραγενομένων καὶ φρασάντων τὸν κίνδυνον, ἐκπλαγεὶς καὶ ἀναπηδήσας, ἐκέλευσε σημαίνειν, ἅμα τὰς κρηπῖδας ὑποδούμενος, καὶ βοῶν πρὸς τοὺς ἑταίρους, ὡς θηρίῳ δεινῷ συμπλέκεται, Δημήτριος δὲ, τῷ θορύβῳ τῶν πολεμίων αἰσθόμενος, ὅτι μεμήνυται, κατὰ τάχος ἀπῆγεν. Ἅμα δ' ἡμέρᾳ προσκειμένου τοῦ Σελεύκου, πέμψας τινὰ τῶν περὶ αὐτὸν ἐπὶ θάτερον κέρας, ἐποίησε τινὰ τροπὴν τῶν ἐναντίων. Εἶτα μέντοι Σέλευκος αὐτὸς, ἀφεὶς τὸν ἵππον, καὶ τὸ κράνος ἀποθέμενος, καὶ λαβὼν πέλτην, ἁπάντα ταῖς μισθοφόροις ἐπιδεικνύμενος αὐτὸν, καὶ μεταβάλλεσθαι παρακαλῶν, ἤδη ποτὲ συμφρονήσαντας, ὅτι φειδόμενος ἐκείνων, οὐ Δημητρίου, χρόνον πολὺν διατετέλεκεν. Ἐκ τούτου πάντες ἀσπαζόμενοι, καὶ βασιλέα προσαγορεύοντες μεθίσταντο. Δημήτριος δὲ, πολλῶν μεταβολῶν αἰσθόμενος ἐσχάτην ἐκείνην ἤκουσαν ἐπ' αὐτὸν, ἐκκλίνας ἐπὶ τὰς Ἀμανίδας ἔφυγε πύλας, καὶ καταλαβὼν ὕλην τινὰ συνηρεφῆ, μετὰ φίλων τινῶν καὶ ἀκολούθων ὀλίγων πανταπασιν ὄντων προσέμεινε τὴν νύκτα, βουλόμενος, εἰ δύναιτο, τῆς ἐπὶ Καῦνον ὁδοῦ λαβέσθαι, καὶ διεκπεσεῖν ἐπὶ τὴν ἐκεῖ θάλασσαν, οὗ τὸν ναύσταθμον εὑρήσειν ἤλπιζεν. Ὡς δ' ἔγνω μηδ' ἐκείνης τῆς ἡμέρας ἐφόδιον ἔχοντας αὐτοὺς, ἐπ' ἄλλων ἐγίνετο λογισμῶν. Εἶτα μέντοι Σωσιγένης ἐπῆλθεν, ἑταῖρος αὐτοῦ, χρυσοῦς τετρακοσίους ὑπεζωσμένος· καὶ ἀπὸ τούτων ἐλπίζοντες ἄχρι θαλάσσης διαγενήσεσθαι, πρὸς τὰς ὑπερβολὰς ἐχώρουν σκοταῖοι. Πυρῶν δὲ κατομένων πρὸς αὐταῖς πολεμίων, ἀπογνόντες ἐκείνην τὴν ὁδὸν, αὖθις ἀνεχώρησαν εἰς τὸν αὐτὸν τόπον, οὔτε πάντες (ἔνιοι γὰρ ἀπέδρασαν) οὔτε ὁμοίως οἱ παραμένοντες πρόθυμοι. Τολμήσαντος δέ τινος εἰπεῖν τι, ὡς Σελεύκῳ χρὴ τὸ σῶμα παραδοῦναι, Δημήτριος ὥρμησε μὲν τὸ ξίφος σπασάμενος ἀνελεῖν ἑαυτόν· οἱ δὲ φίλοι περιστάντες καὶ παραμυθούμενοι, συν-

ἐπεισαν αὕτω ποιῆσαι. Καὶ πέμπει πρὸς Σέλευκον, ἐπιτρέπων ἐκείνῳ τὰ καθ' ἑαυτόν.

L. Ἀκούσας δὲ Σέλευκος, οὐκ ἔφη τῇ Δημητρίου τύχῃ σώζεσθαι Δημήτριον, ἀλλὰ τῇ αὐτοῦ, μετὰ τῶν ἄλλων καλῶν αὐτῷ φιλανθρωπίας καὶ χρηστότητος ἐπίδειξιν διδούσῃ. Καλέσας δὲ τοὺς ἐπιμελητὰς, σκηνήν τε πηγνύναι βασιλικὴν ἐκέλευσε, καὶ πάντα τἄλλα ποιεῖν καὶ παρασκευάζειν εἰς 914
ὑποδοχὴν καὶ θεραπείαν μεγαλοπρεπῶς. Ἦν δέ τις Ἀπολλωνίδης παρὰ τῷ Σελεύκῳ, τοῦ Δημητρίου γεγονὼς συνήθης· τοῦτον εὐθὺς ἐξέπεμψε πρὸς αὐτὸν, ὅπως ἡδίων γένηται, καὶ θαῤῥῶν ὡς πρὸς οἰκεῖον ἄνδρα καὶ κηδεστὴν ἀπαντᾷ. Φανερᾶς δὲ τῆς γνώμης αὐτοῦ γενομένης, ὀλίγοι τὸ πρῶτον, εἶτα οἱ πλεῖστοι τῶν φίλων ἐξεπήδων παρὰ τὸν Δημήτριον, ἀμιλλώμενοι καὶ φθάνοντες ἀλλήλους· ἠλπίζετο γὰρ εὐθὺς παρὰ τῷ Σελεύκῳ μέγιστος ἔσεσθαι. Τοῦτα δ' ἐκείνῳ μὲν εἰς φθόνον μετέβαλλε τὸν ἔλεον, τοῖς δὲ κακοήθεσι καὶ βασκάνοις παρέσχεν ἀποτρέψαι καὶ διαφθεῖραι τὴν φιλανθρωπίαν τοῦ βασιλέως, ἐκφοβήσασιν αὐτὸν, ὡς οὐκ εἰς ἀναβολὰς, ἀλλ' ἅμα τῷ πρῶτον ἀφθῆναι τὸν ἄνδρα, μεγάλων ἐσομένων ἐν τῷ στρατοπέδῳ νεωτερισμῶν. Ἄρτι δὴ τοῦ Ἀπολλωνίδου πρὸς τὸν Δημήτριον ἀφιγμένου περιχαροῦς, καὶ τῶν ἄλλων ἐπερχομένων, καὶ λόγους θαυμαστοὺς ἀπαγγελλόντων παρὰ τοῦ Σελεύκου, καὶ τοῦ Δημητρίου μετὰ τηλικαύτην δυστυχίαν καὶ κακοπραγίαν, εἰ καὶ πρότερον ἐδόκει τὴν παράδοσιν τοῦ σώματος αἰσχρὰν πεποιῆσθαι, τότε μετεγνωκότος διὰ τὸ θαῤῥεῖν καὶ πιστεύειν ταῖς ἐλπίσιν, ἦλθε Παυσανίας ἔχων στρατιώτας ῥμαῦ πεζοὺς καὶ ἱππεῖς περὶ χιλίους. Καὶ τούτοις περισχὼν τὸν Δημήτριον ἄφνω, τοὺς δ' ἄλλους ἀποστήσας, Σελεύκῳ μὲν αὐτὸν εἰς ὄψιν οὐ κατέστησεν, εἰς δὲ Χερρόνησον τὴν Συριακὴν ἀπήγαγεν· ὅπου τὸ λοιπὸν ἰσχυρᾶς φυλακῆς ἐπισταθείσης, θεραπεία μὲν ἦκεν ἱκανὴ παρὰ Σελεύκου, καὶ χρήματα καὶ δίαιτα παρεσκευάζετο καθ' ἡμέραν οὐ μεμπτὴ, δρό-

μοι δὲ καὶ περίπατοι βασιλικοὶ, καὶ παράδεισοι θήρας ἔχοντες ἀπεδείχθησαν· ἦν δὲ καὶ τῶν φίλων τῶν συμφυγόντων τῷ βουλομένῳ συνεῖναι καὶ παρ' αὐτὸν τινὲς ὅμως ἐπιφοιτῶντες ἀπὸ τοῦ Σελεύκου ἦσαν, νομίζοντες ἐπισπεῖς λόγους, καὶ θαρρεῖν παραλοῦντες, ὡς, ὅταν πρῶτον Ἀντίοχος ἀφίκηται σὺν Στρατονίκῃ, διαθησόμενον.

LI. Ὁ δὲ Δημήτριος ἐν τοιαύτῃ τύχῃ γεγονὼς ἐπέστειλε πρὸς τὸν υἱὸν καὶ τοὺς περὶ Ἀθήνας καὶ Κόρινθον ἡγεμόνας καὶ φίλους, μήτε γράμμασιν αὐτοῦ, μήτε σφραγῖδι, πιστεύειν, ἀλλ' ὥσπερ τεθνηκότος, Ἀντιγόνῳ τὰς πόλεις καὶ τὰ λοιπὰ πράγματα διαφυλάττειν. Ἀντίγονος δὲ, τὴν τοῦ πατρὸς σύλληψιν πυθόμενος, καὶ βαρέως ἐνεγκὼν, καὶ πενθίμην ἀναλαβὼν ἐσθῆτα, πρός τε τοὺς ἄλλους βασιλεῖς ἔγραψε, καὶ πρὸς αὐτὸν Σέλευκον, δεόμενος, καὶ πᾶν, ὅ τι λοιπὸν ἦν αὐτοῖς, παραδιδοὺς, καὶ πρὸ παντὸς ἑτοιμος ὢν αὐτὸς ὑπὲρ τοῦ πατρός. Καὶ συνεδέοντο ταῦτα πόλεις τε πολλαὶ καὶ δυνάσται, πλὴν Λυσιμάχου. Λυσίμαχος δὲ καὶ χρήματα πολλὰ πέμπων ὑπισχνεῖτο Σελεύκῳ κτείναντι Δημήτριον. Ὁ δ' ἐκεῖνον μὲν καὶ ἄλλως προβαλλόμενος, ἔτι μᾶλλον ἐπὶ τούτῳ μικρὸν ἡγεῖτο καὶ βάρβαρον. Ἀντιόχῳ δὲ, τῷ παιδὶ, καὶ Στρατονίκῃ παραφυλάττων Δημήτριον, ὡς ἐκείνων ἡ χάρις γένοιτο, παρῆγαγε τὸν χρόνον.

LII. Ὁ δὲ Δημήτριος, ὡς ἐν ἀρχῇ τὴν τύχην προσπεσοῦσαν ὑπέμεινε, καὶ ῥᾷον ἤδη φέρων εἰθίζετο τὰ παρόντα, πρῶτον μὲν ἀμυσσόπους ἐκίνει τὸ σῶμα, θήρας, ἐφ' ὅσον ἦν, καὶ θρόμων ἁπτόμενος, ἔπειτα κατὰ μικρὸν ὤκνου πρὸς αὐτὰ καὶ ναθείας ἐπίμπλατο, καὶ φέρων ἑαυτὸν εἰς πόνους καὶ κύβους κατέβαλλε, καὶ τοῦ χρόνου τὸ πλεῖστον ἐν τούτοις διῆγεν· εἴτε τοὺς ἐν τῇ νήφειν ἀναλογισμοὺς τῶν παρόντων ἀποδιδράσκων, καὶ παρακαλυπτόμενος τῇ μέθῃ τὴν διάνοιαν, εἴτε συγγνοὺς ἑαυτῷ, τοῦτον εἶναι τὸν βίον, ὃν ἔκπαλαι ποθῶν καὶ διώκων, ἄλλως ὑπ' ἀγοίας καὶ κενῆς δόξης ἐπλάζετο, καὶ πολ-

λὰ μὲν ἑαυτῷ, πολλὰ δ' ἑτέροις πράγματα παρεῖχεν, ἐν ὅπλοις καὶ στόλοις καὶ στρατοπέδοις τὸ ἀγαθὸν ζητῶν, ὃ νῦν ἐν ἀπραγμοσύνῃ καὶ σχολῇ καὶ ἀναπαύσει μὴ προσδοκήσας ἀνεύρηκε. Τί γὰρ ἄλλο τῶν πολέμων καὶ τῶν κινδύνων πέρας ἐστὶ τοῖς φαύλοις βασιλεῦσι, κακῶς καὶ ἀνοήτως διακειμένοις, οὐχ ὅτι μόνον τρυφὴν καὶ ἡδονὴν ἀντὶ τῆς ἀρετῆς καὶ τοῦ καλοῦ διώκουσιν, ἀλλ' ὅτι μηδὲ ἥδεσθαι, μηδὲ τρυφᾶν, ὡς ἀληθῶς ἴσασιν; Ὁ δὲ οὖν Δημήτριος ἔτος τρίτον ἐν τῇ Χερρονήσῳ καθειργμένος, ὑπ' ἀργίας καὶ πλησμονῆς καὶ οἴνου νοσήσας ἀπέθανεν, ἔτη τέσσαρα καὶ πεντήκοντα βεβιωκώς. Καὶ Σέλευκος ἤκουσέ τε κακῶς, καὶ μετενόησεν οὐ μετρίως, ἐν ὑποψίᾳ τὸν Δημήτριον θέμενος τότε, καὶ μηδὲ Δρομιχαίτην, ἄνδρα βάρβαρον Θρᾷκα, μιμησάμενος, οὕτω φιλανθρώπως καὶ βασιλικῶς ἁλόντι Λυσιμάχῳ χρησάμενον.

LIII. Ἔσχε μέντοι καὶ τὰ περὶ τὴν ταφὴν αὐτοῦ τραγικήν τινα καὶ θεατρικὴν διάθεσιν. Ὁ γὰρ υἱὸς, Ἀντίγονος, ὡς ᾔσθετο τὰ λείψανα κομιζόμενα, πάσαις ἀναχθεὶς ταῖς ναυσὶν, ἐπὶ νήσων ἀπήντησε· καὶ δεξάμενος εἰς τὴν μεγίστην τῶν ναυαρχίδων ἔθετο τὴν ὑδρίαν χρυσήλατον οὖσαν. Αἱ δὲ πόλεις, αἷς προσεῖχον, τοῦτο μὲν στεφάνους ἐπέφερον τῇ ὑδρίᾳ, τοῦτο δ' ἄνδρας ἐν σχήματι πενθίμῳ συνθάψοντας καὶ συμπαραπέμψοντας ἀπέστελλον. Εἰς δὲ Κόρινθον τοῦ στόλου καταπλέοντος, ἥ τε κάλπις ἐκ πρύμνης περιφανὴς ἑωρᾶτο, πορφύρᾳ βασιλικῇ καὶ διαδήματι κεκοσμημένη, καὶ παρειστήκεισαν ἐν ὅπλοις νεανίσκοι δορυφοροῦντες. Ὁ δὲ τῶν τότε αὐλητῶν ἐλλογιμώτατος, Ξενόφαντος, ἐγγὺς καθεζόμενος προσηύλει τῶν μελῶν τὸ ἱερώτατον. Καὶ πρὸς τοῦτο τῆς εἰρεσίας ἀναφερομένης μετὰ ῥυθμοῦ τινος ἀπήντα ψόφος, ὥσπερ ἐν κοπετῷ, ταῖς τῶν αὐλημάτων περιόδοις. Τὸν δὲ πλεῖστον οἶκτον καὶ ὀλοφυρμὸν αὐτὸς ὁ Ἀντίγονος τοῖς ἠθροισμένοις ἐπὶ τὴν θάλατταν ὀφθεὶς ταπεινὸς καὶ δεδακρυμένος παρέσχεν. Ἐπενεχθεισῶν δὲ τιμῶν

καὶ στεφάνων περὶ Κόρινθον, εἰς Δημητριάδα κομίσας ἔθηκε τὰ λείψανα, πόλιν ἐπώνυμον ἐκείνου, οἰκισθεῖσαν ἐκ μικρῶν τῶν περὶ τὴν Ἰωλκὸν πολιχνίων. Ἀπέλιπε δὲ γενέσθαι Δημήτριος, Ἀντίγονον μὲν ἐκ Φίλας καὶ Στρατονίκης, δύο δὲ Δημητρίους, τὸν μὲν Λεπτὸν, ἐξ Ἰλλυρίδος γυναικὸς, τὸν δ' ἄρξαντα Κυρήνης, ἐκ Πτολεμαΐδος· ἐκ δὲ Δηϊδαμείας Ἀλέξανδρον, ὃς ἐν Αἰγύπτῳ κατεβίωσε. Λέγεται δὲ καὶ Κόρραβον υἱὸν ἐξ Εὐρυδίκης αὐτῷ γενέσθαι. Κατέβη δὲ ταῖς διαδοχαῖς τὸ γένος αὐτοῦ βασιλεῦον εἰς Περσέα τελευταῖον, ἐφ' οὗ Ῥωμαῖοι Μακεδονίαν ὑπηγάγοντο. Διηγωνισμένου δὲ τοῦ Μακεδονικοῦ δράματος, ὥρα τὸ Ῥωμαϊκὸν ἐπεισαγαγεῖν.

ΑΝΤΩΝΙΟΣ.

Ἀντωνίου πάππος μὲν ἦν ὁ ῥήτωρ Ἀντώνιος, ὃν τῆς Σύλλα γενόμενον στάσεως Μάριος ἀπέκτεινε· πατὴρ δὲ, ὁ Κρητικὸς ἐπικληθεὶς Ἀντώνιος, οὐχ οὕτω μὲν εὐδόκιμος ἐν τοῖς πολιτικοῖς ἀνὴρ, οὐδὲ λαμπρὸς, εὐγνώμων δὲ καὶ χρηστὸς, ἄλλως τε καὶ πρὸς τὰς μεταδόσεις ἐλευθέριος, ὡς ἀφ' ἑνὸς ἄν τις ἔργου καταμάθοι. Κεκτημένος γὰρ οὐ πολλὰ, καὶ 916
διὰ τοῦτο τῇ φιλανθρωπίᾳ χρῆσθαι κωλυόμενος ὑπὸ τῆς γυναικὸς, ἐπεί τις αφίκετο τῶν συνήθων πρὸς αὐτὸν ἀργυρίου δεόμενος, ἀργύριον μὲν οὐκ εἶχε, παιδαρίῳ δὲ προσέταξεν εἰς ἀργυροῦν σκύφον ὕδωρ ἐμβαλόντι κομίσαι· καὶ κομίσαντος, ὡς ξύρεσθαι μέλλων, κατέβρεχε τὰ γένεια. Τοῦ δὲ παιδαρίου καθ' ἑτέραν πρόφασιν ἐκποδὼν γενομένου, τὸν μὲν σκύφον ἔδωκε τῷ φίλῳ, χρῆσθαι κελεύσας· ζητήσεως δὲ πολλῆς ἐν τοῖς οἰκέταις οὔσης, ὁρῶν χαλεπαίνουσαν τὴν γυναῖκα καὶ βουλομένην καθ' ἕκαστον ἐξετάζειν, ὡμολόγησε, συγγνώμην ἔχειν δεῖν.

II. Ἦν δ' αὐτῷ γυνὴ Ἰουλία, τοῦ Καισάρων οἴκου, ταῖς ἀρίσταις κάτε καὶ σωφρονεστάταις ἐνάμιλλος. Ὑπὸ ταύτης ὁ υἱὸς Ἀντώνιος ἐτράφη, μετὰ τὴν τοῦ πατρὸς τελευτὴν Κορνηλίῳ Λέντλῳ γαμηθείσης, ὃν Κικέρων ἀπέκτεινε, τῶν Κατιλίνα συν-

ωμοτῶν γενόμενον. Αὕτη δοκεῖ τῆς ὀφοδρᾶς ἔχθρας Ἀντωνίῳ πρὸς Κικέρωνα πρόφασις καὶ ἀρχὴ γενέσθαι. Φησὶ γοῦν Ἀντώνιος, οὐδὲ τὸν νεκρὸν αὐτοῖς ἀποδοθῆναι τοῦ Λέντλου πρότερον, ἢ τῆς γυναικὸς τοῦ Κικέρωνος τὴν μητέρα δεηθῆναι. Τοῦτο μὲν οὖν ὁμολογουμένως ψεῦδος ἐστίν· οὐδεὶς γὰρ εἴρχθη ταφῆς τῶν τότε κολασθέντων ὑπὸ τοῦ Κικέρωνος. Ἀντωνίῳ δὲ λαμπρῷ καθ' ὥραν γενομένῳ τὴν Κουρίωνος θυγατέρα καὶ συνήθειαν, ὥσπερ τινὰ κῆρα, προσπεσεῖν λέγουσιν, αὐτοῦ τε περὶ τὰς ἡδονὰς ἀπαιδεύτου γενομένου, καὶ τὸν Ἀντώνιον, ὡς μᾶλλον εἴη χειροήθης, εἰς πότους καὶ γύναια καὶ δαπάνας πολυτελεῖς καὶ ἀκολάστους ἐμβαλόντος. Ἐξ ὧν ὄφλημα βαρὺ καὶ παρ' ἡλικίαν αὐτῷ συνήχθη πεντήκοντα καὶ διακοσίων ταλάντων. Τοῦτο πᾶν ἐγγυησαμένου τοῦ Κουρίωνος, ὁ πατὴρ αἰσθόμενος ἐξήλασε τὸν Ἀντώνιον ἐκ τῆς οἰκίας. Ὁ δὲ βραχὺν μέν τινα χρόνον τῇ Κλωδίου τοῦ θρασυτάτου καὶ βδελυρωτάτου τῶν τότε δημαγωγῶν φορᾷ πάντα τὰ πράγματα ταραττούσῃ προσέμιξεν ἑαυτόν· ταχὺ δὲ τῆς μανίας ἐκείνου μεστὸς γενόμενος, καὶ φοβηθεὶς τοὺς συνισταμένους ἐπὶ τὸν Κλώδιον, ἀπῆρεν ἐκ τῆς Ἰταλίας εἰς τὴν Ἑλλάδα, καὶ διέτριβε τό τε σῶμα γυμνάζων πρὸς τοὺς στρατιωτικοὺς ἀγῶνας, καὶ λέγειν μελετῶν· ἐχρῆτο δὲ τῷ καλουμένῳ μὲν Ἀσιανῷ ζήλῳ τῶν λόγων, ἀνθοῦντι μάλιστα κατ' ἐκεῖνον τὸν χρόνον, ἔχοντι δὲ πολλὴν ὁμοιότητα πρὸς τὸν βίον αὐτοῦ, κομπώδη καὶ φρυαγματίαν ὄντα, καὶ πενοῦ γαυριάματος καὶ φιλοτιμίας ἀνωμάλου μεστόν.

III. Ἐπεὶ δὲ Γαβίνιος, ἀνὴρ ὑπατικὸς, εἰς Συρίαν πλέων, ἀνέπεισεν αὐτὸν ὁρμῆσαι πρὸς τὴν στρατείαν, ἰδιώτης μὲν οὐκ ἂν ἔφη συνεξελθεῖν ἀποδειχθεὶς δ' ἱππέων ἄρχων, συνεστράτευε. Καὶ πρῶτον μὲν ἐπ' Ἀριστόβουλον Ἰουδαίους ἀφιστάντα πεμφθεὶς, αὐτὸς μὲν ἐπέβη τοῦ μεγίστου τῶν ἑρυμάτων πρῶτος, ἐκεῖνον δὲ πάντων ἐξήλασεν· εἶτα μάχην συνάψας, καὶ τρεψάμενος ὀλίγοις τοῖς σὺν

αὐτῷ τοὺς ἐκείνου πολλαπλασίους ὄντας, ἀπέκτεινε, πλὴν ὀλίγων, ἅπαντας· αὐτὸς δὲ μετὰ τοῦ παιδὸς Ἀριστόβουλος ἥλω. Μετὰ ταῦτα Γαβίνιον ἐπὶ μυρίοις ταλάντοις Πτολεμαίου πείθοντος, εἰς Αἴγυπτον ἅμα συνεμβάλλειν αὐτῷ, καὶ τὴν βασιλείαν ἀναλαβεῖν, οἱ μὲν πλεῖστοι τῶν ἡγεμόνων ἠναντιοῦντο, καὶ Γαβίνιον δ' ὄκνος τις εἶχε τοῦ πολέμου, καίπερ ἐξηνδραποδισμένον κομιδῆ τοῖς μυρίοις ταλάντοις· Ἀντώνιος δὲ, πράξεων μεγάλων ἐφιέμενος, καὶ τῷ Πτολεμαίῳ χαριζόμενος δεομένῳ, συνέπεισε μὲν καὶ συνεξώρμησεν ἐπὶ τὴν στρατείαν τὸν Γαβίνιον. Ἐπεὶ δὲ τοῦ πολέμου μᾶλλον ἐφοβοῦντο τὴν ἐπὶ τὸ Πηλούσιον ὁδὸν, ἅτε δὴ διὰ ψάμμου βαθείας καὶ ἀνύδρου παρὰ τὸ Ἔκρυγμα καὶ τὰ 917
τῆς Σερβωνίδος ἕλη γινομένης αὐτοῖς τῆς πορείας, ἃ Τυφῶνος μὲν ἐκπνοὰς Αἰγύπτιοι καλοῦσι, τῆς δ' ἐρυθρᾶς θαλάσσης ὑπονόστησις εἶναι δοκεῖ καὶ διήθησις, ᾗ βραχυτάτῳ διορίζεται πρὸς τὴν ἐντὸς θάλασσαν ἰσθμῷ· πεμφθεὶς μετὰ τῶν ἱππέων ὁ Ἀντώνιος, οὐ μόνον τὰ στενὰ κατέσχεν, ἀλλὰ καὶ Πηλούσιον ἑλὼν, πόλιν μεγάλην, καὶ τῶν ἐν αὐτῇ φρουρῶν κρατήσας, ἅμα καὶ τὴν ὁδὸν ἀσφαλῆ τῷ στρατεύματι, καὶ τὴν ἐλπίδα τῆς νίκης ἐποίησε τῷ στρατηγῷ βέβαιον. Ἀπέλαυσαν δὲ τῆς φιλοτιμίας αὐτοῦ καὶ οἱ πολέμιοι. Πτολεμαίου γὰρ, ἅμα τῷ παρελθεῖν εἰς τὸ Πηλούσιον, ὑπ' ὀργῆς καὶ μίσους ὡρμημένου φονεύειν τοὺς Αἰγυπτίους, ἐνέστη καὶ διεκώλυσεν. Ἐν δὲ ταῖς μάχαις καὶ τοῖς ἀγῶσι μεγάλοις καὶ συχνοῖς γενομένοις πολλὰ καὶ τόλμης ἔργα καὶ προνοίας ἡγεμονικῆς ἀποδειξάμενος, ἐμφανέστατα δὲ τῷ κυκλώσασθαι καὶ περιβαλεῖν κατόπιν τοὺς πολεμίους, τὴν νίκην τοῖς κατὰ στόμα παρασχὼν, ἀριστεῖα καὶ τιμὰς ἔλαβε πρεπούσας. Οὐ διέλαθε δὲ τοὺς πολλοὺς οὐδ' ἡ πρὸς Ἀρχέλαον αὐτοῦ τεθνηκότα φιλανθρωπία· γεγονὼς γὰρ αὐτῷ συνήθης καὶ ξένος, ἐπολέμει μὲν ἀναγκαίως ζῶντι, τὸ δὲ σῶμα πεσόντος ἐξευρὼν, καὶ κοσμήσας βασιλικῶς ἐκήδευσεν. Ἐπὶ τούτοις Ἀλεξαν-

ὀρεῦσί τε πλεῖστον αὐτοῦ λόγον κατέλιπε, καὶ Ῥωμαίων τοῖς στρατευομένοις ἀνὴρ ἔδοξε λαμπρότατος εἶναι.

IV. Προσῆν δὲ καὶ μορφῆς ἐλευθέριον ἀξίωμα, καὶ πώγων τις οὐκ ἀγεννὴς, καὶ πλάτος μετώπου, καὶ γρυπότης μυκτῆρος ἔδοκει τοῖς γραφομένοις καὶ πλαττομένοις Ἡρακλέους προσώποις ἐμφερὲς ἔχειν τὸ ἀρρενωπόν. Ἦν δὲ καὶ λόγος παλαιὸς, Ἡρακλείδας εἶναι τοὺς Ἀντωνίους, ἀπ' Ἀντέωνός, παῖδος Ἡρακλέους, γεγονότας. Καὶ τοῦτον ὤετο τὸν λόγον τῇ τε μορφῇ τοῦ σώματος, ὥσπερ εἴρηται, καὶ τῇ στολῇ βεβαιοῦν. Ἀεὶ γὰρ, ὅτε μέλλοι πλεῖσιν ὁρᾶσθαι, χιτῶνα εἰς μηρὸν ἔζωστο, καὶ μάχαιρα μεγάλη παρήρτητο, καὶ σάγος περιέκειτο τῶν στερεῶν. Οὐ μὴν ἀλλὰ καὶ τὰ τοῖς ἄλλοις φορτικὰ δοκοῦντα, μεγαλαυχία, καὶ σκῶμμα, καὶ κώθων ἐμφανὴς, καὶ καθίσαι παρὰ τὸν ἐσθίοντα, καὶ φαγεῖν ἐπισπάντα τραπέζῃ στρατιωτικῇ, θαυμαστὸν ὅσον εὐνοίας καὶ πόθου πρὸς αὐτὸν ἐνεποίει τοῖς στρατιώταις. Ἦν δέ που καὶ τὸ ἐρωτικὸν οὐκ ἀναφρόδιτον, ἀλλὰ καὶ τούτῳ πολλοὺς ἐθημαγώγει, συμπράττων τε τοῖς ἐρῶσι, καὶ σκωπτόμενος οὐκ ἀηδῶς εἰς τοὺς ἰδίους ἔρωτας. Ἡ δ' ἐλευθεριότης, καὶ τὸ μηδὲν ὀλίγῃ χειρὶ, μηδὲ φειδομένῃ, χαρίζεσθαι στρατιώταις καὶ φίλοις, ἀρχήν τε λαμπρὰν ἐπὶ τὴν ἰσχὺν αὐτῷ παρέσχε, καὶ μεγάλου γενομένου τὴν δύναμιν ἐπὶ πλεῖον ἐπῆρεν, ἐν μυρίοις ἄλλοις ἁμαρτημάτων ἀνατρεπομένην. Ἓν δέ τι τοῦ μεγαλοδώρου παράδειγμα δυνήσομαι. Τῶν φίλων τινὶ μυριάδας ἐκέλευσε πέντε καὶ εἴκοσι δοθῆναι· τοῦτο Ῥωμαῖοι δενίες καλοῦσι. Τοῦ δ' ἐπιτρόπου θαυμάσαντος, καὶ ἵνα δείξῃ τὸ πλῆθος αὐτῷ, καταβαλόντος ἐν μέσῳ τὸ ἀργύριον, ἠρώτησε παριὼν, ὅ τι δὴ τοῦτ' εἴη. Τοῦ δ' ἐπιτρόπου φήσαντος, ὡς ὃ κελεύσειε δοθῆναι, συμβαλὼν αὐτοῦ τὴν παρόρθειαν ὁ Ἀντώνιος· Ἐγὼ πλείων, ἔφη, τὸ δενίες εἶναι· τοῦτο δὲ μικρόν ἐστιν· ὥστε ἄλλο πρόσθες αὐτῷ τοσοῦτον.

V. Ταῦτα μὲν οὖν ὕστερον. Ἐπεὶ δὲ τὰ Ῥωμαίων πράγματα διέστη, τῶν μὲν ἀριστοκρατικῶν Πομπηΐῳ παρόντι προσθεμένων, τῶν δὲ δημοτικῶν Καίσαρα παρακαλούντων ἐκ Γαλατίας ἐν τοῖς ὅπλοις ὄντα, Κουρίων, ὁ Ἀντωνίου φίλος, ἐκ μεταβολῆς θεραπεύων τὰ Καίσαρος, Ἀντώνιον προσηγάγετο, καὶ μεγάλην μὲν ἀπὸ τοῦ λέγειν ἐν τοῖς πολλοῖς ἔχων ἰσχύν, χρώμενος δὲ καὶ δαπάναις ἀφειδῶς, ἀφ' ὧν Καῖσαρ ἐχορήγει, δήμαρχον ἀπέδειξε τὸν Ἀντώνιον· εἶτα τῶν ἐπ' οἰωνοῖς ἱερέων, οὓς Αὐγούρας καλοῦσιν. Ὁ δ' εὐθὺς εἰς τὴν ἀρ- 918
χὴν παρελθών, οὐ μικρὸν ἦν ὄφελος τοῖς πολιτευομένοις ὑπὲρ Καίσαρος. Ἀλλὰ πρῶτον μὲν Μαρκέλλου, τοῦ ὑπάτου, Πομπηΐῳ τούς τε συνειλεγμένους ἤδη στρατιώτας παρεγγυῶντος, καὶ καταλέγειν ἑτέρους διδόντος, ἐμπρόσθεν ἔστη, διάταγμα γράψας, ὅπως ἡ μὲν ἠθροισμένη δύναμις εἰς Συρίαν πλέῃ, καὶ Βίβλῳ βοηθῇ πολεμοῦντι Πάρθοις, οὓς δὲ Πομπήϊος καταλέγει, μὴ προσέχωσιν αὐτῷ· δεύτερον, καὶ τὰς Καίσαρος ἐπιστολὰς οὐ προσιεμένων, οὐδ' ἐώντων ἀναγνώσκεσθαι τῶν συγκλητικῶν, αὐτὸς ἰσχύων διὰ τὸ ἄρχειν ἀνέγνω, καὶ πολλοὺς μετέστησε τῇ γνώμῃ, δίκαια καὶ μέτρια Καίσαρος ἀξιοῦν, ἀφ' ὧν ἔγραψε, δόξαντος. Τέλος δὲ, δυοῖν ἐρωτήσεων ἐν τῇ βουλῇ γενομένων, τῆς μὲν, εἰ δοκεῖ Πομπηΐου ἀφεῖναι τὰ στρατεύματα, τῆς δ', εἰ Καίσαρα· καὶ Πομπηΐου μὲν ὀλίγων τὰ ὅπλα καταθέσθαι, Καίσαρα δὲ παρ' ὀλίγους πάντων κελευόντων· ἀναστὰς Ἀντώνιος ἠρώτησεν, εἰ δοκεῖ καὶ Πομπηΐου ὁμοῦ καὶ Καίσαρα τὰ ὅπλα καταθέσθαι καὶ τὰς δυνάμεις ἀφεῖναι. Ταύτην ἐδέξαντο λαμπρῶς τὴν γνώμην ἅπαντες, καὶ μετὰ βοῆς ἐπαινοῦντες τὸν Ἀντώνιον, ἠξίουν ἐπιψηφίζεσθαι. Μὴ βουλομένων δὲ τῶν ὑπάτων, αὖθις ἑτέρας οἱ Καίσαρος φίλοι προὔτειναν ἐπιεικεῖς εἶναι δοκούσας ἀξιώσεις, αἷς ὅ τε Κάτων ἀντέπιπτε, καὶ Λέντλος ὑπατεύων ἐξέβαλε τῆς βουλῆς τὸν Ἀντώνιον. Ὁ δὲ πολλὰ μὲν αὐτοῖς ἐξιὼν ἐπηράσατο,

λαβὼν δὲ θεράποντος ἐσθῆτα, καὶ μισθωσάμενος μετὰ Κασσίου Κοΐντου ζεῦγος, ἐξώρμησε πρὸς Καίσαρα, καὶ κατεβόων εὐθὺς ὀφθέντες, ὡς οὐδένα κόσμον ἔτι τῶν ἐν Ῥώμῃ πραγμάτων ἐχόντων, ὅτε μηδὲ δημάρχοις παῤῥησίας μέτεστιν, ἀλλ' ἐλαύνεται καὶ κινδυνεύει πᾶς ὁ φθεγξάμενος ὑπὲρ τῶν δικαίων.

VI. Ἐκ τούτου λαβὼν τὴν στρατιὰν ὁ Καῖσαρ, εἰς Ἰταλίαν ἐνέβαλε. Διὸ καὶ Κικέρων ἐν τοῖς Φιλιππικοῖς ἔγραψε, τοῦ μὲν Τρωϊκοῦ πολέμου τὴν Ἑλένην, τοῦ δ' ἐμφυλίου τὸν Ἀντώνιον ἀρχὴν γενέσθαι· περιφανῶς ψευδόμενος. Οὐ γὰρ οὕτως εὐχερὴς ἦν, οὐδὲ ῥᾴδιος ὑπ' ὀργῆς ἐκπεσεῖν τῶν λογισμῶν Γάϊος Καῖσαρ, ὥστ', εἰ μὴ ταῦτα πάλαι ἔγνωστο πράττειν, οὕτως ἂν ἐπὶ καιροῦ τὸν κατὰ τῆς πατρίδος ἐξενεγκεῖν πόλεμον, ὅτι φαύλως ἠμφιεσμένον εἶδεν Ἀντώνιον καὶ Κάσσιον ἐπὶ ζεύγους μισθίου πεφευγότας πρὸς αὐτόν· ἀλλὰ ταῦτα πάλαι δεομένῳ προφάσεως σχῆμα καὶ λόγον εὐπρεπῆ τοῦ πολέμου παρέσχεν. Ἦγε δ' αὐτὸν ἐπὶ πάντας ἀνθρώπους, ἃ καὶ πρότερον Ἀλέξανδρον, καὶ πάλαι Κῦρον, ἔρως ἀπαρηγόρητος ἀρχῆς, καὶ περιμανὴς ἐπιθυμία τοῦ πρῶτον εἶναι καὶ μέγιστον· ὧν τυχεῖν οὐκ ἦν, μὴ Πομπηΐου καταλυθέντος. Ὡς δ' οὖν ἐπελθὼν ἐκράτησε τῆς Ῥώμης, καὶ Πομπήϊον ἐξήλασε τῆς Ἰταλίας, καὶ πρὸς τὰς ἐν Ἰβηρίᾳ Πομπηΐου δυνάμεις ἐπιστρέφειν ἔγνω πρότερον, εἶτα οὕτως παρασκευασάμενος στόλον ἐπὶ Πομπήϊον διαβαίνειν, Λεπίδῳ μὲν στρατηγοῦντι τὴν Ῥώμην, Ἀντωνίῳ δὲ δημαρχοῦντι τὰ στρατεύματα καὶ τὴν Ἰταλίαν ἐπέτρεψεν. Ὁ δὲ τοῖς μὲν στρατιώταις εὐθὺς προσφιλὴς ἦν, συγγυμναζόμενος καὶ συνδιαιτώμενος τὰ πολλὰ, καὶ δωρούμενος ἐκ τῶν παρόντων· τοῖς δ' ἄλλοις ἐπαχθής. Καὶ γὰρ ἀδικουμένων ὑπὸ ῥᾳθυμίας ὠλιγωρει, καὶ πρὸς ὀργὴν ἠκροᾶτο τῶν ἐντυγχανόντων, καὶ κακῶς ἐπὶ γυναιξὶν ἀλλοτρίαις ἤκουε. Καὶ ὅλως τὴν Καίσαρος ἀρχὴν, πάντα μᾶλλον,

ἡ τυραννίδα, δι' αὐτὸν ἐκεῖνον φανεῖσαν, οἱ φίλοι διέβαλλον· ὧν Ἀντώνιος, ἀπ' ἐξουσίας μεγίστης ἁμαρτάνειν μέγιστα δόξας, τὴν πλείστην αἰτίαν ἔλαβεν.

VII. Οὐ μὴν ἀλλ' ἐπανελθὼν ὁ Καῖσαρ ἐκ τῆς Ἰβηρίας, τὰ μὲν ἐγκλήματα παρεῖδεν αὐτοῦ· πρὸς δὲ τὸν πόλεμον ὡς ἐνεργῷ καὶ ἀνδρείῳ καὶ ἡγε- 919
μονικῷ χρώμενος, οὐδαμῆ διήμαρτεν. Αὐτὸς μὲν οὖν μετ' ὀλίγων ἀπὸ Βρεντησίου διαπεράσας τὸν Ἰόνιον, ἔπεμψεν ὀπίσω τὰ πλοῖα, Γαβινίῳ καὶ Ἀντωνίῳ τὰς δυνάμεις ἐμβιβάζειν καὶ περαιοῦν κατὰ τάχος εἰς Μακεδονίαν ἐπιστέλλας. Γαβινίου δὲ πρὸς τὸν πλοῦν χαλεπὸν ὄντα χειμῶνος ὥρᾳ καταθειλιάσαντος, καὶ πεζῇ μακρὰν ὁδὸν περιάγοντος τὸν στρατὸν, Ἀντώνιος ὑπὲρ Καίσαρος ἐν πολλοῖς ἀπειλημμένου πολεμίοις φοβηθεὶς, Λίβυνα μὲν ἐφορμοῦντα τῷ στόματι τοῦ λιμένος ἀπεπρούσατο, πολλὰ τῶν λεπτῶν ἀκατίων ταῖς τριήρεσιν αὐτοῦ περιστήσας· ἐμβιβάσας δὲ ταῖς ναυσὶν ἱππεῖς ὀκτακοσίους καὶ δισμυρίους ὁπλίτας, ἀνήχθη. Καὶ γενόμενος καταφανὴς τοῖς πολεμίοις καὶ διωκόμενος, τὸν μὲν ἐκ τούτων κίνδυνον διέφυγε, λαμπροῦ νότου πῦμα μέγα καὶ πολίην θάλατταν ταῖς τριήρεσιν αὐτῶν περιστήσαντος· ἐκφερόμενος δὲ ταῖς ναυσὶ πρὸς ἀρημενοὺς καὶ φάραγγας ἀγχιβαθεῖς, σὺν μίαν ἐλπίδα σωτηρίας εἶχεν. Ἄφνω δὲ τοῦ κόλπου πολὺν ἐκπνεύσαντος λίβα, καὶ τοῦ κλύδωνος ἀπὸ τῆς γῆς εἰς τὸ πέλαγος διαχεομένου, μεταβαλλόμενος ἀπὸ τῆς γῆς, καὶ πλέων σοβαρῶς, ὁρᾷ ναυαγίων περίπλεων τὸν αἰγιαλόν. Ἐνταῦθα γὰρ ἐξέβαλε τὸ πνεῦμα τὰς διωκούσας αὐτὸν τριήρεις, καὶ διεφθάρησαν οὐκ ὀλίγαι· καὶ σωμάτων πολλῶν καὶ χρημάτων ἐκράτησεν Ἀντώνιος· καὶ Λίσσον εἷλε, καὶ μέγα Καίσαρι παρέσχε θάρσος, ἐν καιρῷ μετὰ τηλικαύτης ἀφικόμενος δυνάμεως.

VIII. Πολλῶν δὲ γινομένων καὶ συνεχῶν ἀγώνων, ἐν πᾶσι μὲν ἦν διαπρεπὴς· ὡς δὲ φεύγοντας προτροπάδην τοὺς Καίσαρος ἀπαντήσας ἀνέστρεψε,

καὶ στῆναι καὶ συμβαλεῖν αὖθις τοῖς διώκουσιν ἀναπήδας, ἐνίκησεν. Ἦν οὖν αὐτοῦ μετὰ Καίσαρα πλεῖστος ἐν τῷ στρατοπέδῳ λόγος. Ἐδήλωσε δὲ Καῖσαρ, ἣν ἔχοι περὶ αὐτοῦ δόξαν. Ἐπεὶ γὰρ ἔμελλε τὴν τελευταίαν καὶ τὰ ὅλα κρίνασαν ἐν Φαρσάλῳ μάχην μάχεσθαι, τὸ μὲν δεξιὸν αὐτὸς εἶχε πέρας, τοῦ δ' εὐωνύμου τὴν ἡγεμονίαν Ἀντωνίῳ παρέδωκεν, ὡς πολεμικωτάτῳ τῶν ὑφ' ἑαυτῷ. Μετὰ δὲ τὴν νίκην δικτάτωρ ἀναγορευθεὶς, αὐτὸς μὲν ἐδίωκε Πομπηΐου, Ἀντώνιον δὲ ἱππαρχον ἑλόμενος εἰς Ῥώμην ἔπεμψεν. Ἔστι δ' ἡ ἀρχὴ δευτέρα, τοῦ δικτάτωρος παρόντος· ἂν δὲ μὴ παρῇ, πρώτη καὶ μόνη σχεδόν. Ἡ γὰρ δημαρχία διαμένει, τὰς δ' ἄλλας καταλύουσι πάσας, δικτάτωρος αἱρεθέντος.

IX. Οὐ μὴν ἀλλὰ τότε δημαρχῶν Δολοβέλλας, νέος ἀνὴρ καὶ νέων πραγμάτων ὀρεγόμενος, εἰσηγεῖτο χρεῶν ἀποκοπὰς, καὶ τὸν Ἀντώνιον, αὐτῷ τε φίλον ὄντα, καὶ βουλόμενον ἀεὶ τοῖς πολλοῖς ἀρέσκειν, ἔπεισε συμπράττειν καὶ κοινωνεῖν τοῦ πολιτεύματος. Ἀσινίου δὲ καὶ Τρεβελλίου τἀναντία παρακαλούντων, ὑπόνοια δεινὴ κατὰ τύχην τῷ Ἀντωνίῳ προσέπεσεν, ὡς ἀδικουμένῳ περὶ τὸν γάμον ὑπὸ τοῦ Δολοβέλλα. Καὶ τὸ πρᾶγμα βαρέως ἐνεγκὼν, τήν τε γυναῖκα τῆς οἰκίας ἐξήλασεν, ἀνεψιὰν οὖσαν αὐτοῦ· θυγάτηρ γὰρ ἦν Γαΐου Ἀντωνίου, τοῦ Κικέρωνι συνυπατεύσαντος· καὶ τοὺς περὶ Ἀσίνιον δεξάμενος ἐπολέμει τῷ Δολοβέλλᾳ. Κατέλαβε γὰρ τὴν ἀγορὰν ἐκεῖνος, ὡς βίᾳ κυρώσων τὸν νόμον. Ἀντώνιος δὲ, καὶ τῆς βουλῆς ψηφισαμένης, ὅπλων δεῖν ἐπὶ τὸν Δολοβέλλαν, ἐπελθὼν, καὶ μάχην συνάψας, ἀπέκτεινέ τε τινας τῶν ἐκείνου, καὶ τῶν ἰδίων ἀπέβαλε. Τοῖς μὲν οὖν πολλοῖς ἐκ τούτων ἀπηχθάνετο. Τοῖς δὲ χρηστοῖς καὶ σώφροσι διὰ τὸν ἄλλον βίον οὐκ ἦν ἀρεστὸς, ὡς Κικέρων φησὶν, ἀλλ' ἐμισεῖτο, βδελυττομένων αὐτοῦ μέθας ἀώρους, καὶ δαπάνας ἐπαχθεῖς, καὶ
920 πυλινδήσεις ἐν γυναίοις· καὶ μεθ' ἡμέραν μὲν

ὕπνους καὶ περιπάτους ἀλύοντος καὶ ἀραιπαλῶντος, νύκτωρ δὲ κώμους, καὶ θέατρα, καὶ διατριβὰς ἐν γάμοις μίμων καὶ γελωποιῶν. Λέγεται γοῦν, ὡς ἐν Ἱππίου ποτὲ, τοῦ μίμου, γάμοις ἑστιαθεὶς, καὶ πιὼν διὰ νυκτὸς, εἶτα πρωῒ τοῦ δήμου καλοῦντος εἰς ἀγορὰν, προελθὼν ἔτι τροφῆς μεστὸς ἐμέσειε, τῶν φίλων τινὸς ὑποσχόντος τὸ ἱμάτιον. Ἦν δὲ καὶ Σέργιος, ὁ μῖμος, τῶν μέγιστον παρ' αὐτῷ δυναμένων, καὶ Κύθηρις, ἀπὸ τῆς αὐτῆς παλαίστρας γύναιον, ἀγαπώμενον· ὃ δὲ, καὶ τὰς πόλεις ἐπιὼν, ἐν φορείῳ περιήγετο, καὶ τὸ φορεῖον οὐκ ἐλάττους, ἢ τὸ τῆς μητρὸς αὐτοῦ, περιέποντες ἠκολούθουν. Ἐλύπουν δὲ καὶ χρυσῶν ἐκπωμάτων ὥσπερ ἐν πομπαῖς ταῖς ἀποδημίαις διαφερομένων ὕψεις, καὶ στάσεις ἐνόδιοι σκηνῶν, καὶ πρὸς ἅλσεσι καὶ ποταμοῖς ἀρίστων πολυτελῶν διαθέσεις, καὶ λέοντες ἅρμασιν ὑπεζευγμένοι, καὶ σωφρόνων ἀνδρῶν καὶ γυναικῶν οἰκίαι χαμαιτύπαις καὶ σαμβυκιστρίαις ἐπισταθμευόμεναι. Δεινὸν γὰρ ἐποιοῦντο, Καίσαρα μὲν αὐτὸν ἔξω τῆς Ἰταλίας θυραυλεῖν, τὰ περιόντα τοῦ μεγάλου πολέμου μεγάλοις πόνοις καὶ κινδύνοις ἀνακαθαιρόμενον, ἑτέρους δὲ δι' ἐκεῖνον τρυφᾶν τοῖς πολίταις ἐνυβρίζοντας.

X. Ταῦτα καὶ τὴν στάσιν αὐξῆσαι δοκεῖ, καὶ τὸ στρατιωτικὸν εἰς ὕβρεις δεινὰς καὶ πλεονεξίας ἀνεῖναι. Διὸ καὶ Καίσαρ ἐπανελθὼν Δολοβέλλᾳ τε συγγνώμην ἔδωκε, καὶ τὸ τρίτον αἱρεθεὶς ὕπατος, οὐκ Ἀντώνιον, ἀλλὰ Λέπιδον, εἵλετο συνάρχοντα. Τὴν δὲ Πομπηΐου πωλουμένην οἰκίαν ὠνήσατο μὲν Ἀντώνιος, ἀπαιτούμενος δὲ τὴν τιμὴν ἠγανάκτει· καὶ φησιν αὐτὸς, διὰ τοῦτο μὴ μετασχεῖν Καίσαρι τῆς εἰς Λιβύην στρατείας, ἐπὶ τοῖς προτέροις κατορθώμασι μὴ τυχὼν ἀμοιβῆς. Ἔοικε μέντοι τὸ πολὺ τῆς ἀβελτερίας αὐτοῦ καὶ ἀσωτείας ἀφελεῖν ὁ Καῖσαρ, οὐκ ἀναισθήτως τὰ πλημμελήματα δεξάμενος. Ἀπαλλαγεὶς γὰρ ἐκείνου τοῦ βίου, γάμῳ προσέσχε, Φουλβίαν ἀγαγόμενος, τὴν Κλωδίῳ, τῷ δημαγωγῷ, συνοικήσασαν, οὐ παλαισίαν, οὐδ' οἰκουρίαν φρο-

γοῦν γύναιον, οὐδ' ἀνδρὸς ἰδιώτου κρατεῖν ἀξιοῦν, ἀλλ' ἄρχοντος ἄρχειν, καὶ στρατηγοῦντος στρατηγεῖν βουλόμενον· ὥστε Κλεοπάτραν διδασκάλια Φουλβίᾳ τῆς Ἀντωνίου γυναικοκρασίας ὀφείλειν, πάνυ χειροήθη καὶ πεπαιδαγωγημένον ἀπ' ἀρχῆς ἀκροᾶσθαι γυναικῶν παραλαβοῦσαν αὐτόν. Οὐ μὴν ἀλλὰ κἀκείνην ἐπειρᾶτο προσπαίζων καὶ μειρακιευόμενος ἱλαρωτέραν ποιεῖν ὁ Ἀντώνιος· οἷον ὅτε, Καίσαρι πολλῶν ἀπαντώντων μετὰ τὴν ἐν Ἰβηρίᾳ νίκην, καὶ αὐτὸς ἐξῆλθεν· εἶτ' ἄφνω φήμης εἰς τὴν Ἰταλίαν ἐμπεσούσης, ὡς ἐπίασιν οἱ πολέμιοι, Καίσαρος τεθνηκότος, ἀνέστρεψεν εἰς Ῥώμην. Λαβὼν δὲ θεράποντος ἐσθῆτα, νύκτωρ ἐπὶ τὴν οἰκίαν ἦλθε, καὶ φήσας, ἐπιστολὴν Φουλβίᾳ παρ' Ἀντωνίου κομίζειν, εἰσήχθη πρὸς αὐτὴν ἐγκεκαλυμμένος. Εἶτα ἡ μὲν ἐκπαθὴς οὖσα, πρὶν ἢ τὰ γράμματα λαβεῖν, ἠρώτησεν, εἰ ζῇ ὁ Ἀντώνιος· ὁ δὲ τὴν ἐπιστολὴν σιωπῇ προτείνας, ἀρξαμένην λύειν καὶ ἀναγινώσκειν περιβαλὼν κατεφίλησε. Ταῦτα μὲν οὖν ὀλίγα, πολλῶν ὄντων, ἕνεκεν δείγματος ἐξενηνόχαμεν.

XI. Ἐκ δ' Ἰβηρίας ἐπανιόντι Καίσαρι πάντες μὲν οἱ πρῶτοι πολλῶν ἡμερῶν ὁδὸν ἀπήντων· ἐτιμήθη δ' Ἀντώνιος ἐκπρεπῶς ὑπ' αὐτοῦ. Κομιζόμενος γὰρ ἐπὶ ζεύγους διὰ τῆς Ἰταλίας Ἀντώνιον εἶχε μεθ' ἑαυτοῦ συνοχούμενον, ὄπισθεν δὲ Βροῦτον Ἀλβῖνον, καὶ τὸν τῆς ἀδελφιδῆς υἱὸν, Ὀκταουϊανὸν, ὃς μετὰ ταῦτα Καῖσαρ ὠνομάσθη, καὶ
921 Ῥωμαίων ἦρξε πλεῖστον χρόνον. Ἐπεὶ δὲ τὸ πέμπτον ἀπεδείχθη Καῖσαρ ὕπατος, προσείλετο μὲν εὐθὺς συνάρχοντα τὸν Ἀντώνιον, ἐβούλετο δὲ τὴν ἀρχὴν ἀπειπάμενος Δολοβέλλᾳ παρεγγυῆσαι· καὶ τοῦτο πρὸς τὴν σύγκλητον ἐξήνεγκεν. Ἀντωνίου δὲ τραχέως ἀντιπεσόντος, καὶ πολλὰ μὲν εἰπόντος κακὰ Δολοβέλλαν, οὐκ ἐλάττονα δ' ἀκούσαντος, τότε μὲν αἰσχυνθεὶς τὴν ἀκοσμίαν ὁ Καῖσαρ ἀπηλλάγη. Μετὰ δὲ ταῦτα προελθὼν ἀναγορεῦσαι Δολοβέλλαν, Ἀντωνίου δὲ τοὺς οἰωνοὺς ἐναντιοῦσθαι

βούλητος, εἶξε καὶ προήκατο Δολοβέλλαν ἀχθόμενον. Ἐδόκει δὲ κἀκεῖνον οὐδὲν ἧττον τοῦ Ἀντωνίου βδελύττεσθαι. Λέγεται γάρ, ὡς, ἀμφοτέρους τινὸς ὁμοῦ διαβάλλοντος πρὸς αὐτὸν, εἰπεῖ, μὴ δεδιέναι τοὺς παχεῖς τούτους καὶ κομήτας, ἀλλὰ τοὺς ὠχροὺς καὶ λεπτοὺς ἐκείνους, Βροῦτον καὶ Κάσσιον ἀποδεικνύμενος, ὑφ' ὧν ἔμελλεν ἐπιβουλεύθεὶς ἀνελεῖσθαι.

XII. Κἀκείνοις δὲ τὴν εὐπρεπεστάτην πρόφασιν ἄπων παρέσχεν Ἀντώνιος. Ἦν μὲν γὰρ ἡ τῶν Λυκαίων ἑορτὴ Ῥωμαίοις, ἣν Λουπερκάλια καλοῦσι· Καῖσαρ δὲ πεκοσμημένος ἐσθῆτι θριαμβικῇ, καὶ καθήμενος ὑπὲρ βήματος ἐν ἀγορᾷ, τοὺς διαθέοντας ὠθίζετο· διαθέουσι δὲ τῶν εὐγενῶν νέοι πολλοὶ, καὶ τῶν ἀρχόντων, ἀληλειμμένοι λίπα σπουδῇ λασίοις καθιππούμενοι μετὰ παιδιᾶς τῶν ἐντυγχανόντων. Ἐν τούτοις ὁ Ἀντώνιος διαθέων τὰ μὲν πάτρια χαίρειν εἴασε, διάδημα δὲ δάφνης στεφάνῳ περιλίξας, προσέδραμε τῷ βήματι, καὶ συνεξαρθεὶς ὑπὸ τῶν συνθεόντων, ἐπέθηκε τῇ κεφαλῇ τοῦ Καίσαρος, ὡς δὴ βασιλεύειν αὐτῷ προσῆκον. Ἐκείνου δὲ ἀρνουμένου καὶ διακλίνοντος, ἠσθεὶς ὁ δῆμος ἀνεκρότησε· καὶ πάλιν ὁ Ἀντώνιος ἐπῆγε, καὶ πάλιν ἐκεῖνος ἀπεστρέβετο. Καὶ πολὺν χρόνον οὕτω διαμαχομένων, Ἀντωνίῳ μὲν ὀλίγοι τῶν φίλων βιαζομένῳ, Καίσαρι δ' ἀρνουμένῳ πᾶς ὁ δῆμος ἐπεπρότει μετὰ βοῆς· ὃ καὶ θαυμαστὸν ἦν, ὅτι τοῖς ἔργοις τὰ τῶν βασιλευόντων ὑπομένοντες, τοὔνομα τοῦ βασιλέως, ὡς κατάλυσιν τῆς ἐλευθερίας, ἔφευγον. Ἀνέστη μὲν οὖν ὁ Καῖσαρ ἀχθεσθεὶς ἀπὸ τοῦ βήματος, καὶ τὸ διάδημα ἀπάγων ἀπὸ τοῦ τραχήλου, τῷ βουλομένῳ παρέχειν τὴν σφαγὴν ἐβόα. Τὸν δὲ στέφανον ἐνί τῶν ἀνδριάντων αὐτοῦ περιτεθέντα δήμαρχοί τινες κατέσπασαν, οὓς ὁ δῆμος εὐφημῶν μετὰ πρόνου παρέπεμπε, Καίσαρ δὲ τῆς ἀρχῆς ἀπέστησεν.

XIII. Ταῦτα τοὺς περὶ Βροῦτον καὶ Κάσσιον ἐπέρρωσε καὶ τῶν φίλων τοὺς πιστοὺς παρελέγον-

τας ἐπὶ τὴν πρᾶξιν, ἐσκέπτοντο περὶ Ἀντωνίου. Τῶν δ' ἄλλων προσιεμένων τὸν ἄνδρα, Τρεβώνιος ἀντεῖπεν· ἔφη γὰρ, ὑφ' ὧν χρόνον ἀπήντων ἐξ Ἰβηρίας ἐπανιόντι Καίσαρι, τοῦ Ἀντωνίου συσκηνοῦντος αὐτῷ καὶ συνοδεύοντος, ἅψασθαι τῆς γνώμης ἀτρέμα πως, καὶ μετ' εὐλαβείας· τὸν δὲ νοῆσαι μὲν, οὐ δέξασθαι δὲ τὴν πεῖραν, οὐ μὴν οὐδὲ πρὸς Καίσαρα κατειπεῖν, ἀλλὰ πιστῶς κατασιωπῆσαι τὸν λόγον. Ἐκ τούτου πάλιν ἐβουλεύοντο Καίσαρα κτείναντες ἐπισφάττειν Ἀντώνιον· ἐκώλυσε δὲ Βροῦτος, ἀξιῶν τὴν ὑπὲρ τῶν νόμων καὶ τῶν δικαίων τολμωμένην πρᾶξιν εἰλικρινῆ καὶ καθαρὰν ἀδικίας εἶναι. Φοβούμενοι δὲ τὴν τε ῥώμην τοῦ Ἀντωνίου καὶ τὸ τῆς ἀρχῆς ἀξίωμα, τάττουσιν ἐπ' αὐτὸν ἑνίους τῶν ἐκ τῆς συνωμοσίας, ὅπως, ὅταν εἰσίῃ Καῖσαρ εἰς τὴν βουλὴν, καὶ μέλλῃ δρᾶσθαι τὰ ἔργα, ἔξω διαλεγόμενοί τι καὶ σπουδάζοντες κατέχωσιν αὐτόν.

XIV. Τούτων δὲ πραττομένων, ὡς συνετέθη, καὶ πεσόντος ἐν τῇ βουλῇ τοῦ Καίσαρος, εὐθὺς μὲν ὁ Ἀντώνιος, ἐσθῆτα θεράποντος μεταλαβὼν, ἔκρυψεν αὐτόν. Ὡς δ' ἔγνω τοὺς ἄνδρας ἐπιχειροῦντας μὲν οὐδενὶ, συνηθροισμένους δ' εἰς τὸ Καπετώλιον, ἔπεισε καταβῆναι, λαβόντας ὅμηρον παρ' αὐτοῦ τὸν υἱὸν καὶ Κάσσιον μὲν αὐτὸς ἐδείπνισε, 922 Βροῦτον δὲ Λέπιδος. Συναγαγὼν δὲ βουλὴν, αὐτὸς μὲν ὑπὲρ ἀμνηστίας εἶπε καὶ διανομῆς ἐπαρχιῶν τοῖς περὶ Κάσσιον καὶ Βροῦτον· ἡ δὲ σύγκλητος ἐκύρωσε ταῦτα, καὶ τῶν ὑπὸ Καίσαρος γεγονότων ἐψηφίσατο μηδὲν ἀλλάττειν. Ἐξῆμε δὲ τῆς βουλῆς λαμπράτατος ἀνθρώπων ὁ Ἀντώνιος, ἀνῃρηκέναι δοκῶν ἐμφύλιον πόλεμον, καὶ πράγματα δυσκολίας ἔχουσι καὶ ταραχὰς οὐ τὰς τυχούσας ἐμφρονέστατα μεχρῆσθαι καὶ πολιτικώτατα. Τούτων μέντοι ταχὺ τῶν λογισμῶν ἐξέπεσεν αὐτὸν ἡ παρὰ τῶν ὄχλων δόξα, πρῶτον ἐκπίσαντα βεβαίως ἔσεσθαι, Βρούτου καταλυθέντος. Ἔτυχε μὲν οὖν ἐκπομπεύοντος Καίσαρος, ὥσπερ ἔθος ἦν, ἐν ἀγορᾷ

διεξιὼν ἐγκώμιον· ὁρῶν δὲ τὸν δῆμον ὑπερφυῶς ἀγόμενον καὶ κηλούμενον, ἐπέμιξε τοῖς ἐπαίνοις οἶκτον ἅμα καὶ δείνωσιν ἐπὶ τῷ πάθει· καὶ τῶν λόγων τελευτῶν, τούς τε χιτωνίσκους τοῦ τεθνηκότος ἡμαγμένους καὶ διακεκομμένους τοῖς ξίφεσιν ἀνασείων, καὶ τοὺς εἰργασμένους ταῦτα καλῶν παλαμναίους καὶ ἀνδροφόνους, τοσοῦτον ὀργῆς ἐνέβαλε τοῖς ἀνθρώποις, ὥστε τὸ μὲν σῶμα τοῦ Καίσαρος ἐν ἀγορᾷ καθαγίσαι, συνενεγκαμένους τὰ βάθρα καὶ τὰς τραπέζας, ἁρπάζοντας δὲ τοὺς ἀπὸ τῆς πυρᾶς δαλοὺς, ἐπὶ τὰς οἰκίας θεῖν τῶν ἀπεκτονότων, καὶ προσμάχεσθαι.

XV. Διὰ ταῦτα τῶν περὶ Βροῦτον ἐκ τῆς πόλεως ἀπελθόντων, οἵ τε φίλοι τοῦ Καίσαρος συνίσταντο πρὸς τὸν Ἀντώνιον, ἥ τε γυνὴ Καλπουρνία, πιστεύσασα τῶν χρημάτων τὰ πλεῖστα κατέθετο πρὸς αὐτὸν ἐκ τῆς οἰκίας, εἰς λόγων τὰ σύμπαντα τετρακισχιλίων ταλάντων. Ἔλαβε δὲ καὶ τὰ βιβλία τοῦ Καίσαρος, ἐν οἷς ὑπομνήματα τῶν πεπραγμένων καὶ δεδογμένων ἦν ἀναγεγραμμένα· καὶ τούτοις παρεγγράφων, οὓς ἐβούλετο, πολλοὺς μὲν ἄρχοντας ἀπεδείκνυε, πολλοὺς δὲ βουλευτὰς, ἐνίους δὲ καὶ κατῆγε πεφυγαδευμένους, καὶ καθειργμένους ἔλυεν, ὡς δὴ ταῦτα τῷ Καίσαρι δόξαντα. Διὸ τούτους ἅπαντας ἐπισκώπτοντες οἱ Ῥωμαῖοι Χαρωνίτας ἐκάλουν. Ἐλεγχόμενοι γὰρ εἰς τοὺς τοῦ νεκροῦ κατέφευγον ὑπομνηματισμούς. Καὶ τἆλλα δ' ἔπραττεν αὐτοκρατορικῶς ὁ Ἀντώνιος, αὐτὸς μὲν ὑπατεύων, τοὺς δ' ἀδελφοὺς ἔχων συνάρχοντας, Γάϊον μὲν στρατηγὸν, Λεύκιον δὲ δήμαρχον.

XVI. Ἐνταῦθα δὲ τῶν πραγμάτων ὄντων, ὁ νέος ἀφικνεῖται Καῖσαρ εἰς Ῥώμην, ἀδελφιδῆς μὲν ὢν τοῦ τεθνηκότος υἱὸς, ὡς εἴρηται, κληρονόμος δὲ τῆς οὐσίας ἀπολελειμμένος· ἐν Ἀπολλωνίᾳ δὲ διατρίβων, ὑφ' ὃν χρόνον ἀνῃρεῖτο Καῖσαρ. Οὗτος εὐθὺς Ἀντώνιον, ὡς δὴ πατρῷον φίλον, ἀσπασά-

μενος, τῶν παρακαταθηκῶν ἐμέμνητο. Καὶ γὰρ ὤφειλε Ῥωμαίων ἑκάστῳ δραχμὰς ἑβδομήκοντα πέντε δοῦναι, Καίσαρος ἐν ταῖς διαθήκαις γράψαντος. Ἀντώνιος δὲ, τὸ μὲν πρῶτον ὡς μειρακιεύμενον καταφρονῶν, ἔλεγεν, οὐχ ὑγιαίνειν αὐτὸν, ἀλλὰ καὶ φρενῶν ἀγαθῶν καὶ φίλων ἄρτιον ὄντα, φορτίον ἀβάστακτον αἱρεῖσθαι τὴν Καίσαρος διαδοχήν. Μὴ πεισθέντα δὲ τούτοις, ἀλλ' ἀπαιτοῦντος καὶ χρήματα, πολλὰ καὶ λέγων πρὸς ὕβριν αὐτοῦ καὶ πράττων διεξέλεγε. Δημαρχίαν τε γὰρ ἐνέστη μετιόντι, καὶ δίφρον χρυσοῦν τοῦ πατρὸς, ὥσπερ ἐψηφίσατο, θέντος, ἐτέλεσεν εἰς φυλακὴν ἀπάξειν, εἰ μὴ παύσαιτο δημαγωγῶν. Ἐπεὶ μέντοι Κικέρωνα δοὺς ἑαυτὸν ὁ πανίας, καὶ τοῖς ἄλλοις, ὅσοι τὸν Ἀντώνιον ἐμίσουν, διὰ ἐκείνων μὲν ᾠκειοῦτο τῇ βουλῇ, αὐτὸς δὲ τὸν δῆμον ἀνελάμβανε, καὶ τοὺς στρατιώτας ἀπὸ τῶν κατοικιῶν συνῆγε, δείσας ὁ Ἀντώνιος εἰς λόγους αὐτῷ συνῆλθεν ἐν Καπιτωλίῳ, καὶ διηλλάγησαν. Εἶτα κοιμωμένου ἐκείνης τῆς νυκτὸς ὄψιν εἶδεν ἄτοπον ὁ Ἀντώνιος. Ἐδόκει γὰρ αὐτοῦ τὴν δεξιὰν χεῖρα βαλλόμενα κεραυνῷ. Καὶ μεθ' ἡμέρας ὀλίγας ἐκπέπτωκε λόγος, ὡς ἐπιβουλεύοι Καίσαρ αὐτῷ. Καίσαρ δ' ἀπελο-
92 γεῖτο μὲν, οὐκ ἔπειθε δέ· καὶ πάλιν ἦν ἐνεργὸς ἡ ἔχθρα, καὶ περιθέοντες ἀμφότεροι τὴν Ἰταλίαν, τὸ μὲν ἱδρυμένον ἐν ταῖς κατοικίαις ἤδη τοῦ στρατιωτικοῦ μεγάλοις ἐπαίρασαν μισθοῖς, τὸ δ' ἐν ὅπλοις ἔτι τεταγμένον, ὑποφθάνοντες ἀλλήλους, προσηγοντο.

XVII. Τῶν δ' ἐκ τῆς πόλεως Κικέρων μέγιστον δυνάμενος, καὶ παροξύνων ἐπὶ τὸν Ἀντώνιον ἅπαντας ἀνθρώπους, τέλος ἔπεισε τὴν βουλὴν, ἐκεῖνον μὲν πολέμιον ψηφίσασθαι, Καίσαρι δὲ ῥαβδουχίαν πέμψαι, καὶ στρατηγικὰ κόσμια, Πάνσαν δὲ καὶ Ἵρτιον ἀποστεῖλαι, ἐξελῶντας Ἀντώνιον τῆς Ἰταλίας. Οὗτοι δ' ἦσαν ὕπατοι τότε, καὶ συμβαλόντες Ἀντωνίῳ περὶ πόλιν Μυτίνην, Καίσαρος παρόντος καὶ συμμαχομένου, τοὺς μὲν πολεμίους

ἐνίκων, αὐτοὶ δ' ἀπέθανον. Φεύγοντι δ' Ἀντωνίῳ πολλὰ συνέπιπτε τῶν ἀπόρων· ὁ δὲ λιμὸς ἀποροώτατον. Ἀλλὰ φύσει παρὰ τὰς κακοπραγίας ἐγένετο βέλτιστος ἑαυτοῦ, καὶ δυστυχῶν ὁμοιότατος ἦν ἀγαθῷ· κοινοῦ μὲν ὄντος τοῦ αἰσθάνεσθαι τῆς ἀρετῆς τοῖς δὲ ἀπορίαν τινὰ σφαλλομένοις, οὐ μὴν ἅπαντων, ἃ ζηλοῦσι, μιμεῖσθαι, καὶ φεύγειν, ἃ δυσχεραίνουσιν, ἐρρωμένων ἐν ταῖς μεταβολαῖς· ἀλλὰ καὶ μᾶλλον ἐνίων τοῖς ἔθεσιν ἐνδιδόντων ὑπ' ἀσθενείας καὶ θραυομένων τὸν λογισμόν. Ὁ δ' οὖν Ἀντώνιος τότε θαυμαστὸν ἦν παράδειγμα τοῖς στρατιώταις, ἀπὸ τρυφῆς τοσαύτης καὶ πολυτελείας ὕδωρ τε πίνων διεφθαρμένον εὐκόλως, καὶ καφηοὺς ἀγρίους καὶ ῥίζας προσφερόμενος. Ἐβρώθη δὲ καὶ φλοιός, ὡς λέγεται, καὶ ζώων ἀγεύστων πρότερον ἥψαντο, τὰς Ἄλπεις ὑπερβάλλοντες.

XVIII. Ἦν δ' ὁρμὴ τοῖς ἐπὶ πεύσει στρατεύμασιν ἐντυχεῖν, ὧν Λέπιδος ἦρχε, φίλος εἶναι δοκῶν Ἀντωνίου, καὶ πολλὰ τῆς Καίσαρος φιλίας ἀπολελαυκέναι δι' αὐτόν. Ἐλθὼν δὲ καὶ στρατοπεδεύσας πλησίον, ὡς οὐθὲν ἀπήντα φιλάνθρωπον, ἔγνω παραβάλλεσθαι. Καὶ κώμη μὲν ἀνημελής, καὶ βαθὺς πώγων μετὰ τὴν ἥτταν εὐθὺς ἦν αὐτῷ καθειμένος· λαβὼν δὲ φαιὸν ἱμάτιον, ἐγγὺς προσῆγε τῷ χάρακι τοῦ Λεπίδου, καὶ λέγειν ἤρξατο. Πολλῶν δὲ καὶ πρὸς τὴν ὄψιν ἐπικλωμένων καὶ τοῖς λόγοις ἀγομένων, δείσας ὁ Λέπιδος, τὰς σάλπιγγας ἐκέλευε συνηχούσας ἀφαιρεῖσθαι τὸ κατακούεσθαι τὸν Ἀντώνιον. Οἱ δὲ στρατιῶται μᾶλλον ᾤκτειρον καὶ διελέγοντο κρύφα, Λαίλιον καὶ Κλώδιον ἀποστείλαντες πρὸς αὐτὸν, ἐσθῆτας λαβόντας ἑταιρευομένων γυναικῶν, οἳ τὸν Ἀντώνιον ἐκέλευον ἐπιχειρεῖν θαῤῥοῦντα τῷ χάρακι· πολλοὺς γὰρ εἶναι δεξομένους, καὶ τὸν Λέπιδον, εἰ βούλοιτο, πτερνοῦντας. Ἀντώνιος δὲ Λεπίδου μὲν οὐκ εἴασεν ἅψασθαι, μεθ' ἡμέρας δὲ, τὸν στρατὸν ἔχων, ἀπεπειρᾶτο τοῦ ποταμοῦ. Καὶ πρῶτος αὐτὸς ἐμβὰς

ἐπορεύετο πρὸς τὴν ἀντιπέρας ὄχθην, ὁρῶν ἤδη πολλοὺς τῶν Λεπίδου στρατιωτῶν τὰς τε χεῖρας ὀρέγοντας αὐτῷ καὶ τὸν χάρακα διασπῶντας. Εἰσελθὼν δὲ καὶ κρατήσας ἁπάντων, ἡμερώτατα Λεπίδῳ προσηνέχθη. Πατέρα γὰρ προσηγόρευσεν αὐτὸν ἀσπασάμενος· καὶ τῷ μὲν ἔργῳ πάντων αὐτὸς ἦν κύριος, ἐκείνῳ δ' ὄνομα καὶ τιμὴν αὐτοκράτορος διετέλει φυλάττων. Τοῦτο καὶ Πλάγκον αὐτῷ Μουνάτιον ἐποίησε προσθέσθαι, καθήμενον οὐ πρόσω μετὰ συχνῆς δυνάμεως. Οὕτω δὲ μέγας ἀρθεὶς, αὖθις ὑπερέβαλε τὰς Ἄλπεις εἰς τὴν Ἰταλίαν, ἄγων ἑπτακαίδεκα τέλη πεζῶν σὺν αὐτῷ, καὶ μυρίους ἱππεῖς· χωρὶς δὲ, φρουρὰν Γαλατίας, ἓξ τέγματα ἐλελοίπει μετὰ Οὐαρίου τινὸς τῶν συνήθων καὶ συμποτῶν, ὃν Κοτύλωνα προσηγόρευον.

XIX. Καῖσαρ δὲ Κικέρωνι μὲν οὐκέτι προσεῖχε, 924 τῆς ἐλευθερίας ὀρῶν περιεχόμενον, Ἀντωνίου δὲ προὐκαλεῖτο διὰ τῶν φίλων εἰς διαλύσεις. Καὶ συνελθόντες οἱ τρεῖς εἰς νησίδα ποταμῷ περιῤῥεομένην, ἐπὶ τρεῖς ἡμέρας συνήδρευσαν. Καὶ τἆλλα μὲν ἐπιεικῶς ὡμολογεῖτο, καὶ διενείμαντο τὴν σύμπασαν ἀρχὴν, ὥσπερ οὐσίαν πατρῴαν, ἐν ἀλλήλοις. Ἡ δὲ περὶ τῶν ἀπολουμένων ἀνδρῶν ἀμφισβήτησις αὐτοῖς πλεῖστα πράγματα παρέσχε, τοὺς μὲν ἐχθροὺς ἀνελεῖν ἑκάστου, σῶσαι δὲ τοὺς προσήκοντας ἀξιοῦντος. Τέλος δὲ τῇ πρὸς τοὺς μισουμένους ὀργῇ καὶ συγγενῶν τιμὴν καὶ φίλων εὔνοιαν προέμενοι, Κικέρωνος μὲν Ἀντωνίῳ Καῖσαρ ἐξέστη, τούτῳ δ' Ἀντώνιος Λευκίου Καίσαρος, ὃς ἦν θεῖος αὐτῷ πρὸς μητρός· ἐδόθη δὲ καὶ Λεπίδῳ, Παῦλον ἀνελεῖν τὸν ἀδελφόν· οἱ δέ φασιν ἐκτῆναι τοῦ Παύλου τὸν Λέπιδον ἐκείνους, ἀποθανεῖν αὐτὸν αἰτησαμένους. Οὐδὲν ὠμότερον, οὐδ' ἀγριώτερον τῆς διαμείψεως ταύτης δοκῶ γενέσθαι. Φόνων γὰρ ἀντικαταλλασσόμενοι φόνους, ὁμοίως μὲν, οἷς ἐλάμβανον, ἀνήρουν, οὓς ἐδίδοσαν· ἀδικώτεροι

δὲ περὶ τοὺς φίλους ἦσαν, οὓς ἀπεκτείνυσαν μηδὲ μισοῦντες.

XX. Ἐπὶ δ' οὖν ταῖς διαλλαγαῖς ταύταις οἱ στρατιῶται περιστάντες ἠξίουν καὶ γάμῳ τινὶ τὴν φιλίαν συνάψαι Καίσαρα, λαβόντα τὴν Φουλβίας, τῆς Ἀντωνίου γυναικὸς, θυγατέρα, Κλωδίαν. Ὁμολογηθέντος δὲ καὶ τούτου, τριακόσιοι μὲν ἐκ προγραφῆς ἐθανατώθησαν ὑπ' αὐτῶν· Κικέρωνος δὲ σφαγέντος, ἐκέλευσεν Ἀντώνιος τήν τε κεφαλὴν ἀποκοπῆναι καὶ τὴν χεῖρα τὴν δεξιὰν, ᾗ τοὺς κατ' αὐτοῦ λόγους ἔγραψε. Καὶ κομισθέντων, ἐθεᾶτο γεγηθὼς, καὶ ἀναπαγχάζων ὑπὸ χαρᾶς πολλάκις· εἶτ' ἐμπλησθεὶς, ἐκέλευσεν ὑπὲρ τοῦ βήματος ἐν ἀγορᾷ τεθῆναι, καθάπερ εἰς τὸν νεκρὸν ὑβρίζων, οὐχ αὑτὸν ἐνυβρίζοντα τῇ τύχῃ καὶ καταισχύνοντα τὴν ἐξουσίαν ἐπιδεικνύμενος. Ὁ δὲ θεῖος αὐτοῦ, Καῖσαρ, ζητούμενος καὶ διωκόμενος, κατέφυγε πρὸς τὴν ἀδελφήν. Ἡ δὲ, τῶν σφαγέων ἐπιστάντων καὶ βιαζομένων εἰς τὸ δωμάτιον αὐτῆς, ἐν ταῖς θύραις στᾶσα καὶ διασχοῦσα τὰς χεῖρας, ἐβόα πολλάκις· „Οὐκ ἀποκτενεῖτε Καίσαρα Λούκιον, ἐὰν μὴ πρῶτον ἐμὲ ἀποκτείνητε, τὴν τὸν αὐτοκράτορα τεκοῦσαν." Ἐκείνη μὲν οὖν, τοιαύτη γενομένη, διέκλεψε καὶ διέσωσε τὸν ἀδελφόν.

XXI. Ἦν δὲ καὶ τὰ πολλὰ Ῥωμαίοις ἐπαχθὴς ἡ τῶν τριῶν ἀρχή· καὶ τὸ πλεῖστον ὁ Ἀντώνιος τῆς αἰτίας εἶχε, πρεσβύτερος μὲν ὢν Καίσαρος, Λεπίδου δὲ δυνατώτερος, εἰς δὲ τὸν βίον ἐκεῖνον αὖθις, τὸν ἡδυπαθῆ καὶ ἀκόλαστον, ὡς πρῶτον ἀνεκαλύψατο τῶν πραγμάτων, ἐκκεχυμένος. Προσῆν δὲ τῇ κοινῇ κακοδοξίᾳ τὸ διὰ τὴν οἰκίαν οὐ μικρὸν μῖσος, ἣν ᾤκει, Πομπηΐου τοῦ Μεγάλου γενομένην, ἀνδρὸς οὐχ ἧττον ἐπὶ σωφροσύνῃ καὶ τῷ τεταγμένως καὶ δημοτικῶς διαιτᾶσθαι θαυμασθέντος, ἢ διὰ τοὺς τρεῖς θριάμβους. Ἦχθοντο γὰρ ὁρῶντες αὐτὴν τὰ πολλὰ κεκλεισμένην μὲν ἡγεμόσι καὶ στρατηγοῖς καὶ πρέσβεσιν, ὠθουμένοις πρὸς ὕβριν ἀπὸ τῶν θυρῶν, μεστὴν δὲ μίμων καὶ

θαυμαστοποιῶν καὶ πολύπους περιπαλώντων εἰς οὓς τὰ πλεῖστα κατανηλίσκετο τῶν χρημάτων, τῷ βιαιοτάτῳ καὶ χαλεπωτάτῳ τρόπῳ πορίζομένων. Οὐ γὰρ μόνον ἐπειλοῦν οὐσίας τῶν φονευομένων, ἐπιγνόντες οἰκείους καὶ γυναῖκας αὐτῶν, οὐδὲ τελῶν πᾶν ἐκίνησαν γένος· ἀλλὰ καὶ παρὰ ταῖς Ἑστιάσι πυθόμενοι παρθένους παρακαταθήκας τινὰς κεῖσθαι καὶ ξένων καὶ πολιτῶν, ἔλαβον ἐπελθόντες. Ὡς δ' οὐδὲν ἦν ἱκανὸν Ἀντωνίῳ, Καῖσαρ ἠξίωσε νείμασθαι τὰ χρήματα πρὸς αὐτόν. Ἐνέμοντο δὲ
925 καὶ τὸν στρατὸν, ἐπὶ Βροῦτον καὶ Κάσσιον εἰς Μακεδονίαν στρατεύοντες ἀμφότεροι, Λεπίδῳ δὲ τὴν Ῥώμην ἐπέτρεψαν.

XXII. Ὡς μέντοι διαβάντες ἦραντο πολέμου, καὶ παρεστρατοπέδευσαν τοῖς πολεμίοις, Ἀντωνίου μὲν ἐπιτεταγμένου Κασσίῳ, Βρούτῳ δὲ Καίσαρος, οὐδὲν ἔργον ἐφάνη μέγα τοῦ Καίσαρος, ἀλλ' Ἀντώνιος ἦν ὁ πανῶν πάντα καὶ κατορθῶν. Τῇ μέν γε προτέρᾳ μάχῃ Καῖσαρ ὑπὸ Βρούτου πατὰ κράτος ἡττηθεὶς, ἀπέβαλε τὸ στρατόπεδον, καὶ μικρὸν ἔφθη τοὺς διώκοντας ὑπεκφυγών. Ὡς δ' αὐτὸς ἐν τοῖς ὑπομνήμασι γέγραφε, τῶν φίλων τινὸς ὄναρ ἰδόντος, ἀνεχώρησε πρὸ τῆς μάχης. Ἀντώνιος δὲ Κάσσιον ἐνίκησε· καίτοι γεγράφασιν ἔνιοι, μὴ παραγενέσθαι τῇ μάχῃ τὸν Ἀντώνιον, ἀλλὰ προσγενέσθαι μετὰ τὴν μάχην ἤδη διώκουσι. Κάσσιον δὲ Πίνδαρος, τῶν ποστῶν τις ἀπελευθέρων, αὐτοῦ δεομένου καὶ κελεύοντος, ἔσφαξεν· οὐ γὰρ ἔγνω νενικηκότα Βροῦτον. Ὀλίγων δ' ἡμερῶν διαγενομένων, πάλιν ἐμαχέσαντο· καὶ Βροῦτος μὲν ἡττηθεὶς ἑαυτὸν ἀνεῖλεν, Ἀντώνιος δὲ τῆς νίκης ἠνέγκατο τῇ δόξῃ τὸ πλεῖστον, ἅτε δὴ καὶ νεοσθενοῦντος τοῦ Καίσαρος. Ἐπιστὰς δὲ τῷ Βρούτου νεκρῷ, μικρὰ μὲν ὠνείδισεν ὑπὲρ τῆς Γαΐου τοῦ ἀδελφοῦ τελευτῆς· ἀνῃρήκει γὰρ ἐκεῖνον ὁ Βροῦτος ἐν Μακεδονίᾳ, Κικέρωνι τιμωρῶν. Φήσας δὲ, μᾶλλον Ὀρτήσιον, ἢ Βροῦτον, αἰτιᾶσθαι τῆς τοῦ ἀδελφοῦ σφαγῆς, Ὀρτήσιον μὲν ἐκέλευσεν ἐπι-

σφάξαι τῷ μνήματι. Βρούτῳ δὲ τὴν αὐτοῦ φοινικίδα πολλῶν χρημάτων ἀξίαν οὖσαν ἐπέρριψε, καὶ τῶν ἀπελευθέρων τινὶ τῶν ἑαυτοῦ προσέταξε τῆς ταφῆς ἐπιμεληθῆναι. Τοῦτον ὕστερον γνοὺς οὐ συγκαταπαύσαντα τὴν φοινικίδα τῷ νεκρῷ, καὶ πολλὰ τῆς εἰς τὴν ταφὴν δαπάνης ὑφῃρημένον ἀπέκτεινεν.

XXIII. Ἐκ τούτου Καῖσαρ μὲν εἰς Ῥώμην ἐκαμίζετο, δοκῶν οὐ περιόψεσθαι πολὺν χρόνον ἐκ τῆς ἀρχαιρεσίας· Ἀντώνιος δὲ τὰς πρὸς ἕω πάσας ἐπαρχίας ἀργυρολογήσων, [καὶ] διέβαινεν εἰς τὴν Ἑλλάδα πολλὴν στρατιὰν ἄγων· ὑπεσχημένοι γὰρ ἑκάστῳ στρατιώτῃ δραχμὰς πεντακισχιλίας, ἐδέοντο συντομωτέρου χρηματισμοῦ καὶ δασμολογίας. Τοῖς μὲν οὖν Ἕλλησιν οὐκ ἄτοπος, οὐδὲ φορτικὸς, συνηνέχθη τό γε πρῶτον, ἀλλὰ καὶ τὸ παίζειν αὐτοῦ πρὸς ἀκροάσεις φιλολόγων, καὶ θέας ἀγώνων, καὶ μυήσεις ἔτρεπε, καὶ περὶ τὰς κρίσεις ἦν ἐπιεικὴς· καὶ φιλέλλην ἀκούων ἔχαιρεν, ἔτι δὲ μᾶλλον φιλαθήναιος προσαγορευόμενος, καὶ τῇ πόλει πλείστας δωρεὰς ἔδωκε. Βουλομένων δέ τι καὶ Μεγαρέων καλὸν ἀνταποδείξασθαι τοῖς Ἀθηναίοις, καὶ τὸ βουλευτήριον ἰδεῖν αὐτὸν ἀξιωσάντων, ἀναβὰς καὶ θεασάμενος, ὡς ἐπυνθάνοντο, τί δοκοίη· „Μικρὸν μὲν,“ ἔφη, „σαπρὸν δὲ.“ Πρὸς δὲ, καὶ τὸν τοῦ Πυθίου νεὼν κατεμέτρησεν ὡς συντελέσων. Τοῦτο γὰρ ὑπέσχετο πρὸς τὴν σύγκλητον.

XXIV. Ἐπεὶ δὲ Λεύκιον Κηνσωρῖνον ἐπὶ τῆς Ἑλλάδος καταλιπὼν εἰς Ἀσίαν διέβη, καὶ τῶν ἐκεῖ πλούτων ἥψατο, καὶ βασιλεῖς ἐπὶ θύρας ἐφοίτων, καὶ βασιλέων γυναῖκες, ὁμιλλώμεναι δωρεαῖς πρὸς ἀλλήλας καὶ κάλλεσιν, ἐφθείροντο πρὸς αὐτόν. Ἐν Ῥώμῃ δὲ Καίσαρος στάσεσι καὶ πολέμοις ἀποτρυχομένου, πολλὴν αὐτὸς ἄγων σχολὴν καὶ εἰρήνην, ἀνεκυκλεῖτο τοῖς πάθεσιν εἰς τὸν συνήθη βίον. Ἀναξήνορες δὲ κιθαρῳδοὶ, καὶ Βοῦθοι χοραῦλαι, καὶ Μητρόδωρός τις ὀρχηστὴς, καὶ τοιοῦτος ἄλλος

Ἀσιανῶν ἀκροαμάτων θίασος, ὑπερβαλλομένων λαμυρίᾳ καὶ βωμολοχίᾳ τὰς ἀπὸ τῆς Ἰταλίας ἥρας, εἰσερρύη καὶ διῴκει τὴν αὐλήν, οὐδὲν ἦν ἀνεκτὸν, εἰς ταῦτα φορυμένων ἁπάντων. Ἡ γὰρ Ἀσία
926 πᾶσα, καθάπερ ἡ Σοφοκλέους ἐκείνη πόλις, ὁμοῦ μὲν θυμιαμάτων ἔγεμεν,

Ὁμοῦ δὲ παιάνων τε καὶ στεναγμάτων.

Εἰς γοῦν Ἔφεσον εἰσιόντος αὐτοῦ, γυναῖκες μὲν εἰς Βάκχας, ἄνδρες δὲ καὶ παῖδες εἰς Σατύρους καὶ Πᾶνας ἠγοῦντο διεσκευασμένοι· κιττοῦ δὲ καὶ θύρσων καὶ ψαλτηρίων καὶ συρίγγων καὶ αὐλῶν ἡ πόλις ἦν πλέα, Διόνυσον αὐτὸν ἀνακαλουμένων χαριδότην καὶ μειλίχιον. Ἦν γὰρ ἀμέλει τοιοῦτος ἔνιοις, τοῖς δὲ πολλοῖς ὠμηστὴς καὶ ἀγριώνιος. Ἁρπάζειν γὰρ εὐγενεῖς ἀνθρώπους τὰ ὄντα, μαστιγίαις καὶ πόλαξι χαριζόμενος. Πολλῶν δὲ καὶ ζώντων, ὡς τεθνηκότων, αἰτησάμενοι τινὲς οὐσίας ἔλαβον. Ἀνδρὸς δὲ Μάγνητος οἶκον ἐδωρήσατο μαγείρῳ, περὶ ἓν, ὡς λέγεται, δεῖπνον εὐδοκιμήσαντι. Τέλος δὲ, ταῖς πόλεσι δεύτερον ἐπιβάλλοντος φόρον, ἐτόλμησεν Ὑβρέας, ὑπὲρ τῆς Ἀσίας λέγων, εἰπεῖν, ἀγοραίως μὲν ἐκεῖνα, καὶ πρὸς τὸν Ἀντώνιον ζῆλον οὐκ ἀηδῶς· „Εἰ δύνασαι δὶς λαβεῖν ἑνὸς ἐνιαυτοῦ φόρον, δύνασαι καὶ δὶς ἡμῖν ποιήσασθαι θέρος, καὶ δὶς ὀπώραν.“ Πρακτικῶς δὲ καὶ παραβόλως συναγαγὼν, ὅτι μυριάδας εἴκοσι ταλάντων ἡ Ἀσία δέδωκε, „Ταῦτ, εἶπεν, εἰ μὲν οὐκ εἴληφας, ἀπαίτει παρὰ τῶν λαβόντων· εἰ δὲ λαβὼν οὐκ ἔχεις, ἀπολώλαμεν.“ Ἐτρέψατο τούτῳ δεινῶς τὸν Ἀντώνιον· ἠγνόει γὰρ τὰ πολλὰ τῶν γιγνομένων, οὐχ οὕτω ῥᾴθυμος ὢν, ὡς δι' ἁπλότητα πιστεύων τοῖς περὶ αὐτόν. Ἐνῆν γὰρ ἁπλότης τῷ ἤθει, καὶ βραδεῖα μὲν αἴσθησις, αἰσθανομένῳ δὲ τῶν ἁμαρτανομένων ἰσχυρὰ μετάνοια, καὶ πρὸς αὐτοὺς ἐξομολόγησις τοὺς ἀγνωμονηθέντας, μέγεθος δὲ καὶ περὶ τὰς ἀμοιβὰς καὶ περὶ τὰς τιμωρίας. Μᾶλλόν γε μὴν ἥδεται χαριζόμενος, ἢ κολάζων, ὑπερβάλλειν τὸ μέτριον. Ἡ δὲ περὶ τὰς

παιδιὰς καὶ τὰς ἐπισκώψεις ὕβρις ἐν αὐτῇ τὸ φάρμακον εἶχεν. Ἀντισκῶψαι γὰρ ἔξῆν καὶ ἀνθυβρίσαι· καὶ γελώμενος οὐχ ἧττον, ἢ γελῶν, ἔχαιρε. Καὶ τοῦτο διελυμήνατο πολλὰ τῶν πραγμάτων. Τοὺς γὰρ ἐν τῷ παίζειν παῤῥησιαζομένους οὐκ ἂν οἰηθεὶς σπουδάζοντας κολακεύειν αὐτὸν, ἡλίσκετο ῥᾳδίως ὑπὸ τῶν ἐπαίνων ἀγνοῶν, ὅτι τὴν παῤῥησίαν τιμᾷς, ὡς ὑπόστυφον ἥδυσμα, τῇ κολακείᾳ παραμιγνύντες, ἀφῄρουν τὸ πλήσμιον, τῇ παρὰ τὴν αὐλικὰ θρασύτητι καὶ λαλιᾷ διαμηχανώμενοι τὴν ἐπὶ τῶν πραγμάτων ὕφεσιν καὶ συγκατάθεσιν, μὴ πρὸς χάριν ὁμιλοῦντων, ἀλλὰ τῷ φρονεῖν ἡττωμένων φαίνεσθαι.

XXV. Τοιούτῳ δ' οὖν ὄντι τὴν φύσιν Ἀντωνίῳ τελευταῖον κακὸν ὁ Κλεοπάτρας ἔρως ἐπιγενόμενος, καὶ πολλὰ τῶν ἔτι κρυπτομένων ἐν αὐτῷ καὶ ἀτρεμούντων παθῶν ἐγείρας καὶ ἀναβακχεύσας, εἴ τι χρηστὸν καὶ σωτήριον ὅμως ἀντεῖχεν, ἠφάνισε καὶ προσδιέφθειρεν. Ἁλίσκεται δὲ τοῦτον τὸν τρόπον. Ἀπτόμενος τοῦ Παρθικοῦ πολέμου, ἔπεμψε πρὸς αὐτὴν, κελεύων εἰς Κιλικίαν ἀπαντῆσαι, λόγον ὑφέξουσαν, ὧν ἐνεκαλεῖτο τοῖς περὶ Κάσσιον δοῦναι πολλὰ καὶ συμβαλέσθαι πρὸς τὸν πόλεμον. Ὁ δὲ πεμφθεὶς Δέλλιος, ὡς εἶδε τὴν ὄψιν, καὶ κατέμαθε τὴν ἐν τοῖς λόγοις δεινότητα καὶ πανουργίαν, εὐθὺς αἰσθόμενος, ὅτι κακὸν μὲν οὐδὲ μελλήσει τι ποιεῖν γυναικὶ τοιαύτῃ Ἀντώνιος, ἔσται δὲ μεγίστη παρ' αὐτῷ, τρέπεται πρὸς τὸ θεραπεύειν καὶ προτρέπεσθαι τὴν Αἰγυπτίαν, τοῦτο δὴ τὸ Ὁμηρικὸν, ἐλθεῖν εἰς Κιλικίαν, εὖ ἐντυγασαν ἑαυτὴν, καὶ μὴ φοβεῖσθαι τὸν Ἀντώνιον, ἥδιστον ἡγεμόνων ὄντα καὶ φιλανθρωπότατον. Ἡ δὲ καὶ Δελλίῳ πεισθεῖσα, καὶ τοῖς πρὸς Καίσαρα καὶ Γναῖον τὸν Πομπηΐου παῖδα, πρότερον αὐτῇ γεγενημένοις ἀφ' ὥρας συμβολαίοις τεκμαιρομένη, ῥᾷον ἤλπιζεν ὑπάξεσθαι τὸν Ἀντώνιον. Ἐκεῖνοι μὲν γὰρ αὐτὴν ἔτι κόρην καὶ πραγμάτων ἄπειρον ἔγνωσαν, πρὸς δὲ 927
τοῦτον ἤμελλε φοιτήσειν, ἐν ᾧ μάλιστα παιρὸν γυ-

ναῖκες ὥραν τε λαμπροτάτην ἔχουσι καὶ τῷ φρονεῖν ἀκμάζουσι. Διὸ πολλὰ μὲν συνεσκευάσατο δῶρα καὶ χρήματα, καὶ πόσμον, οἷον εἰκὸς ἦν ἀπὸ πραγμάτων μεγάλων καὶ βασιλείας εὐδαίμονος νομίζειν· τὰς δὲ πλείστας ἐν ἑαυτῇ καὶ τοῖς περὶ αὐτὴν μαγεύμασι καὶ φίλτροις ἐλπίδας θεμένη παρεγένετο.

XXVI. Πολλὰ δὲ καὶ παρ' αὐτοῦ καὶ παρὰ τῶν φίλων δεχομένη γράμματα καλούντων, οὕτω κατεφρόνησε καὶ κατεγέλασε τοῦ ἀνδρὸς, ὥστε πλεῖν ἀνὰ τὸν Κύδνον ποταμὸν ἐν πορθμίῳ χρυσοπρύμνῳ, τῶν μὲν ἱστίων ἀλουργῶν ἐκπεπετασμένων, τῆς δ' εἰρεσίας ἀργυραῖς κώπαις ἀναφερομένης πρὸς αὐλὸν ἅμα σύριγξι καὶ κιθάραις συνηρμοσμένον. Αὐτὴ δὲ κατέκειτο μὲν ὑπὸ σκιάδι χρυσοπάστῳ, κεκοσμημένη γραφικῶς, ὥσπερ Ἀφροδίτη παίδες δὲ τοῖς γραφικοῖς Ἔρωσιν ἐοικασμένοι, παρ' ἑκάτερον ἑστῶτες ἐρρίπιζον. Ὁμοίως δὲ καὶ θεραπαινίδες αἱ καλλιστεύουσαι, Νηρηίδων ἔχουσαι καὶ Χαρίτων στολὰς, αἱ μὲν πρὸς οἴακα, αἱ δὲ πρὸς κάλους ἦσαν. Ὀδμαὶ δὲ θαυμασταὶ τὰς ὄχθας ἀπὸ θυμιαμάτων πολλῶν κατεῖχον. Τῶν δ' ἀνθρώπων οἱ μὲν εὐθὺς ἀπὸ τοῦ ποταμοῦ παραμάρτουν ἑκατέρωθεν, οἱ δ' ἀπὸ τῆς πόλεως κατέβαινον ἐπὶ τὴν θέαν. Ἐκχεομένου δὲ τοῦ κατὰ τὴν ἀγορὰν ὄχλου, τέλος αὐτὸς ὁ Ἀντώνιος ἐπὶ βήματος καθεζόμενος, ἀπελείφθη μόνος. Καὶ τις λόγος ἐχώρει διὰ πάντων, ὡς ἡ Ἀφροδίτη κωμάζοι παρὰ τὸν Διόνυσον ἐπ' ἀγαθῷ τῆς Ἀσίας. Ἔπεμψε μὲν οὖν καλῶν αὐτὴν ἐπὶ τὸ δεῖπνον· ἡ δὲ μᾶλλον ἐκεῖνον ἠξίου πρὸς ἑαυτὴν ἥκειν. Εὐθὺς οὖν τινὰ βουλόμενος εὐκολίαν ἐπιδείκνυσθαι καὶ φιλοφροσύνην, ὑπήκουσε καὶ ἦλθεν. Ἐντυχὼν δὲ παρασκευῇ λόγου πρείττονι, μάλιστα τῶν φώτων τὸ πλῆθος ἐξεπλάγη. Τοσαῦτα γὰρ λέγεται καθίεσθαι καὶ ἀναφαίνεσθαι πανταχόθεν ἅμα, καὶ τοιαύτας πρὸς ἄλληλα πλίσεσι καὶ θέσεσι διακεκοσμημένα καὶ συντεταγμένα πλαισίων καὶ περιφερειῶν τρόπον,

ὥστε τῶν ἐν ὀλίγοις ἀξιοθεάτων καὶ καλῶν ἐκείνῃ γενέσθαι τὴν ὄψιν.

XXVII. Τῇ δ' ὑστεραίᾳ πάλιν ἀνθεστιῶν αὐτὴν, ἐφιλοτιμήθη μὲν ὑπερβαλέσθαι τὴν λαμπρότητα καὶ τὴν ἐπιμέλειαν· ἀμφοῖν δὲ λειπόμενος, καὶ κρατούμενος ἐν αὐτοῖς ἐκείνοις, πρῶτος ἔσκωπτεν εἰς αὐχμὸν καὶ ἀγροικίαν τὰ παρ' αὐτῷ. Πολὺν δ' ἡ Κλεοπάτρα καὶ τοῖς σκώμμασι τοῦ Ἀντωνίου τὸν στρατιώτην ἐνορῶσα καὶ βάναυσον, ἐχρῆτο καὶ τούτῳ πρὸς αὐτὸν ἀνειμένως ἤδη καὶ κατατεθαρρηκότως. Καὶ γὰρ ἦν, ὡς λέγουσιν, αὐτὸ μὲν καθ' αὑτὸ τὸ κάλλος αὐτῆς οὐ πάνυ δυσπαράβλητον, οὐδ' οἷον ἐκπλῆξαι τοὺς ἐντυγχάνοντας· ἁφὴν δ' εἶχεν ἡ συνδιαίτησις ἄφυκτον, ἡ τε μορφὴ, μετὰ τῆς ἐν τῷ διαλέγεσθαι πιθανότητος, καὶ τοῦ παραθέοντος ἅμα πως περὶ τὴν ὁμιλίαν ἤθους, ἀνέφερέ τι κέντρον. Ἡδονὴ δὲ καὶ φθεγγομένης ἐπῆν τῷ ἤχῳ, καὶ τὴν γλῶτταν, ὥσπερ ὄργανόν τι πολύχορδον, εὐπετῶς τρέπουσα, καθ' ἣν βούλοιτο διάλεκτον, ὀλίγοις παντάπασι δ' ἑρμηνέως ἐνετύγχανε βαρβάροις· τοῖς δὲ πλείστοις αὐτὴ δ' αὐτῆς ἀπεδίδου τὰς ἀποκρίσεις, οἷον Αἰθίοψι, Τρωγλοδύταις, Ἑβραίοις, Ἄραψι, Σύροις, Μήδοις, Παρθυαίοις. Πολλῶν δὲ λέγεται καὶ ἄλλων ἐπιμαθῶν γλώττας, τῶν πρὸ αὐτῆς βασιλέων οὐδὲ τὴν Αἰγυπτίων ἀναδεχομένων περιλαβεῖν διάλεκτον, ἐνίων δὲ καὶ τὸ μακεδονίζειν ἐκλιπόντων.

XXVIII. Οὕτω δ' οὖν τὸν Ἀντώνιον ἥρπασεν, ὥστε, πολεμούσης μὲν ἐν Ῥώμῃ Καίσαρι Φουλβίας, τῆς γυναικὸς, ὑπὲρ τῶν ἐκείνου πραγμάτων, αἰσχρουμένης δὲ Παρθικῆς στρατιᾶς περὶ τὴν Μεσοποταμίαν, ἧς Λαβιηνὸν οἱ βασιλέως στρατηγοὶ Παρθικὸν ἀναγορεύσαντες αὐτοκράτορα, Συρίας ἐπιβατεύσειν ἔμελλον, οἴχεσθαι φερόμενον ὑπ' αὐτῆς εἰς Ἀλεξάνδρειαν· ἐκεῖ δὲ μειρακίου σχολὴν ἄγοντος διατριβαῖς καὶ παιδιαῖς χρώμενον, ἀναλίσκειν καὶ καθηδυπαθεῖν τὸ πολυτελέστατον, ὡς Ἀντιφῶν εἶπεν, ἀνάλωμα, τὸν χρόνον. Ἦν γάρ τις αὐτοῖς 928

σύνοδος ἀμιμήτοβίων λεγομένη· καὶ καθ' ἡμέραν εἰστίων ἀλλήλους, ἄπιστόν τινα ποιούμενοι τῶν ἀναλισκομένων ἐμπειρίαν. Διηγεῖτο γοῦν ἡμῶν τῷ πάππῳ, Λαμπρίᾳ, Φιλώτας ὁ Ἀμφισσεὺς, ἰατρὸς, εἶναι μὲν ἐν Ἀλεξανδρείᾳ τότε μανθάνων τὴν τέχνην· γενόμενος δέ τινι τῶν βασιλικῶν ὀψοποιῶν συνήθης, ἀναπεισθῆναι, νέος ὤν, ὑπ' αὐτοῦ τὴν πολυτέλειαν καὶ τὴν παρασκευὴν τοῦ δείπνου θεάσασθαι. Παρεισαχθεὶς οὖν εἰς τὸ ταμεῖον, ὡς τά τ' ἄλλα παμπόλλα ἑώρα καὶ σῦς ἀγρίους ὀπτωμένους ὀκτὼ, θαυμάσαι τὸ πλῆθος τῶν δειπνούντων. Τὸν δ' ὀψοποιὸν γελάσαι, καὶ εἰπεῖν, ὅτι πολλοὶ μὲν οὐκ εἰσὶν οἱ δειπνοῦντες, ἀλλὰ περὶ δώδεκα· δεῖ δ' ἀκμὴν ἔχειν τῶν παρατιθεμένων ἕκαστον, ἣν ἀκαρὲς ὥρας μαραίνει. Καὶ γὰρ αὐσίκα γένοιτ' ἂν Ἀντωνίου δεῖπνου δεηθῆναι, καὶ μετὰ μικρὸν, ἂν δ' οὕτω τύχῃ, παραγαγεῖν, αἰτήσαντα ποτήριον, ἢ λόγου τινὸς ἐμπεσόντος. Ὥθεν οὐχ ἓν, ἀλλὰ πολλὰ, φάναι, δεῖπνα δεῖ συντετάχθαι· δυσστόχαστος γὰρ ὁ καιρός. Ταῦτ' οὖν ὁ Φιλώτας ἔλεγε, καὶ χρόνου προϊόντος ἐν τοῖς θεραπεύουσι γενέσθαι τὸν πρεσβύτατον τῶν Ἀντωνίου παίδων, ὃν ἐκ Φουλβίας εἶχε· καὶ συνδειπνεῖν παρ' αὐτῷ μετὰ τῶν ἄλλων ἑταίρων ἐπιεικῶς, ὁπότε μὴ δειπνοίη μετὰ τοῦ πατρός. Ἰατρὸν οὖν ποτὲ θρασυνόμενον, καὶ πράγματα πολλὰ παρέχοντα δειπνοῦσιν αὐτοῖς, ἐπιστομίσαι τοιούτῳ σοφίσματι· „Τῷ πως πυρέττοντι δοτέον ψυχρόν; πῶς δ' ὁ πυρέττων πως πυρέττει· παντὶ ἄρα πυρέττοντι δοτέον ψυχρόν.“ Πληγέντος δὲ τοῦ ἀνθρώπου καὶ σιωπήσαντος, ἡσθέντα τὸν παῖδα γελάσαι, καὶ εἰπεῖν· „Ταῦτ', ὦ Φιλώτα, χαρίζομαί σοι πάντα σοι“ δείξαντα πολλῶν τινῶν καὶ μεγάλων ἐκπωμάτων μεστὴν τράπεζαν. Αὐτοῦ δὲ τὴν μὲν προθυμίαν ἀποδεξαμένου, πόρρω δ' ὄντος τοῦ νομίζειν ἐξουσίαν εἶναι παιδὶ τηλικούτῳ δωρεῖσθαι τοσαῦτα, μετὰ μικρὸν ἁμάμενόν τινα τῶν παίδων, ἐν ἀγγείῳ τὰ ἐκπώματα προσφέρειν καὶ ἁμᾶσθαι κελεύειν

Ἀφοσιουμένου δ' αὐτοῦ καὶ θεδοικότος λυβεῖν „Τί, ὦ πονηρέ, φάναι τὸν ἄνθρωπον, ὀκνεῖς; Οὐκ οἶδας, ὡς ὁ διδοὺς Ἀντωνίου παῖς ἐστιν, ᾧ τοσαῦτα πάρεστι χρυσῷ χαρίσασθαι; Ἐμοὶ μέντοι πειθόμενος, πάντα διάμειψαι πρὸς φρόνιμον ἡμῖν. Ἴσως γὰρ ἂν καὶ ποθήσειεν ὁ πατὴρ ἔνια τῶν παλαιῶν ὄντα καὶ σπουδαζομένων παρὰ τὴν τέχνην ἔργων." Ταῦτα μὲν οὖν ἡμῖν ἔλεγεν ὁ πάππος ἑκάστοτε διηγεῖσθαι τὸν Φιλώταν.

XXIX. Ἡ δὲ Κλεοπάτρα τὴν πολακείαν, οὐχ, ὥσπερ ὁ Πλάτων φησὶ, τετραχῆ, πολλαχῆ δὲ διελοῦσα, καὶ σπουδῆς ἁπτομένῳ καὶ παιδιᾶς ἀεί τινα καινὴν ἡδονὴν ἐπιφέρουσα καὶ χάριν, διεπαιδαγώγει τὸν Ἀντώνιον, οὔτε νυκτὸς, οὔτε ἡμέρας ἀνιεῖσα. Καὶ γὰρ συνεκύβευε, καὶ συνέπινε, καὶ συνεθήρευε, καὶ γυμναζόμενον ἐν ὅπλοις ἐθεᾶτο· καὶ νύκτωρ προσισταμένῳ θύραις καὶ θυρίδι δημοτῶν, καὶ σκώπτοντι τοὺς ἔνδον, συνεπλανᾶτο καὶ συνήλυε, θεραπαινιδίου στολὴν λαμβάνουσα. Καὶ γὰρ ἐκεῖνος οὕτως ἐπειρᾶτο σκευάζειν ἑαυτόν. Ὅθεν ἀεὶ σκωμμάτων, πολλάκις δὲ καὶ πληγῶν ἀπολαύσας ἐπανήρχετο· τοῖς δὲ πλείστοις ἦν δι' ὑποψίας. Οὐ μὴν ἀλλὰ προσέχαιρον αὐτοῦ τῇ βωμολοχίᾳ, καὶ συνέπαιζον οὐκ ἀρρύθμως οὐδ' ἀμούσως οἱ Ἀλεξανδρεῖς, ἀγαπῶντες καὶ λέγοντες, ὡς τῷ τραγικῷ πρὸς Ῥωμαίους χρῆται προσώπῳ, τῷ δὲ κωμικῷ πρὸς αὐτούς. Τὰ μὲν οὖν πολλὰ 929
τῶν ὑπ' αὐτοῦ παιζομένων διηγεῖσθαι, πολὺς ἂν εἴη φλύαρος· ἐπεὶ δ' ἁλιεύων ποτὲ καὶ δυσαγρῶν ἦχθετο, παρούσης τῆς Κλεοπάτρας, ἐκέλευσε τοὺς ἁλιεῖς ὑπονηξαμένους κρύφα τῷ ἀγκίστρῳ περικαθάπτειν ἰχθῦς τῶν προεαλωκότων, καὶ δὶς ἢ τρὶς ἀνασπάσας οὐκ ἔλαθε τὴν Αἰγυπτίαν. Προσποιουμένη δὲ θαυμάζειν, τοῖς φίλοις διηγεῖτο, καὶ παρεκάλει τῇ ὑστεραίᾳ γενέσθαι θεατάς. Ἐμβάντων δὲ πολλῶν εἰς τὰς ἁλιάδας, καὶ τοῦ Ἀντωνίου τὴν ὁρμιὰν καθέντος, ἐκέλευσε τινὰ τῶν αὐτῆς ὑποφθάσαντα καὶ προσνηξάμενον τῷ ἀγκίστρῳ πε-

ριπεῖραι Ποντικὸν τάριχος. Ὡς δ' ἔχειν πεισθεὶς ὁ Ἀντώνιος ἀνεῖλκε, γέλωτος, οἷον εἰκὸς, γενομένου· „Παράδος ἡμῖν, ἔφη, τὸν κάλαμον, αὐτοκράτωρ, τοῖς Φαρίταις καὶ Κανωβίταις βασιλεῦσιν· ἡ δὲ σὴ θήρα πόλεις εἰσὶ, καὶ βασιλεῖς, καὶ ἤπειροι."

XXX. Τοιαῦτα ληροῦντα καὶ μειρακιευόμενον τὸν Ἀντώνιον ἀγγελίαι δύο καταλαμβάνουσιν, ἡ μὲν ἀπὸ Ῥώμης, Λεύκιον, τὸν ἀδελφὸν αὐτοῦ, καὶ Φουλβίαν, τὴν γυναῖκα, πρῶτον ἀλλήλοις στασιάσαντας, εἶτα Καίσαρι πολεμήσαντας, ἀποβεβληκέναι τὰ πράγματα, καὶ φεύγειν ἐξ Ἰταλίας· ἑτέρα δὲ, ταύτης οὐδὲν ἐπιεικεστέρα, Λαβιηνὸν ἐπάγοντα Πάρθους, τὴν ἀπ' Εὐφράτου καὶ Συρίας ἄχρι Λυδίας καὶ Ἰωνίας Ἀσίαν καταστρέφεσθαι. Μόλις οὖν, ὥσπερ ἐξυπνισθεὶς καὶ ἀποκραιπαλήσας, ὥρμησε μὲν Πάρθοις ἐνίστασθαι, καὶ μέχρι Φοινίκης προῆλθε. Φουλβίας δὲ γράμματα θρήνων μεστὰ πεμπούσης, ἐπέστρεψεν εἰς τὴν Ἰταλίαν, ἄγων ναῦς διακοσίας. Ἀναλαβὼν δὲ κατὰ πλοῦν τῶν φίλων τοὺς πεφευγότας, ἐπυνθάνετο, τοῦ πολέμου τὴν Φουλβίαν αἰτίαν γεγονέναι, φύσει μὲν οὖσαν πολυπράγμονα καὶ θρασεῖαν, ἐλπίζουσαν δὲ τῆς Κλεοπάτρας ἀπάξειν τὸν Ἀντώνιον, εἴ τι γένοιτο κίνημα περὶ τὴν Ἰταλίαν. Συμβαίνει δ' ἀπὸ τύχης καὶ Φουλβίαν πλέουσαν πρὸς αὐτὸν ἐν Σικυῶνι νόσῳ τελευτῆσαι· διὸ καὶ μᾶλλον αἱ πρὸς Καίσαρα διαλλαγαὶ καιρὸν ἔσχον. Ὡς γὰρ προσέμιξε τῇ Ἰταλίᾳ, καὶ Καῖσαρ ἦν φανερὸς ἐκείνῳ μὲν οὐδὲν ἐγκαλῶν, αὐτὸς δ' ὧν ἐνεκαλεῖτο τὰς αἰτίας τῇ Φουλβίᾳ προστριβόμενος, οὐκ εἴων ἐξελέγχειν οἱ φίλοι τὴν πρόφασιν, ἀλλὰ διέλυον ἀμφοτέρους, καὶ διῄρουν τὴν ἡγεμονίαν, ὅρον ποιούμενοι τὸν Ἰόνιον· καὶ τὰ μὲν ἑῷα νέμοντες Ἀντωνίῳ, τὰ δ' ἑσπέρια Καίσαρι, Λέπιδον δὲ Λιβύην ἔχειν ἐῶντες· ὑπατεύειν δὲ τάξαντες, ὅτε μὴ δόξειεν αὐτοῖς, φίλους ἑκατέρων παρὰ μέρος.

XXXI. Ταῦτ' ἔχειν καλῶς δοκοῦντα, πίστεως

ἐδεῖτο ἀφροδισίας, ἣν ἡ τύχη παρέσχεν. Ὀκταβία γὰρ ἦν ἀδελφὴ, πρεσβυτέρα μὲν, οὐχ ὁμομητρία δὲ Καίσαρι· ἐγεγόνει γὰρ ἐξ Ἀγχαρίας, ὁ δ' ὕστερον ἐξ Ἀττίας. Ἔστεργε δ' ὑπερφυῶς τὴν ἀδελφὴν, χρῆμα θαυμαστὸν, ὡς λέγεται, γυναικὸς γενομένην. Αὕτη, Γαΐου Μαρκέλλου, τοῦ γήμαντος αὐτὴν, οὐ πάλαι τεθνηκότος, ἐχήρευεν. Ἐδόκει δὲ καὶ Φουλβίας ἀποιχομένης χηρεύειν Ἀντώνιος, ἔχειν μὲν οὐκ ἀρνούμενος Κλεοπάτραν, γάμῳ δ' οὐχ ὁμολογῶν, ἀλλ' ἔτι τῷ λόγῳ περί γε τούτου πρὸς τὸν ἔρωτα τῆς Αἰγυπτίας μαχόμενος. Τοῦτον ἅπαντες εἰσηγοῦντο τὸν γάμον, ἐλπίζοντες, τὴν Ὀκταβίαν, ἐπὶ κάλλει τοσούτῳ σεμνότητα καὶ νοῦν ἔχουσαν, εἰς ταὐτὸ τῷ Ἀντωνίῳ παραγενομένην, καὶ στερχθεῖσαν, ὡς εἰκὸς τοιαύτην γυναῖκα, πάντων πραγμάτων αὐτοῖς σωτηρίαν ἔσεσθαι καὶ σύγκρασιν. Ὡς οὖν ἔδοξεν ἀμφοτέροις, ἀναβάντες εἰς Ῥώμην ἐπετέλουν τὸν Ὀκταβίας γάμον· οὐκ ἐῶντος μὲν νόμου πρὸ δέκα μηνῶν ἀνδρὸς τελευτήσαντος γαμεῖσθαι, τῆς δὲ συγκλήτου δόγματι τὸν χρόνον ἐκείνην ἀνεῖσης. 930

XXXII. Σέξτου δὲ Πομπηΐου Σικελίαν μὲν ἔχοντος, Ἰταλίαν δὲ πορθοῦντος, λῃστρίσι δὲ ναυσὶ πολλαῖς, ὧν Μηνᾶς, ὁ πειρατὴς, καὶ Μενεκράτης ἦρχον, ἅπλουν τὴν θάλασσαν πεποιηκότος, Ἀντωνίῳ δὲ κεχρῆσθαι δοκοῦντος φιλανθρώπως, (ὑπεδέξατο γὰρ αὐτοῦ τὴν μητέρα τῇ Φουλβίᾳ συνεκπεσοῦσαν,) ἔδοξε καὶ πρὸς τοῦτον διαλυθῆναι. Καὶ συνῆλθον εἰς ταὐτὸ κατὰ τὴν ἐν Μισηνοῖς ἄκραν καὶ τὸ χῶμα, Πομπηΐῳ μὲν τοῦ στόλου παρορμοῦντος, Ἀντωνίῳ δὲ καὶ Καίσαρι τῶν πεζῶν παρακεκριμένων. Ἐπεὶ δὲ συνέθεντο, Πομπηΐου ἔχοντα Σαρδόνα καὶ Σικελίαν, καθαρόν τε λῃστηρίων παρέχειν τὴν θάλασσαν, καὶ σῖτον τι τεταγμένον ἀποστέλλειν εἰς Ῥώμην, ἐκάλουν ἐπὶ δεῖπνον ἀλλήλους. Κληρουμένων δὲ, πρῶτος ἑστιᾶν αὐτοὺς ἔλαχε Πομπήϊος. Ἐρομένου δ' αὐτὸν Ἀντωνίου, ποῦ δειπνήσουσιν, „Ἐνταῦθα," ἔφη, δείξας τὴν στρατηγί-

δα ναῦν οὖσαν ἐξήρη· „πατρῷος γὰρ οἶκος αὕτη Πομπηΐῳ λέλειπται.“ Ταῦτα δ' εἰς τὸν Ἀντώνιον ὀνειδίζων ἔλεγεν, ἐπεὶ τὴν Πομπηΐαν τοῦ πατρὸς γενομένην οἰκίαν ἐκεῖνος εἶχεν. Ὁρμίσας δὲ τὴν ναῦν ἐπ' ἀγκυρῶν, καὶ διαβάσιν τινα γεφυρώσας ἀπὸ τῆς ἄκρας, ἀνελάμβανεν αὐτοὺς προθύμως. Ἀκμαζούσης δὲ τῆς συνουσίας, καὶ τῶν εἰς Κλεοπάτραν καὶ Ἀντώνιον ἀνθούντων σκωμμάτων, Μηνᾶς, ὁ πειρατής, Πομπηΐῳ προσελθών, ὡς μὴ κατακούειν ἐκείνους, „Βούλει, φησὶ, τὰς ἀγκύρας τῆς νεὼς ὑποτέμω, καὶ ποιήσω σε μὴ Σικελίας καὶ Σαρδόνος, ἀλλὰ τῆς Ῥωμαίων κύριον ἡγεμονίας;“ Ὁ δὲ Πομπήϊος ἀκούσας, καὶ πρὸς αὐτῷ γενόμενος βραχὺν χρόνον, „Ἔδει σε, φησὶν, ὦ Μηνᾶ, τοῦτ' ἐμοὶ μὴ προειπόντα ποιῆσαι· νυνὶ δὲ τὰ παρόντα στέργωμεν· ἐπιορκεῖν γὰρ οὐκ ἐμόν.“ Οὗτος μὲν οὖν πάλιν ἀνθεστιαθεὶς ὑπ' ἀμφοτέρων, εἰς τὴν Σικελίαν ἀπέπλευσεν.

XXXIII. Ἀντώνιος δὲ μετὰ τὰς διαλύσεις Οὐεντίδιον μὲν εἰς Ἀσίαν προὔπεμπε, Πάρθοις ἐμποδὼν ἐσόμενον τοῦ πρόσω χωρεῖν· αὐτὸς δὲ Καίσαρι χαριζόμενος, ἱερεὺς ἀπεδείχθη τοῦ προτέρου Καίσαρος· καὶ τἆλλα κοινῶς καὶ φιλικῶς ἐν τοῖς πολιτικοῖς καὶ μεγίστοις ἔπραττον. Αἱ δὲ περὶ τὰς παιδιὰς ἅμιλλαι τὸν Ἀντώνιον ἐλύπουν, ἀεὶ τοῦ Καίσαρος ἥττων φερόμενον. Ἦν γάρ τις ἀνὴρ σὺν αὐτῷ μαντικὸς ἀπ' Αἰγύπτου, τῶν τὰς γενέσεις ἐπισκοπούντων, ὃς εἴτε Κλεοπάτρᾳ χαριζόμενος, εἴτε χρώμενος ἀληθείᾳ, πρὸς τὸν Ἀντώνιον ἐπαῤῥησιάζετο, λέγων, τὴν τύχην αὐτοῦ, λαμπροτάτην οὖσαν καὶ μεγίστην, ὑπὸ τῆς Καίσαρος ἀμαυροῦσθαι, καὶ συνεβούλευε παῤῥωτάτω τοῦ νεανίσκου ποιεῖν ἑαυτόν. „Ὁ γὰρ σὸς, ἔφη, δαίμων τὸν τούτου φοβεῖται· καὶ γαῦρος ὢν καὶ ὑψηλὸς, ὅταν ᾖ καθ' αὑτὸν, ὑπ' ἐκείνου γίνεται ταπεινότερος ἐγγίσαντος, καὶ ἀγεννέστερος.“ Καὶ μέντοι τὰ γινόμενα τῷ Αἰγυπτίῳ μαρτυρεῖν ἐδόκει. Λέγεται γὰρ, ὅτι, κληρουμένων μετὰ παιδιᾶς ἐφ' ὅτῳ

τύχοιεν ἑκάστοτε καὶ κυβευόντων, ἔλαττον ἔχων Ἀντώνιος ἀπῄει. Πολλάκις δὲ συμβαλλόντων ἀλεκτρυόνας, πολλάκις δὲ μαχίμους ὄρτυγας, ἐνίκων οἱ Καίσαρος. Ἐφ' οἷς ἀνιώμενος ἀθύμως ὁ Ἀντώνιος, καὶ μᾶλλόν τι τῷ Αἰγυπτίῳ προσέχων, ἀπῆρεν ἐκ τῆς Ἰταλίας, ἐγχειρίσας Καίσαρι τὰ οἰκεῖα τὴν δ' Ὀκταβίαν ἄχρι τῆς Ἑλλάδος ἐπήγετο, θυγατρίου γεγονότος αὐτοῖς. Διακειμάζοντι δ' αὐτῷ περὶ Ἀθήνας ἀπαγγέλλεται τὰ πρῶτα τῶν Ὀυεντιδίου κατορθωμάτων, ὅτι μάχῃ τοὺς Πάρθους κρατήσας Λαβιηνὸν ἀπέκτονοι, καὶ Φαρναπάτην, ἡγεμονικώτατον τῶν Ἡρώδου βασιλέως στρατηγῶν. Ἐπὶ τούτοις εἱστία τοὺς Ἕλληνας, ἐγυμνασιαρχεῖ δ' Ἀθηναίοις, καὶ τὰ τῆς ἡγεμονίας παράσημα 931
καταλείπων οἴκοι, μετὰ τῶν γυμνασιαρχικῶν ἐν ἱματίῳ καὶ φαιακοῖς προῄει, καὶ διαλαμβάνων τοὺς νεανίσκους ἐτραχήλιζεν.

XXXIV. Ἐξιέναι δὲ μέλλων ἐπὶ τὸν πόλεμον, ἀπὸ τῆς ἱερᾶς ἐλαίας στέφανον ἔλαβε, καὶ κατά τι λόγιον ἀπὸ τῆς Κλεψύδρας ὕδατος ἐμπλησάμενος ἀγγεῖον, ἐκόμιζεν. Ἐν τούτῳ δὲ Πάκορον, τὸν βασιλέως παῖδα, μεγάλῳ στρατῷ Πάρθων αὖθις ἐπὶ Συρίαν ἐλαύνοντα, συμπεσὼν Ὀυεντίδιος ἐν τῇ Κυρρηστικῇ τρέπεται, καὶ διαφθείρει παμπόλλους, ἐν πρώτοις Πακόρου πεσόντος. Τοῦτο τὸ ἔργον ἐν τοῖς ἀοιδιμωτάτοις γενόμενον, Ῥωμαίοις τε τῶν κατὰ Κράσσον ἀτυχημάτων ἔκπλεω ποινὴν παρέσχε, καὶ Πάρθους αὖθις εἴσω Μηδίας καὶ Μεσοποταμίας συνέστειλε, τρισὶ μάχαις ἐφεξῆς κατὰ κράτος ἠττημένους. Ὀυεντίδιος δὲ Πάρθους μὲν προσωτέρω διώκειν ἀπέγνω, φθόνον Ἀντωνίου δείσας, τοὺς δ' ἀφεστῶτας ἐπιὼν κατεστρέφετο, καὶ τὸν Κομμαγηνὸν Ἀντίοχον ἐν πόλει Σαμοσάτοις ἐπολιόρκει. Δεομένου δὲ χίλια τάλαντα δοῦναι, καὶ ποιεῖν Ἀντωνίῳ τὸ προσταττόμενον, ἐκέλευε πέμπειν πρὸς Ἀντώνιον. Ἤδη γὰρ ἐγγὺς ἦν ἐπιών, καὶ τὸν Ὀυεντίδιον οὐκ εἴα σπένδεσθαι τῷ Ἀντιόχῳ βουλόμενος ἔγωγε τοῦτο τῶν ἔργων ἐπώνυμον αὐτοῦ γε-

νέσθαι, καὶ μὴ πάντα διὰ Οὐεντιδίου κατορθοῦσθαι. Τῆς δὲ πολυορκίας μῆκος λαμβανούσης, καὶ τῶν ἔνδον, ὡς ἀπέγνωσαν τὰς διαλύσεις, πρὸς ἀλλήλους τραπομένων, πράκτωρ οὐδὲν, ἐν αἰσχύνῃ δὲ καὶ μεταγνώσει γενόμενος, ἀγαπητῶς ἐπὶ τριακοσίοις σπένδεται ταλάντοις πρὸς τὸν Ἀντίοχον καὶ μικρὰ τῶν ἐν Συρίᾳ καταστησάμενος, εἰς Ἀθήνας ἐπανῆλθε, καὶ τὸν Οὐεντίδιον, οἷς ἔπρεπε, τιμήσας, ἔπεμψεν ἐπὶ τὸν θρίαμβον. Οὕτως ἀπὸ Πάρθων ὤχρι δεῦρο τεθριαμβεύκει μόνος, ἀνὴρ γενόμενος μὲν ἀφανὴς, ἀπολαύσας δὲ τῆς Ἀντωνίου φιλίας καὶ λαβεῖν ἀφορμὰς πράξεων μεγάλων· αἷς κάλλιστα χρησάμενος, ἐβεβαίωσε τὸν περὶ Ἀντωνίου λεγόμενον καὶ Καίσαρος λόγον, ὡς εὐτυχέστεροι ἀεὶ ἕτερον ἦσαν, ἢ δι' αὐτῶν στρατηγεῖν. Καὶ γὰρ Σόσσιος, Ἀντωνίου στρατηγὸς, ἐν Συρίᾳ πολλὰ διεπράττετο· καὶ Κανίδιος, ἀπολειφθεὶς ὑπ' αὐτοῦ περὶ Ἀρμενίαν, τούτους τε νικῶν καὶ τοὺς Ἰβήρων καὶ Ἀλβανῶν βασιλέας, ἄχρι τοῦ Καυκάσου προῆλθεν. Ἀφ' ὧν ἐν τοῖς βαρβάροις ὄνομα καὶ πλέος ἠύξετο τῆς Ἀντωνίου δυνάμεως.

XXXV. Αὐτὸς δὲ πάλιν ἐκ τῶν διαβολῶν παροξυνθεὶς πρὸς Καίσαρα, ναυσὶ τριακοσίαις ἔπλει πρὸς τὴν Ἰταλίαν· οὐ δεξαμένων δὲ τῶν Βρεντεσινῶν, τὸν στόλον εἰς Τάραντα περιώρμισεν. Ἐνταῦθα τὴν Ὀκταβίαν (συνέπλει γὰρ ἀπὸ τῆς Ἑλλάδος αὐτῷ) δεηθεῖσαν ἀπαντᾶν πρὸς τὸν ἀδελφὸν, ἔγκυον μὲν οὖσαν, ἤδη δὲ καὶ θατέρου ἐξ αὐτοῦ θυγατρίου ἔχουσαν. Ἡ δ' ἀπαντήσασα καθ' ὁδὸν Καίσαρι, καὶ παραλαβοῦσα τῶν ἐκείνου φίλων Ἀγρίππαν καὶ Μαικήναν ἐνεύγγανε, πολλὰ ποτνιωμένη καὶ πολλὰ δεομένη μὴ περιϊδεῖν αὐτὴν ἐκ μακαριωτάτης γυναικὸς ἀθλιωτάτην γενομένην. Νῦν μὲν γὰρ ἅπαντας ἀνθρώπους εἰς αὐτὴν ἀποβλέπειν, αὐτοκρατόρων δυοῖν, τοῦ μὲν γυναῖκα, τοῦ δ' ἀδελφὴν οὖσαν· „εἰ δὲ τὰ χείρω κρατήσειεν, ἔφη, καὶ γένοιτο πόλεμος, ὑμῶν μὲν ἄδηλον ὅτῳ κρατεῖν, ἡ

κρατεῖσθαι, πέπρωται, τὰ ἐμὰ δ' ἀμφοτέρως ἄθλια." Τούτοις ἐπικλασθεὶς ὁ Καῖσαρ, ἦκεν εἰρηνικῶς εἰς Τάραντα, καὶ θέαμα κάλλιστον οἱ παρόντες ἐθεῶντο, πολὺν μὲν ἐκ γῆς στρατὸν ἠωρημένον, πολλὰς δὲ ναῦς ἀτρέμα πρὸς τοῖς αἰγιαλοῖς [ἐχούσας,] φίλων δὲ καὶ φίλων ἀπαντήσεις καὶ φιλοφροσύνας. Εἱστία δ' Ἀντώνιος πρότερος, καὶ τοῦτο τῇ ἀδελφῇ Καίσαρος δόντος. Ἐπεὶ δ' ὡμολόγητο, Καίσαρα μὲν Ἀντωνίῳ δοῦναι δύο τάγματα πρὸς τὸν 932
Παρθικὸν πόλεμον, Ἀντώνιον δὲ Καίσαρι ταλεμβόλους ἑκατὸν, Ὀκταβία, τῶν ὡμολογημένων χωρὶς, ᾐτήσατο τῷ μὲν ἀδελφῷ παρὰ τοῦ ἀνδρὸς εἴκοσι μυοπάρωνας, τῷ δ' ἀνδρὶ παρὰ τοῦ ἀδελφοῦ στρατιώτας χιλίους. Οὕτω δ' ἀλλήλων ἀμειφθέντες, ὁ μὲν εὐθὺς εἴγετο τοῦ πρὸς Πομπήϊον πολέμου, Σικελίας ἐφιέμενος, Ἀντώνιος δ' Ὀκταβίαν μετὰ τῶν ἐξ ἐκείνης, καὶ τοὺς ἐκ Φουλβίας παῖδας αὐτῷ παρακαταθέμενος, εἰς τὴν Ἀσίαν ἀπεπέρασεν.

XXXVI. Εὔδουσα δ' ἡ δεινὴ συμφορὰ χρόνον πολὺν, ὁ Κλεοπάτρας ἔρως, δοκῶν κατεννάσθαι καὶ κατασκληθῆναι τοῖς βελτίοσι λογισμοῖς, αὖθις ἀνέλαμπε καὶ ἀνεθάρρει, Συρίᾳ πλησιάζοντος αὐτοῦ. Καὶ τέλος, (ὥσπερ φασὶν ὁ Πλάτων τὸ δυσπειθὲς καὶ ἀκόλαστον τῆς ψυχῆς ὑποζύγιον,) ἀπολαμπίσας τὰ καλὰ καὶ σωτήρια πάντα, Καπίτωνα Φοντήϊον ἔπεμψεν ἄξοντα Κλεοπάτραν εἰς Συρίαν. Ἐλθοῦσα δὲ χαρίζεται καὶ προστίθησι μικρὸν οὐδὲν, οὐδ' ὀλίγον, ἀλλὰ Φοινίκην, κοίλην Συρίαν, Κύπρον, Κιλικίας πολλήν· ἔτι δὲ τῆς τ' Ἰουδαίας τὴν τὸ βάλσαμον φέρουσαν, καὶ τῆς Ναβαταίων Ἀραβίας ὅση πρὸς τὴν ἐντὸς ἀποκλίνει θάλασσαν. Αὗται μάλιστα Ῥωμαίους ἠγίασαν αἱ δωρεαί. Καίτοι πολλοῖς ἐχαρίζετο τετραρχίας καὶ βασιλείας ἐθνῶν μεγάλων, ἰδιώτας οὔσι, πάλουὺς δ' ἀφῃρεῖτο βασιλείας· ὡς Ἀντίγονον τὸν Ἰουδαῖον, ὃν καὶ προαγαγὼν ἐπελέκισεν, οὐδενὸς πρότερον ἑτέρου βασιλέως οὕτω κολασθέντος. Ἀλλὰ

τὸ αἰσχρὸν ἦν τῶν Κλεοπάτρας τιμῶν ἀνιαρότατον. Ηὔξησε δὲ τὴν διαβολὴν, παῖδας ἐξ αὐτῆς διδύμους ἀνελόμενος, καὶ προσαγορεύσας τὸν μὲν Ἀλέξανδρον, τὴν δὲ Κλεοπάτραν ἐπίκλησιν δὲ, τὸν μὲν Ἥλιον, τὴν δὲ Σελήνην. Οὐ μὴν ἀλλ' ἀγαθὸς ὢν ἐγκαλλωπίσασθαι τοῖς αἰσχροῖς, ἔλεγε, τῆς μὲν Ῥωμαίων ἡγεμονίας, οὐ δι' ὧν λαμβάνουσιν, ἀλλ' ἐν οἷς χαρίζονται, φαίνεσθαι τὸ μέγεθος· διαδοχαῖς δὲ καὶ τεκνώσεσι πολλῶν βασιλέων πλατύνεσθαι τὰς εὐγενείας. Οὕτω γοῦν ὑφ' Ἡρακλέους τεκνωθῆναι τὸν αὐτοῦ πρόγονον, οὐκ ἐν μιᾷ γαστρὶ θεμένου τὴν διαδοχὴν, οὐδὲ νόμους Σολωνείους καὶ κυήσεως εὐθύνας δεδοικότος, ἀλλὰ τῇ φύσει πολλὰς γενῶν ἀρχὰς καὶ καταβολὰς ἀπαλλιπεῖν ἐφιέντος.

XXXVII. Ἐπεὶ δὲ, Φραάρτου κτείναντος Ἡρώδην, τὸν πατέρα, καὶ τὴν βασιλείαν κατασχόντος, ἄλλοι τε Πάρθων ἀπεδίδρασκον οὐκ ὀλίγοι, καὶ Μοναίσης, ἀνὴρ ἐπιφανὴς καὶ δυνατὸς, ἦκε φεύγων πρὸς Ἀντώνιον, τὰς μὲν ἐκείνου τύχας ταῖς Θεμιστοκλέους εἰκάσας, περιουσίαν δὲ τὴν ἑαυτοῦ καὶ μεγαλοφροσύνην τοῖς Περσῶν βασιλεῦσι παραβαλών, ἐδωρήσατο τρεῖς πόλεις αὐτῷ, Λάρισσαν, καὶ Ἀρέθουσαν, καὶ Ἱερὰν πόλιν, ἣν Βαμβύκην πρότερον ἐκάλουν. Τοῦ δὲ Πάρθων βασιλέως τῷ Μοναίσῃ δεξιὰν καταπέμψαντος, ἄσμενος αὐτὸν ἀπέστειλεν ὁ Ἀντώνιος, ἐξαπατᾶν μὲν ἐγνωκὼς τὸν Φραάρτην, ὡς εἰρήνης ἐσομένης, ἀξιῶν δὲ τὰς ἁλούσας ἐπὶ Κράσσου σημαίας, καὶ τῶν ἀνδρῶν ἀπολαβεῖν τοὺς περιόντας. Αὐτὸς δὲ Κλεοπάτραν εἰς Αἴγυπτον ἀποπέμψας, ἐχώρει δι' Ἀραβίας καὶ Ἀρμενίας, ὅπου, συνελθούσης αὐτῷ τῆς δυνάμεως, καὶ τῶν συμμάχων βασιλέων (πάμπολλοι δ' ἦσαν οὗτοι, μέγιστος δὲ πάντων ὁ τῆς Ἀρμενίας, Ἀρταουάσδης, ἑξακισχιλίους ἱππεῖς καὶ πεζοὺς ἑπτακισχιλίους παρέχων) ἐξήτασε τὸν στρατόν. Ἦσαν δὲ Ῥωμαίων μὲν αὐτῶν ἑξακισμύριοι πεζοὶ, καὶ τὸ Ῥωμαίοις συνταταγμένον ἱππικὸν, Ἰβήρων καὶ Κελτῶν, μύριοι·

τῶν δ' ἄλλων ἐθνῶν ἐγένοντο τρεῖς μυριάδες σὺν ἱππεῦσιν ὁμοῦ καὶ ψιλοῖς. Τοσαύτην μέντοι παρασκευὴν καὶ δύναμιν, ἣ καὶ τοὺς πέραν Βάκτρων Ἰνδοὺς ἐφόβησε, καὶ πᾶσαν ἐκράδανε τὴν Ἀσίαν, ἀνόνητον αὐτῷ διὰ Κλεοπάτραν γενέσθαι λέγουσι. 933
Σπεύδοντα γὰρ ἐκείνῃ συνδιαχειμάσαι, τὸν πόλεμον ἐξενεγκεῖν πρὸ καιροῦ, καὶ πᾶσι χρήσασθαι τεταραγμένως, οὐκ ὄντα τῶν ἑαυτοῦ λογισμῶν, ἀλλ' ὑπὸ φαρμάκων τινῶν, ἢ γοητείας, παπταίνοντα πρὸς ἐκείνην ἀεὶ, καὶ πρὸς τῷ τάχιον ἐπανελθεῖν μᾶλλον, ἢ πρὸς τῷ κρατῆσαι τῶν πολεμίων, γενόμενον.

XXXVIII. Πρῶτον μὲν αὐτοῦ δέον ἐν Ἀρμενίᾳ διαχειμάσαι, καὶ διαναπαῦσαι τὸν στρατὸν, ὀκτακισχιλίων σταδίων ἀποτετρυχωμένον πορείᾳ, καὶ πρὶν, ἢ κινεῖν ἐκ τῶν χειμαδίων Πάρθους, ἔαρος ἀρχῇ Μηδίαν καταλαβεῖν, οὐκ ἠνέσχετο τὸν χρόνον, ἀλλ' εὐθὺς ἦγεν, ἐν ἀριστερᾷ λαβὼν Ἀρμενίαν, καὶ τῆς Ἀτροπατηνῆς ἁψάμενος ἐπόρθει τὴν χώραν. Ἔπειτα μηχανημάτων αὐτῷ πρὸς πολιορκίαν ἀναγκαίων τριακοσίαις ἁμάξαις παραπεμπομένων, ἐν οἷς καὶ κριὸς ἦν ὀγδοήκοντα ποδῶν μῆκος, ὧν οὐδὲν ἐνεχώρει διαφθαρὲν ἐπὶ καιροῦ πάλιν γενέσθαι, διὰ τὸ τὴν ἄνω χώραν πᾶν ξύλον ἀγεννὲς εἰς μῆκος καὶ μαλθακὸν ἐκφέρειν· ἐπειγόμενος, ὡς ἐμπόδια τοῦ ταχύνειν ἀπέλιπε, φυλακήν τινα καὶ Στατιανὸν ἡγεμόνα τῶν ἁμαξῶν ἐπιστήσας· αὐτὸς δὲ Φραάρτου μεγάλην πόλιν, ἐν ᾗ καὶ τέκνα καὶ γυναῖκες ἦσαν τοῦ τῆς Μηδίας βασιλέως, ἐπολιόρκει. Τῆς δὲ χρείας εὐθὺς, ὅσον ἥμαρτε τὰς μηχανὰς ἀπολιπών, ἐξελεγχούσης, ὁμόσε χωρῶν ἔχου πρὸς τὴν πόλιν χῶμα σχολῇ καὶ πολυπόνως ἀνιστάμενον, Ἐν τούτῳ δὲ καταβαίνων στρατιᾷ μεγάλῃ Φραάρτης, ὡς ἤκουσε τὴν ἀπόλειψιν τῶν μηχανοφόρων ἁμαξῶν, ἔπεμψε τῶν ἱππέων πολλοὺς ἐπ' αὐτάς· ὑφ' ὧν περιληφθεὶς ὁ Στατιανὸς, ἀποθνήσκει μὲν αὐτὸς, ἀποθνήσκουσι δὲ μύριοι τῶν μετ' αὐτοῦ. Τὰς δὲ μηχανὰς ἑλόντες οἱ βάρβαροι

διέφθειραν. Εἷλον δὲ παμπόλλους, ἐν οἷς καὶ Πολέμων ἦν, ὁ βασιλεύς.

XXXIX. Τοῦτο πάντας μὲν, ὡς εἰκὸς, ἠνίασε τοὺς περὶ Ἀντώνιον, ἀνελπίστως ἐν ἀρχῇ πληγέντας· ὁ δὲ Ἀρμένιος Ἀρταουάσδης, ἀπογνοὺς τὰ Ῥωμαίων, ᾤχετο τὴν αὑτοῦ στρατιὰν ἀναλαβὼν, καίπερ αἰτιώτατος τοῦ πολέμου γενόμενος. Ἐπιφανέντων δὲ λαμπρῶς τοῖς πολιορκοῦσι τῶν Πάρθων, καὶ χρωμένων ἀπειλαῖς πρὸς ὕβριν, οὐ βουλόμενος Ἀντώνιος ἡσυχάζοντι τῷ στρατῷ τὸ δυσθυμοῦν καὶ καταπεπληγμένον ἐμμένειν καὶ αὔξεσθαι, δέκα τάγματα λαβὼν, καὶ τρεῖς στρατηγίδας σπείρας ὁπλιτῶν, τοὺς δ' ἱππεῖς ἅπαντας, ἐξήγαγε πρὸς σιτολογίαν· οἰόμενος, οὕτως ἂν ἐπισπασθέντων μάλιστα τῶν πολεμίων ἐκ παρατάξεως μάχην γενέσθαι. Προελθὼν δὲ μιᾶς ὁδὸν ἡμέρας, ὡς ἑώρα τοὺς Πάρθους κύκλῳ περιχεομένους, καὶ προσπεσεῖν καθ' ὁδὸν αὐτῷ ζητοῦντας, ἐξέθηκε μὲν τὸ τῆς μάχης σύμβολον ἐν τῷ στρατοπέδῳ, καθελὼν δὲ τὰς σκηνὰς, ὡς οὐ μαχησόμενος, ἀλλ' ἀπάξων, παρημείβετο τῶν βαρβάρων τὴν τάξιν, οὖσαν μηνοειδῆ· κελεύσας, ὅταν οἱ πρῶτοι τοῖς ὁπλίταις ἐν ἐφικτῷ δοκῶσιν εἶναι, τοὺς ἱππεῖς ἐναντίους εἰσελαύνειν. Τοῖς δὲ Πάρθοις παρακεκριμένοις λόγου κρείττων ἡ τάξις ἐφαίνετο τῶν Ῥωμαίων, καὶ κατεθεῶντο παρεξιόντας ἐν διαστήμασιν ἴσοις ἀθορύβως καὶ σιωπῇ τοὺς ὑσσοὺς κραδαίνοντας. Ὡς δὲ τὸ σημεῖον ᾔρθη, καὶ προσεφέροντο μετὰ κραυγῆς ἐπιστρέψαντες οἱ ἱππεῖς, τούτους μὲν ἠμύνοντο δεξάμενοι, καίπερ εὐθὺς ἐντὸς τοξεύματος γενομένους· τῶν δ' ὁπλιτῶν συναπτόντων ἅμα βοῇ καὶ πατάγῳ τῶν ὅπλων, οἵ τε ἵπποι τοῖς Πάρθοις ἐξίσταντο ταρβοῦντες, καὶ αὐτοὶ, πρὶν εἰς χεῖρας ἐλθεῖν, ἔφευγον. Ὁ δ' Ἀντώνιος ἐνέκειτο τῇ διώξει,
934 καὶ μεγάλας εἶχεν ἐλπίδας, ὡς τοῦ πολέμου τὸ σύμπαν, ἢ τὸ πλεῖστον, ἐκείνῃ τῇ μάχῃ διαπεπραγμένος. Ἐπεὶ δὲ, τῆς διώξεως γενομένης τοῖς μὲν πεζοῖς ἐπὶ πεντήκοντα στάδια, τοῖς δ' ἱππεῦσιν ἐπὶ

τρὶς τοσαῦτα, τοὺς πεπτωκότας τῶν πολεμίων καὶ τοὺς ἡλωκότας ἐπισκοποῦντες, εὗρον αἰχμαλώτους μὲν τριάκοντα, νεκροὺς δὲ ὀγδοήκοντα μόνους, ἀπορία καὶ δυσθυμία πᾶσι παρέστη, δεινὸν εἶναι λογιζομένοις, εἰ νικῶντες μὲν οὕτως ὀλίγους κτείνουσιν, ἡττώμενοι δὲ στερήσονται τοσούτων, ὅσους ἀπέβαλον περὶ ταῖς ἁμάξαις. Τῇ δ' ὑστεραίᾳ συσκευασάμενοι, τὴν ἐπὶ Φραόρτου καὶ τοῦ στρατοπέδου προῆγον. Ἐντυχόντες δὲ κατὰ τὴν ὁδὸν πρῶτον μὲν ὀλίγοις τῶν πολεμίων, ἔπειτα πλείοσι, τέλος δὲ πᾶσιν, ὥσπερ ἀηττήτοις καὶ νεαλέσι προκαλουμένοις καὶ προσβάλλουσι πανταχόθεν, μοχθηρῶς καὶ πολυπόνως ἀπεσώθησαν εἰς τὸ στρατόπεδον. Τῶν δὲ Μήδων ἐκδρομήν τινα ποιησαμένων ἐπὶ τὸ χῶμα, καὶ τοὺς προμαχομένους φοβησάντων, ὀργισθεὶς ὁ Ἀντώνιος ἐχρήσατο τῇ λεγομένῃ δεκατείᾳ πρὸς τοὺς ἀποδειλιάσαντας. Διελὼν γὰρ εἰς δεκάδας τὸ πλῆθος, ἀφ' ἑκάστης ἕνα τὸν λαχόντα κλήρῳ διέφθειρε, τοῖς δ' ἄλλοις ἀντὶ πυρῶν ἐκέλευε κριθὰς μετρεῖσθαι.

XL. Χαλεπὸς δ' ἦν ἀμφοτέροις ὁ πόλεμος, καὶ τὸ μέλλον αὐτοῦ φοβερώτερον, Ἀντωνίῳ μὲν, προσδοκῶντι λιμόν· οὐκέτι γὰρ ἦν ἄνευ τραυμάτων καὶ νεκρῶν πολλῶν ἐπισιτίσασθαι· Φραόρτης δὲ, τοὺς Πάρθους ἐπιστάμενος πάντα μᾶλλον, ἢ χειμῶνος ἔξω προσταλαιπωρεῖν καὶ θυραυλεῖν, δυναμένους, ἐφοβεῖτο, μὴ, τῶν Ῥωμαίων ἐγκαρτερούντων καὶ παραμενόντων, ἀπολίπωσιν αὐτὸν, ἤδη τοῦ ἀέρος συνισταμένου μετὰ φθινοπωρινὴν ἰσημερίαν. Λόλον οὖν τίθησι τοιόνδε. Πάρθον οἱ γνωριμώτατοι περὶ τὰς σιτολογίας καὶ τὰς ἄλλας ἀπαντήσεις μαλακώτερον τοῖς Ῥωμαίοις προσεφέροντο, λαμβάνειν τε παριέντες αὐτοῖς ἔνια, καὶ τὴν ἀρετὴν ἐπαινοῦντες, ὡς πολεμικωτάτων ἀνδρῶν, καὶ θαυμαζομένων ὑπὸ τοῦ σφετέρου βασιλέως δικαίως. Ἐκ δὲ τούτου προσελαύνοντες ἐγγυτέρω, καὶ τοὺς ἵππους ἀτρέμα παραβάλλοντες, ἐλοιδόρουν τὸν Ἀντώνιον, ὅτι βουλομένῳ Φραόρτῃ διαλλαγῆναι καὶ

φείσασθαι τοιούτων ἀνδρῶν καὶ τοσούτων ἀφορμὴν οὐ δίδωσιν, ἀλλὰ τοὺς χαλεποὺς καὶ μεγάλους κάθηται πολεμίους ἀναμένων, λιμὸν καὶ χειμῶνα, δ' ὧν ἔργον ἐστὶ καὶ προπεμπομένους ὑπὸ Πάρθων ἀποφεύγειν. Πολλῶν δὲ ταῦτα πρὸς τὸν Ἀντώνιον ἀναφερόντων, μαλασσόμενος ὑπὸ τῆς ἐλπίδος, ὅμως οὐ πρότερον ἐπεκηρυκεύσατο πρὸς τὸν Πάρθον, ἢ πυθέσθαι τῶν φιλοφρονουμένων ἐκείνους βαρβάρων, εἰ τοῦ βασιλέως ταῦτα φρονοῦντος διαλέγοιντο. Φασκόντων δὲ, καὶ παρακαλούντων μὴ δεδιέναι, μηδ' ἀπιστεῖν, ἔπεμπε τινας τῶν ἑταίρων, πάλιν τὰς σημαίας ἀξιῶν ἀπολαβεῖν καὶ τοὺς αἰχμαλώτους, ὡς δὴ μὴ παντάπασιν ἀγαπᾶν τὸ σωθῆναι καὶ διαφυγεῖν νομισθείη. Τοῦ δὲ Πάρθου ταῦτα μὲν ἐᾶν κελεύοντος, ἀπιόντι δ' εὐθὺς εἰρήνην καὶ ἀσφάλειαν εἶναι φήσαντος, ὀλίγαις ἡμέραις συσκευασάμενος ἀνεζεύγνυεν. Ὧν δὲ καὶ δῆμῳ πιθανὸς ἐντυχεῖν, καὶ στρατὸν ἄγειν διὰ λόγων παρ' ὀντινοῦν τῶν τότε πεφυκὼς, ἐξέλιπεν αὐτὸς αἰσχύνη καὶ κατηφείᾳ τὸ παραθαρρύνειν τὰ πλῆθος, Δομίτιον δ' Αἰνόβαρβον ἐκέλευσε τοῦτο ποιῆσαι. Καί τινες μὲν ἠγανάκτησαν, ὡς ὑπερορώμενοι, τὸ δὲ πλεῖστον ἐπεκλάσθη, καὶ συνεφρόνησε τὴν αἰτίαν διὸ καὶ μᾶλλον ᾤοντο δεῖν ἀνταιδεῖσθαι, καὶ πείθεσθαι τῷ στρατηγῷ.

XLI. Μέλλοντος δ' αὐτοῦ τὴν αὐτὴν ὁδὸν ἄγειν ὀπίσω, πεδινὴν καὶ ἄδενδρον οὖσαν, ἀνὴρ τῷ γένει Μάρδος, πολλὰ τοῖς Πάρθων ἤθεσιν ἐνωμιληκὼς, 935 ἤδη δὲ Ῥωμαίοις πιστὸς ἐν τῇ μάχῃ τῇ περὶ τὰς μηχανὰς γεγονὼς, Ἀντωνίῳ προσελθὼν, ἐκέλευε φεύγειν ἐν δεξιᾷ, τῶν ὀρῶν ἐπιλαβόμενον, καὶ μὴ στρατὸν ὁπλίτην καὶ βαρὺν ἐν δρόμοις γυμνοῖς καὶ ἀναπεπταμένοις ὑποβαλεῖν ἵππῳ τοξευτῇ καὶ τοξεύμασιν· ὃ δὴ τεχνώμενον τὸν Φραάρτην, ἀναστῆσαι τῆς πολιορκίας αὐτὸν ὁμολογίαις φιλανθρώποις· ἔσεσθαι δ' αὐτὸς ἡγεμὼν ὁδοῦ βραχυτέρας, καὶ μᾶλλον εὐπορίαν τῶν ἐπιτηδείων ἐχούσης. Τοῦτ' ἀκούσας ὁ Ἀντώνιος ἐβουλεύετο, καὶ

Πάρθους μὲν οὐκ ἐβούλετο δοκεῖν ἀπιστεῖν μετὰ σπουδῆς, τὴν δὲ συντομίαν τῆς ὁδοῦ, καὶ τὸ παρὰ κώμας οἰκουμένας ἕξεσθαι τὴν πορείαν ἐπαινῶν, πίστιν ἤτει τὸν Μάρδον. Ὁ δὲ δῆσαι παρεῖχεν αὐτὸν, ἄχρις οὗ καταστήσῃ τὸν στρατὸν εἰς Ἀρμενίαν, καὶ δεθεὶς ἡγεῖτο δύο ἡμέρας καθ' ἡσυχίαν. Τῇ δὲ τριτῃ, παντάπασι τοὺς Πάρθους ἀπεγνωκότος τοῦ Ἀντωνίου, καὶ βαδίζοντος ἀνειμένως διὰ τὸ θαρρεῖν, ἰδὼν ὁ Μάρδος ἀπόχωσιν ἐμβολῆς ποταμοῦ νεωστὶ διεσπασμένην, καὶ τὸ ῥεῦμα πολὺ πρὸς τὴν ὁδὸν, ᾗ πορευτέον ἦν, ἐκχεόμενον, συνῆκεν, ὅτι τῶν Πάρθων ἔργον εἴη τοῦτο, δυσκολίας ἕνεκα καὶ διατριβῆς ἐμποδὼν αὐτοῖς τὸν ποταμὸν τιθεμένων· καὶ τὸν Ἀντώνιον ὁρᾶν ἐκέλευε καὶ προσέχειν, ὡς τῶν πολεμίων ἐγγὺς ὄντων. Ἄρτι δ' αὐτοῦ καθιστάντος εἰς τάξιν τὰ ὅπλα, καὶ διὰ αὐτῶν τοῖς ἀκοντισταῖς καὶ σφενδονήταις ἐνδρομὴν ἐπὶ τοὺς πολεμίους παρασκευάζοντος, ἐπεφάνησαν οἱ Πάρθοι, καὶ περιήλαυνον, ὡς κυκλωσόμενοι καὶ συνταράξοντες πανταχόθεν τὸν στρατόν. Ἐκβραμάντων δὲ τῶν ψιλῶν ἐπ' αὐτοὺς, πολλὰς μὲν διδόντες ἀπὸ τόξων, οὐκ ἐλάττονας δὲ ταῖς μολυβδίσι καὶ τοῖς ἀκοντίοις πληγὰς λαμβάνοντες, ἀνεχώρουν. Εἶτ' ἐπῆγον αὖθις, ἄχρις οὗ συστρέψαντες οἱ Κελτοὶ τοὺς ἵππους, ἐνέβαλον καὶ διεσκέδασαν αὐτοὺς, οὐκέτι τῆς ἡμέρας ἐκείνης ὑπόδειγμα γενομένους.

XLII. Ἐκ τούτου μαθὼν Ἀντώνιος, ὃ ποιεῖν ἔδει, πολλοῖς ἀκοντισταῖς καὶ σφενδονήταις οὐ μόνον τὴν οὐραγίαν, ἀλλὰ καὶ τὰς πλευρὰς ἑκατέρας στομώσας, ἐν πλαισίῳ τὸν στρατὸν ἦγε, καὶ τοῖς ἱππόταις εἴρητο προσβαλόντας τρέπεσθαι, τρεψαμένους δὲ μὴ πόρρω διώκειν· ὥστε τοὺς Πάρθους τὰς ἑφεξῆς τέσσαρας ἡμέρας, οὐθὲν πλέον δράσαντας, ἢ παθόντας, ἀμβλυτέρους γεγονέναι, καὶ τὸν χειμῶνα ποιουμένους πρόφασιν, ἀπιέναι διανοεῖσθαι. Τῇ δὲ πέμπτῃ Φλαούϊος Γάλλος, ἀνὴρ πολεμικὸς καὶ δραστήριος, ἀφ' ἡγεμονίας τεταγμένος,

ἤτησεν Ἀντώνιον προσελθὼν πλείονας φιλοὺς ἀπ' οὐρᾶς, καὶ τῶν ἀπὸ τοῦ στόματος ἱππέων τινὰς, ὡς μέγα κατόρθωμα ποιήσων. Λόντος δὲ, προσβαλόντας ἀνέκοπτε τοὺς πολεμίους, οὐχ, ὥσπερ πρότερον, ὑπάγων ἅμα πρὸς τοὺς ὁπλίτας καὶ ἀναχωρῶν, ἀλλ' ὑφιστάμενος καὶ συμπλεκόμενος παραβολώτερον. Ὁρῶντες δ' αὐτὸν οἱ τῆς οὐραγίας ἡγεμόνες ἀποῤῥηγνύμενον, ἐκάλουν πέμποντες· ὁ δ' οὐκ ἐπείθετο. Τίτιον δέ φασι, τὸν ταμίαν, καὶ τῶν σημαιῶν ἐπιλαβόμενον, στρέφειν ὀπίσω, καὶ λοιδορεῖν τὸν Γάλλον, ὡς ἀπολλύντα πολλοὺς καὶ ἀγαθοὺς ἄνδρας. Ἀντιλοιδοροῦντος δ' ἐκείνου, καὶ διακελευομένου τοῖς περὶ αὐτὸν μένειν, ὁ μὲν Τίτιος ἀπεχώρει· τὸν δὲ Γάλλον, ὠθούμενον εἰς τοὺς κατὰ στόμα, λανθάνουσι πολλοὶ περισχόντες ἐκ τῶν ὄπισθεν. Βαλλόμενος δὲ πανταχόθεν ἐκάλει πέμπων ἀρωγήν. Οἱ δὲ τοὺς ὁπλίτας ἄγοντες, ὧν καὶ Κανίδιος ἦν, ἀνὴρ παρ' Ἀντωνίῳ δυνάμενος μέγιστον, οὐ μικρὰ δοκοῦσι διαμαρτεῖν. Δέον γὰρ ἀθρόαν ἐπιστρέψαι τὴν φάλαγ-
936 γα, πέμποντες κατ' ὀλίγους ἐπιβοηθοῦντας, καὶ πάλιν ἡττωμένων τούτων, ἑτέρους ἀποστέλλοντες, ἔλαθον ὀλίγου δεῖν ἥττης καὶ φυγῆς ὅλον ἀναπλήσαντες τὸ στρατόπεδον, εἰ μὴ ταχὺ μὲν αὐτὸς Ἀντώνιος μετὰ τῶν ὅπλων ἀπὸ τοῦ στόματος ἧκεν ὑπαντιάζων, ταχὺ δὲ τὸ τρίτον τάγμα διὰ τῶν φευγόντων ἐπὶ τοὺς πολεμίους ὠσάμενον ἔσχε τοῦ πρόσω διώκειν.

XLIII. Ἀπέθανον δὲ τρισχιλίων οὐκ ἐλάττους, ἐκομίσθησαν δ' ἐπὶ σκηνὰς τραυματίαι πεντακισχίλιοι· καὶ Γάλλος ἦν ἐν τούτοις, τέτταρσιν ἐναντίοις διαπεπαρμένος τοξεύμασιν. Ἀλλ' οὗτος μὲν ἐκ τῶν τραυμάτων οὐκ ἀνήνεγκε· τοὺς δ' ἄλλους περιιὼν Ἀντώνιος ἐπεσκόπει καὶ παρεθάῤῥυνε, δεδακρυμένος καὶ περιπαθῶν. Οἱ δὲ φαιδροὶ τῆς δεξιᾶς αὐτοῦ λαμβανόμενοι, παρεκάλουν ἀπιόντα θεραπεύειν αὐτὸν, καὶ μὴ κακοπαθεῖν, αὐτοκράτορα καλοῦντες, καὶ σώζεσθαι λέγοντες, ἂν

ἐκεῖνος ὑμαλίνη. Καθόλου μὲν γὰρ οὔτ' ἀλκαῖς, οὔτε ὑπομοναῖς, οὔτε ἡλικίᾳ, λαμπρότερον ἄλλος αὐτοκράτωρ στρατὸν ἐκείνου δοκεῖ συναγαγεῖν ἐν τοῖς τότε χρόνοις· ἡ δὲ πρὸς αὐτὸν αἰδὼς τῶν ἡγεμόνα, καὶ πειθαρχία μετ' εὐνοίας, καὶ τὸ πάντας ὁμαλῶς, ἐνδόξους, ἀδόξους, ἄρχοντας, ἰδιώτας, τὴν παρ' Ἀντωνίῳ τιμήν τε καὶ χάριν μᾶλλον αἱρεῖσθαι τῆς σωτηρίας καὶ τῆς ἀσφαλείας, οὐδὲ τοῖς πάλαι Ῥωμαίοις ἀπέλιπεν ὑπερβολήν. Τούτου δ' αἰτίαι πλείονες ἦσαν, ὡς προειρήκαμεν· εὐφύεια, λόγου δύναμις, ἁπλότης, τὸ φιλόδωρον καὶ μεγαλόδωρον, ἡ περὶ τὰς παιδιὰς καὶ τὰς ὁμιλίας εὐτραπελία. Τότε δὲ καὶ συμπονῶν καὶ συναλγῶν τοῖς κακοπαθοῦσι, καὶ μεταδιδοὺς, οὐ τις θεηθείη, προθυμοτέρους τῶν ἐρρωμένων τοὺς νοσοῦντας καὶ τετρωμένους ἐποίησε.

XLIV. Τοὺς μέντοι πολεμίους ἀπαγορεύοντας ἤδη καὶ πάμποντας οὕτως ἐπῆρεν ἡ νίκη, καὶ τοσοῦτον τῶν Ῥωμαίων κατεφρόνησαν, ὥστε καὶ νυκτὸς ἐπαυλίσασθαι τῷ στρατοπέδῳ, προσδοκῶντας αὐτίκα μάλα σκηνὰς ἁρπάσειν καὶ χρήματα διαρπάσειν ἀποδιδρασκόντων. Ἅμα δ' ἡμέρᾳ πολὺ πλείονες ἐπηθροίζοντο, καὶ λέγονται τετρακισμυρίων οὐκ ἐλάττονες ἱππόται γενέσθαι, βασιλέως καὶ τοὺς περὶ αὐτὸν αὖ τεταγμένους ὡς ἐπὶ σαφεῖ καὶ βεβαίῳ κατορθώματι πέμψαντος. Αὐτὸς μὲν γὰρ οὐδεμιᾷ μάχῃ παρέτυχεν. Ἀντώνιος δὲ, βουλόμενος προσαγορεῦσαι τοὺς στρατιώτας, ἤτησε φαιὸν ἱμάτιον, ὡς οἰκτρότερος ὀφθείη. Τῶν δὲ φίλων ἐναντιωθέντων, ἐν τῇ στρατηγικῇ φοινικίδι προελθὼν ἐθημηγόρησε, τοὺς μὲν νενικηκότας ἐπαινῶν, ὀνειδίζων δὲ τοὺς φεύγοντας. Τῶν δ' οἱ μὲν παρεκελεύοντο θαῤῥεῖν, οἱ δ', ἀπολογούμενοι, σφᾶς αὐτοὺς παρεῖχον, εἴτε βούλοιτο δεκατεύειν, εἴτ' ἄλλῃ τρόπῳ πολάζειν· μόνον παύσασθαι δυσφορούντα καὶ λυπούμενον ἐδέοντο. Πρὸς ταῦτα τὰς χεῖρας ἀνατείνας, ἐπεύξατο τοῖς θεοῖς, εἴ τις ἄρα νέμεσις τὰς πρόσθεν εὐτυχίας αὐτοῦ μέτεισιν, εἰς αὖ-

τὸν ἐλθεῖν, τῷ δ' ἄλλῳ στρατῷ σωτηρίαν διδόναι καὶ νίκην.

XLV. Τῇ δ' ὑστεραίᾳ φραξάμενοι βέλτιον προῆγον, καὶ τοῖς Πάρθοις ἐπιχειροῦσι πολὺ ἀπήντα παράλογος. Οἰόμενοι γὰρ, ἐφ' ἁρπαγὴν καὶ λεηλασίαν, οὐ μάχην, ἐλαύνειν, εἶτα πολλοῖς βέλεσιν ἐντυγχάνοντες, ἐρρωμένους δὲ καὶ νεαλεῖς ταῖς προθυμίαις ὁρῶντες, αὖθις ἐξέκαμνον. Ἐπεὶ δὲ καταβαίνουσιν αὐτοῖς ἀπὸ λόφων τινῶν ἐπικλινῶν ἐπέθεντο, καὶ βραδέως ἐπεξάγοντας ἔβαλλον, ἐπιστρέψαντες οἱ θυρεαφόροι συνέκλεισαν εἴσω τῶν ὅπλων τοὺς ψιλούς, αὐτοὶ δὲ καθέντες εἰς γόνυ προὐβάλλοντο τοὺς θυρεούς· οἱ δ' ὄπισθεν ὑπερέσχον αὐτῶν τὰ ὅπλα, κἀκείνων ὁμοίως ἕτεροι. Τὸ δὲ σχῆμα, παραπλήσιον ἐρέψει γινόμε-
937 νον, ὄψιν τε θεατρικὴν παρέχει, καὶ τῶν προβλημάτων στεγανώτατόν ἐστι πρὸς τοὺς οἰστρους ἀπολισθαίνοντας. Οἱ μέντοι Πάρθοι τὴν εἰς γόνυ κλίσιν τῶν Ῥωμαίων ἀπωρύρεσιν ἡγούμενοι καὶ κάματον εἶναι, τὰ μὲν τόξα κατέθεντο, τοὺς δὲ κοντοὺς διαιλαβόντες, ἐγγὺς προσέμιξαν. Οἱ δὲ Ῥωμαῖοι συναλαλάξαντες, ἐξαίφνης ἀνέθορον, καὶ τοῖς ὑσσοῖς παίοντες ἐκ χειρὸς, ἔκτεινόν τε τοὺς πρώτους, καὶ τροπὴν ἔθεντο τῶν ἄλλων ἁπάντων. Ἐγίνετο δὲ ταῦτα καὶ ταῖς ἄλλαις ἡμέραις, ἐπὶ μικρὸν ἀνυόντων τῆς ὁδοῦ. Καὶ λιμὸς ἥπτετο τοῦ στρατοῦ, σῖτόν τε βραχὺν διὰ μάχης παριζομένου, καὶ τῶν πρὸς αἰλετὸν σκευῶν οὐκ εὐπαροῦντος. Τὰ γὰρ πολλὰ κατελείπετο, τῶν μὲν ἀποθνησκόντων ὑποζυγίων, τῶν δὲ τοὺς νοσοῦντας καὶ τραυματίας φερόντων. Λέγεται δὲ χοίνιξ Ἀττικὴ πυρῶν πεντήκοντα δραχμῶν ὤνιος γενέσθαι· τοὺς δὲ κριθίνους ἄρτους πρὸς ἀργύριον ἱστάντες ἀπεδίδοντο. Τραπόμενοι δὲ πρὸς λάχανα καὶ ῥίζας, ὀλίγοις μὲν ἐνετύγχανον τῶν συνηθῶν, ἀναγκαζόμενοι δὲ πειρᾶσθαι καὶ τῶν ἀγεύστων πρότερον, ἥψαντο τινὸς πόας ἐπὶ θάνατον διὰ μανίας ἀγούσης. Ὁ γὰρ φαγὼν οὐδὲν ἐμέμνητο τῶν ἄλλων, οὐδ' ἐγί-

νώσκειν, ἓν δ' ἔργον εἶχεν, κινεῖν καὶ στρέφειν πάντα λίθον, ὥς τι μεγάλης σπουδῆς ἄξιον διαπραττόμενος. Ἦν δὲ μεστὸν τὸ πεδίον κεκυφότων καμάζειν, καὶ τοὺς λίθους περιορυττόντων καὶ μεθιστάντων· τέλος δὲ χολὴν ἐμοῦντες ἔθνησκον, ἐπεὶ καὶ τὸ μόνον ἀντιπαθὲς, οἶνος, ἐξέλιπε. Φθειρομένων δὲ πολλῶν, καὶ τῶν Πάρθων οὐκ ἀφισταμένων, πολλάκις ἀναφθέγξασθαι τὸν Ἀντώνιον ἱστοροῦσιν· „Ὦ μύριοι!“ θαυμάζοντα τοὺς μετὰ Ξενοφῶντος, ὅτι καὶ πλείονα καταβαίνοντες ὁδὸν ἐκ τῆς Βαβυλωνίας, καὶ πολλαπλασίοις μαχόμενοι πολεμίοις ἀπεσώθησαν.

XLVI. Οἱ δὲ Πάρθοι, διαπλέξαι μὲν οὐ δυνάμενοι τὸν στρατὸν, οὐδὲ διασπάσαι τὴν τάξιν, ἤδη δὲ πολλάκις ἡττημένοι καὶ πεφευγότες, αὖθις εἰρηνικῶς ἀνεμίγνυντο τοῖς ἐπὶ χιλὸν ἢ σῖτον προερχομένοις, καὶ τῶν τόξων τὰς νευρὰς ἐπιδεικνύντες ἀνειμένας, ἔλεγον, ὡς αὐτοὶ μὲν ἀπίασιν ὀπίσω, καὶ τοῦτο ποιοῦνται πέρας ἀμύνης, ὀλίγοι δὲ Μήδων ἀκολουθήσουσιν ὅτι μιᾶς ἢ δευτέρας ὁδὸν ἡμέρας, οὐδὲν παρενοχλοῦντες, ἀλλὰ τὰς ἀπωτέρω κώμας φυλάττοντες. Τούτοις τοῖς λόγοις ἀσπασμοί τε καὶ φιλοφροσύναι προσῆσαν· ὥστε πάνυ τοὺς Ῥωμαίους εὐθαρσεῖς γενέσθαι, καὶ τὸν Ἀντώνιον ἀκούσαντα, τῶν πεδίων ἐφίεσθαι μᾶλλον, ἀνύδρου λεγομένης εἶναι τῆς διὰ τῶν ὀρῶν. Οὕτω δὲ ποιεῖν μέλλοντος, ἦκεν ἀνὴρ ἐπὶ τὸ στρατόπεδον ἐκ τῶν πολεμίων, ὄνομα Μιθριδάτης, ἀνεψιὸς Μοναίσου, τοῦ παρ' Ἀντωνίῳ γενομένου, καὶ τὰς τρεῖς πόλεις δωρεὰν λαβόντος. Ἥξειν δ' αὐτῷ προσελθεῖν τινα τῶν Παρθιστὶ διαλεχθῆναι δυναμένων, ἢ Συριστί. Καὶ προσελθόντος Ἀλεξάνδρου τοῦ Ἀντιοχέως, ὃς ἦν Ἀντωνίῳ συνήθης, ὑπειπὼν, ὃς εἴη, καὶ Μοναίσῃ τὴν χάριν ἀνάπτων, ἠρώτησε τὸν Ἀλέξανδρον, εἰ λόφους συνεχεῖς καὶ ὑψηλοὺς ὁρᾷ πρόσωθεν. Φήσαντος δ' ὁρᾶν· „Τοῦ ἐκείνους,“ ἔφη, „παντστρατιᾷ Πάρθοι λοχῶσιν ὑμᾶς. Τὰ γὰρ μεγάλα πεδία τῶν λόφων τούτων ἐξήρτηται, καὶ

προσδοκῶσιν ὑμᾶς ἐξηπατημένους ὑπ' αὐτῶν ἐνταῦθα τρέψεσθαι, τὴν διὰ τῶν ὀρῶν ἀπολιπόντας. Ἐκείνη μὲν οὖν ἔχει δίψος ὑμῖν συνήθη καὶ πόνον· ταύτῃ δὲ χαρῶν Ἀντώνιος ἴστω τὰς Κράσσου τύχας αὐτὸν ἐκδεχομένας."

XLVII. Ὁ μὲν οὕτω φράσας ἀπῆλθεν· Ἀντώνιος δ' ἀκούσας, καὶ διαταραχθεὶς, συνεκάλει τοὺς φίλους, καὶ τὸν ἡγεμόνα τῆς ὁδοῦ, Μάρδον, οὐδ' 938 αὐτὸν ἄλλως φρονοῦντα. Καὶ γὰρ ἄνευ πολεμίων ἐγίνωσκε τὰς διὰ τῶν πεδίων ἀνοδίας καὶ πλάνας χαλεπὰς καὶ δυστεκμάρτους οὔσας· τὴν δὲ τραχεῖαν ἀπέφαινεν οὐδὲν ἄλλο δυσχερὲς, ἢ μιᾶς ἡμέρας ἀνυδρίαν, ἔχουσαν. Οὕτω δὴ τραπόμενος ταύτην ἦγε νυκτὸς, ὕδωρ ἐπιφέρεσθαι κελεύσας. Ἀγγείων δὲ ἦν ἀπορίᾳ τοῖς πολλοῖς· διὸ καὶ τὰ κράνη πιμπλάντες ὕδατος ἐκόμιζον, οἱ δὲ διφθέραις ὑπολαμβάφοντες. Ἤδη δὲ προχωρῶν ἀγγέλλεται τοῖς Πάρθοις· καὶ παρὰ τὸ εἰωθὸς ἔτι νυκτὸς ἐδίωκον. Ἡλίου δ' ἀνίσχοντος, ἥπτοντο τῶν ἐσχάτων, ἀγρυπνίᾳ καὶ πόνῳ κακῶς διακειμένων. Τεσσαράκοντα γὰρ καὶ διακοσίους ἐν τῇ νυκτὶ σταδίους κατηγύκεισαν· καὶ τὸ μὴ προσδοκῶσιν οὕτω ταχέως ἐπελθεῖν τοὺς πολεμίους ἀθυμίαν παρεῖχε. Καὶ τὸ δίψος ἐπέτεινεν ὁ ἀγών· ἀμυνόμενοι γὰρ ἅμα προῆγον. Οἱ δὲ πρῶτοι βαδίζοντες ἐντυγχάνουσι ποταμῷ ψυχρὸν μὲν ἔχοντι καὶ διαυγὲς, ἁλμυρὸν δὲ καὶ φαρμακῶδες ὕδωρ, ὃ ποθὲν, εὐθὺς ὀδύνας, ἑλκουμένης τῆς κοιλίας, καὶ τοῦ δίψους ἀναφλεγομένου, παρεῖχε. Καὶ ταῦτα τοῦ Μάρδου προλέγοντος, οὐδὲν ἧττον ἐμβιβάζομενοι τοὺς ἀνειργοντας ἔπινον. Ἀντώνιος δὲ περιὼν ἐδεῖτο βραχὺν ἐπιμεῖναι χρόνον· ἕτερον γὰρ οὐ πόρρω ποταμὸν εἶναι πότιμον· εἶτα τὴν λοιπὴν ἄφιππον καὶ τραχεῖαν, ὥστε παντάπασιν ἀποκρύψαι τοὺς πολεμίους. Ἅμα δὲ καὶ τοὺς μαχομένους ἀνεκαλεῖτο, καὶ κατάζευξιν ἐσήμαινεν, ὡς σκιᾶς γοῦν μεταλάβωσιν οἱ στρατιῶται.

XLVIII. Πηγνυμένων οὖν τῶν σκηνῶν, καὶ τῶν

Πάρθων εὐθὺς, ὥσπερ εἰώθεισαν, ἀπαλλαττομένων, ἦκεν αὖθις ὁ Μιθριδάτης, καὶ τοῦ Ἀλεξάνδρου προελθόντος, παρῆνει μικρὸν ἡσυχάσαντα τὸν στρατὸν ἀναστῆναι καὶ σπεύδειν ἐπὶ τὸν ποταμὸν, ὡς οὐ διαβησομένων τῶν Πάρθων, ἄχρι ὃ ἐκείνου διωξόντων. Ταῦτ' ἀπαγγείλας πρὸς Ἀντώνιον Ἀλέξανδρος, ἐκφέρει παρ' αὐτοῦ χρυσᾶ ποτήρια πάμπολλα, καὶ φιάλας, ὧν ἐκεῖνος, ὅσα τῇ ἐσθῆτι κατακρύψαι δυνατὸς ἦν, λαβὼν ἀπῆλαυνεν. Ἔτι δ' ἡμέρας οὔσης, ἀναζεύξαντες, ἐπορεύοντο, τῶν πολεμίων οὐ παρενοχλούντων· αὐτοὶ δ' ἑαυτοῖς νύκτα χαλεπωτάτην πασῶν ἐκείνην καὶ φοβερωτάτην ἀπεργασάμενοι. Τοὺς γὰρ ἔχοντας ἀργύριον, ἢ χρυσίον, ἀποκτεινύντες ἐσύλων, καὶ τὰ χρήματα τῶν ὑποζυγίων ἁρπάζον· τέλος δὲ, τοῖς Ἀντωνίου σκευοφόροις ἐπιχειρήσαντες, ἐκπώματα καὶ τραπέζας πολυτελεῖς κατέκοπτον καὶ διενέμοντο. Θορύβου δὲ πολλοῦ καὶ πλάνου τὸ στρατεύμα πᾶν ἐπέχοντος, (ἔφοντο γὰρ, ἐπιπεπτωκότων τῶν πολεμίων, τροπὴν γεγονέναι καὶ διασπασμὸν) Ἀντώνιος ἕνα καλέσας τῶν δορυφορούντων αὐτὸν ἀπελευθέρων, ὄνομα Ῥάμνον, ὤμοσεν, ὅταν κελεύσῃ, τὸ ξίφος αὐτοῦ θεῖναι, καὶ τὴν κεφαλὴν ἀποτεμεῖν, ὡς μήτε ἁλῷη ζῶν ὑπὸ τῶν πολεμίων, μήτε γνωσθείη τεθνηκώς. Ἐκδακρυσάντων δὲ τῶν φίλων, ὁ Μᾶρδος ἐθάρρυνε τὸν Ἀντώνιον, ὡς ἐγγὺς ὄντος τοῦ ποταμοῦ καὶ γὰρ αὔρα τις ἀπορρέουσα νοτερὰ, καὶ ψυχρότερος ἀὴρ ἁπάντων ἤδη τὴν ἀναπνοὴν ἐποίει, καὶ τὸν χρόνον ἔφη τῆς πορείας οὕτω συμπεραίνειν τὸ μέτρον. Οὐκέτι γὰρ ἦν πολὺ τὸ λειπόμενον τῆς νυκτός. Ἅμα δ' ἀπήγγελλον ἕτεροι, τὸν θόρυβον ἐκ τῆς πρὸς αὐτοὺς ἀδικίας καὶ πλεονεξίας εἶναι. Διὸ καὶ καταστῆσαι τὸ πλῆθος εἰς τάξιν ἐκ τῆς πλάνης καὶ τοῦ διασπασμοῦ βουλόμενος, ἐκέλευσε σημαίνειν κατάζευξιν.

XLIX. Ἤδη δ' ὑπέλαμπεν ἡ ἡμέρα, καὶ τοῦ στρατοῦ κόσμον ἀρχομένου τινὰ λαμβάνειν καὶ ἡσυχίαν, προσέπιπτε τοῖς τελευταίοις τὰ τῶν Πάρθων

τοξεύματα, καὶ μάχης σημεῖον ἐδόθη τοῖς ψιλοῖς.
959 Οἱ δ' ὁπλῖται πάλιν ὁμοίως κατερείψαντες ἀλλήλους τοῖς θυρεοῖς, ὑπέμενον τοὺς βάλλοντας, ἐγγὺς οὐ τολμῶντας συνελθεῖν. Ὑπαγόντων δὲ κατὰ μικρὸν αὖτως τῶν πρώτων, ὁ ποταμὸς ἐφάνη καὶ τοὺς ἱππεῖς ἐπ' αὐτῷ παρατάξας Ἀντώνιος ἐναντίους τοῖς πολεμίοις, διεβίβαζε τοὺς ἀσθενεῖς πρώτους. Ἦδη δὲ καὶ τοῖς μαχομένοις ἄδεια καὶ ῥᾳστώνη τοῦ πιεῖν ἦν. Ὡς γὰρ εἶδον οἱ Πάρθοι τὸν ποταμὸν, τάς τε νευρὰς ἀνῆκαν, καὶ θαῤῥοῦντας ἐκέλευον διαπερᾶν τοὺς Ῥωμαίους, πολλὰ τὴν ἀρετὴν αὐτῶν ἐγκωμιάζοντες. Διαβάντες οὖν καθ' ἡσυχίαν, αὐτοὺς ἀνελάμβανον, εἶτα ὤθευον, οὐ πάνυ τοῖς Πάρθοις πιστεύοντες. Ἕκτῃ δ' ἡμέρᾳ μετὰ τὴν τελευταίαν μάχην ἐπὶ τὸν Ἀράξην ποταμὸν ἦκον, ὁρίζοντα Μηδίαν καὶ Ἀρμενίαν. Ἐφάνη δὲ καὶ βάθει καὶ τραχύτητι χαλεπὸς καὶ λόγος διῆλθεν, ἐνεδρεύοντας αὐτόθι τοὺς πολεμίους ἐπιθήσεσθαι διαβαίνουσιν αὐτοῖς. Ἐπεὶ δ' ἀσφαλῶς διαπεράσαντες, ἐπέβησαν τῆς Ἀρμενίας, ὥσπερ ἅρτι γῆν ἐκείνην ἰδόντες ἐκ πελάγους, προσεκύνουν, καὶ πρὸς ἄκρα καὶ περιβολὰς ἀλλήλων ὑπὸ χαρᾶς ἐτράποντο. Προϊόντες δὲ διὰ χώρας εὐδαίμονος, καὶ χρώμενοι πᾶσιν ἀνέδην ἐκ πολλῆς ἀπορίας, ὑδερικοῖς καὶ κοιλιακοῖς περιέπιπτον ἀῤῥωστήμασιν.

L. Ἐνταῦθα ποιησάμενος ἐξέτασιν αὐτῶν Ἀντώνιος, εὗρε δισμυρίους πεζοὺς καὶ τετρακισχιλίους ἱππεῖς ἀπολωλότας, οὐ πάντας ὑπὸ τῶν πολεμίων, ἀλλ' ὑπὲρ ἡμίσεις νοσήσαντας. Ὠδεύσαν μὲν οὖν ἀπὸ Φραάτων ἡμέρας ἑπτὰ καὶ εἴκοσι, μάχαις δ' ὀκτὼ καὶ δέκα Πάρθους ἐνίκησαν, αἱ δὲ νῖκαι κράτος οὐκ εἶχον, οὐδὲ βεβαιότητα, μικρὰς ποιουμένων καὶ ἀτελεῖς τὰς διώξεις. Ὥι καὶ μάλιστα κατάδηλος ἦν Ἀρταουάσδης ὁ Ἀρμένιος Ἀντώνιον ἐκείνου τοῦ πολέμου τὸ τέλος ἀφελόμενος, Εἰ γὰρ, οὓς ἀπήγαγεν ἐκ Μηδίας ἱππεῖς ἑξακισχιλίους καὶ μυρίους, παρῆσαν ἐσκευασμένοι παραπλησίως Πάρ-

θοις, καὶ συνήθεις μάχεσθαι πρὸς αὐτούς, Ῥωμαίων μὲν τοὺς μαχομένους τρεπομένων, ἐκείνων δὲ τοὺς φεύγοντας αἱρούντων, οὐκ ἂν ὑπῆρξεν αὐτοῖς ἡττωμένοις ἀναφέρειν καὶ ἀνατολμᾶν τοσαυτάκις. Ἅπαντες οὖν ὀργῇ παρώξυνον ἐπὶ τὴν τιμωρίαν τοῦ Ἀρμενίων τὸν Ἀντώνιον. Ὁ δὲ λογισμῷ χρησάμενος, οὔτ' ἐμέμψατο τὴν προδοσίαν, οὔτ' ἀφεῖλε τῆς συνήθους φιλοφροσύνης καὶ τιμῆς πρὸς αὐτὸν, ἀσθενὴς τῷ στρατῷ καὶ ἄπορος γεγενημένος. Ὕστερον μέντοι πάλιν ἐμβαλὼν εἰς Ἀρμενίαν, καὶ πολλαῖς ὑποσχέσεσι καὶ προκλήσεσι πείσας αὐτὸν ἐλθεῖν εἰς χεῖρας, συνέλαβε, καὶ δέσμιον καταγαγὼν εἰς Ἀλεξάνδρειαν, ἐθριάμβευσεν. Ὡς μάλιστα Ῥωμαίους ἐλύπησεν, ὡς τὰ καλὰ καὶ σεμνὰ τῆς πατρίδος Αἰγυπτίους διὰ Κλεοπάτραν χαριζόμενος. Ταῦτα μὲν οὖν ὕστερον ἐπράχθη.

LI. Τότε δὲ διὰ πολλοῦ χειμῶνος ἤδη καὶ νεφετῶν ἀπώστων ἐπιγόμενος, ὀκτακισχιλίους ἀπέβαλε καθ' ὁδόν. Αὐτὸς δὲ καταβὰς ὀλίγοστὸς ἐπὶ θάλασσαν, ἐν χωρίῳ τινὶ μεταξὺ Βηρυτοῦ κειμένῳ καὶ Σιδῶνος, Λευκὴ κώμη καλεῖται, Κλεοπάτραν περιέμενε· καὶ βραδυνούσης ἀθημονῶν ἦλυε, ταχὺ μὲν εἰς τὸ πίνειν καὶ μεθύσκεσθαι δίδους ἑαυτὸν, οὐ παρτερῶν δὲ κατακείμενος, ἀλλὰ μεταξὺ πινόντων ἀνιστάμενος καὶ ἀναπηδῶν πολλάκις ἐπισκοπεῖν· ἕως ἐκείνη κατέπλευσεν, ἐσθῆτα πολλὴν καὶ χρήματα κομίζουσα τοῖς στρατιώταις. Εἰσὶ δ' οἳ λέγοντες, ὅτι τὴν μὲν ἐσθῆτα παρ' ἐκείνης λαβὼν, τὸ δ' ἀργύριον ἐκ τῶν ἰδίων διένειμεν, ὡς ἐκείνης διδούσης.

LII. Τῷ δὲ βασιλεῖ τῶν Μήδων γίνεται διαφορὰ πρὸς Φραάρτην τὸν Πάρθον· ἀρξαμένῃ 940
μὲν, ὡς φασιν, ὑπὲρ τῶν Ῥωμαϊκῶν λαφύρων, ὑπόνοιον δὲ τῷ Μήδῳ καὶ φόβον ἀφαιρέσεως τῆς ἀρχῆς παρασχοῦσα. Διὸ καὶ πέμπων ἐκάλει τὸν Ἀντώνιον, ἐπαγγελλόμενος συμπολεμήσειν μετὰ τῆς ἑαυτοῦ δυνάμεως. Γενόμενος οὖν ἐπ' ἐλπίδος με-

γάλης δ' Ἀντώνιος, (ᾧ γὰρ ἐδόκει μόνῳ τοῦ πατεργάσασθαι Πάρθους ἀπολιπεῖν, ἱππέων πολλῶν καὶ τοξοτῶν ἐνδεὴς ἐλθών, τοῦτο ἐώρα προσγινόμενον αὐτῷ, χαριζομένῳ μᾶλλον, ἢ δεομένῳ) παρεσκευάζετο δὲ Ἀρμενίας αὖθις ἀναβαίνειν, καὶ συγγενόμενος τῷ Μήδῳ περὶ ποταμὸν Ἀράξην, αὖτις κινεῖν τὸν πόλεμον.

LIII. Ἐν δὲ Ῥώμῃ βουλομένης Ὀκταβίας πλεῦσαι πρὸς Ἀντώνιον, ἐπέτρεψε Καῖσαρ, εἰς οἱ πλείους λέγουσιν, οὐκ ἐκείνῃ χαριζόμενος, ἀλλ' ὅπως περιυβρισθεῖσα καὶ καταμεληθεῖσα πρὸς τὸν πόλεμον αἰτίαν εὐπρεπῆ παράσχοι. Γενομένη δ' ἐν Ἀθήναις ἐδέξατο γράμματα παρ' Ἀντωνίου κελεύοντος αὐτόθι προσμένειν, καὶ τὰ περὶ τὴν ἀνάβασιν δηλοῦντος. Ἡ δὲ, καίπερ ἀχθομένη, καὶ νοοῦσα τὴν πρόφασιν, ὅμως ἔγραψε, πυνθανομένη, ποῖ κελεύει πεμφθῆναι τὰ κομιζόμενα πρὸς αὐτόν. Ἐπόμιζε δὲ πολλὴν μὲν ἐσθῆτα στρατιωτικὴν, πολλὰ δ' ὑποζύγια, καὶ χρήματα, καὶ δῶρα τοῖς περὶ αὐτὸν ἡγεμόσι καὶ φίλοις· ἐκτὸς δὲ τούτων ἐπιλέκτους στρατιώτας διεχιλίους, εἰς στρατηγικὰς σπείρας κεκοσμημένους ἐπρεπέσι παμπλίοις. Ταῦτα Νίγρος τις, Ἀντωνίου φίλος, ἀπαγγελεῖς παρ' αὐτῆς, ἔφραζε, καὶ προσετίθει τοὺς ἀξίους καὶ πρέποντας ἐπαίνους. Λισθομένη δ' ἡ Κλεοπάτρα τὴν Ὀκταβίαν ὁμόσε χωροῦσαν αἰτῇ, καὶ φοβηθεῖσα, μὴ, τοῦ τρόπου τῇ σεμνότητι καὶ τῇ Καίσαρος δυνάμει προσκαταμείνῃ τὸ παρ' ἡδονὴν ὁμιλεῖν καὶ θεραπεύειν Ἀντώνιον, ἄμαχος γένηται, καὶ κρατήσῃ παντάπασι τοῦ ἀνδρὸς, ἔρᾳ αὐτὴ προσεποιεῖτο τοῦ Ἀντωνίου, καὶ τὸ σῶμα λεπταῖς παθήρου δίαιταις· τὸ δὲ βλέμμα προσιόντος ἐκπεπληγμένον, ἀπερχομένου δὲ τηκόμενον καὶ ταπεινούμενον ὑπεφαίνετο. Πραγματευομένη δὲ πολλάκις ὀφθῆναι βακρύουσα, ταχὺ τῶν δακρύων ἀφῄρει καὶ ἀπέκρυπτεν, ὡς δὴ βουλομένη λανθάνειν ἐκεῖνον. Ἐπράττετο δὲ ταῦτα, μέλλοντος τοῦ ἀνδρὸς ἐκ Συρίας ἀναβαίνειν πρὸς τὸν Μῆδον.

Οἱ δὲ πόλεμοι σπουδάζοντες ὑπὲρ αὐτῆς, ἐλοιδόρουν τὸν Ἀντώνιον, ὡς ἀκληρὸν καὶ ἀκαθῆ καὶ παραπολλύντα τὸ γύναιον, εἰς ἕνα καὶ μόνον ἐκεῖνον ἀνηρτημένον. Ὀκταβίαν μὲν γὰρ πραγμάτων ἕνεκα διὰ τὸν ἀδελφὸν συνελθεῖν καὶ τὸ τῆς γαμετῆς ὄνομα καρποῦσθαι· Κλεοπάτραν δὲ, τοσούτων ἀνθρώπων βασιλεύουσαν, ἐρωμένην Ἀντωνίου καλεῖσθαι, καὶ τοὔνομα τοῦτο μὴ φεύγειν μηδ' ἀπαξιοῦν, ἕως ὁρᾷν ἐκεῖνον ἔξεσται καὶ συζῆν· ἀπελαυνομένην δὲ τούτου μὴ περιβλώσεσθαι. Τέλος δ' οὖν οὕτω τὸν ἄνθρωπον ἐξέτηξαν καὶ ἀπεθήλυναν, ὥστε δείσαντα, μὴ Κλεοπάτρα πρόηται τὸν βίον, εἰς Ἀλεξάνδρειαν ἐπανελθεῖν, τὸν δὲ Μῆδον εἰς ὥραν ἔτους ἀναβαλέσθαι, καίπερ ἐν στείραις τῶν Παρθικῶν εἶναι λεγομένων. Οὐ μὴν ἀλλὰ τοῦτον ἀναβὰς αὖθις εἰς φιλίαν προσηγάγετο, καὶ λαβὼν ἐνὶ τῶν ἐκ Κλεοπάτρας υἱῶν γυναῖκα μίαν αὐτοῦ τῶν θυγατέρων, ἔτι μικρὰν οὖσαν, ἐγγυήσας ἐπανῆλθεν, ἤδη πρὸς τὸν ἐμφύλιον πόλεμον τετραμμένος.

LIV. Ὀκταβίαν δὲ Καῖσαρ ὑβρίσθαι δοκοῦσαν, ὡς ἐπανῆλθεν ἐξ Ἀθηνῶν, ἐκέλευσε καθ' ἑαυτὴν οἰκεῖν. Ἡ δ' οὐκ ἔφη τὸν οἶκον ἀπολείψειν τοῦ ἀνδρός· ἀλλὰ κἀκεῖνον αὐτὸν, εἰ μὴ δι' ἑτέρας αἰτίας ἔγνωκε πολεμεῖν Ἀντωνίῳ, παρεκάλει τὰ καθ' ἑαυτὴν ἐᾶν· ὡς οὐδ' ἀκοῦσαι καλὸν, εἰ τῶν μεγίστων αὐτοκρατόρων ὁ μὲν δι' ἔρωτα γυναικὸς, ὁ δὲ διὰ ζηλοτυπίαν, εἰς ἐμφύλιον πόλεμον Ῥωμαίους κατέστησε. Ταῦτα δὲ λέγουσα, 941
μᾶλλον ἐβεβαίου δι' ἔργων. Καὶ γὰρ ᾤκει τὴν οἰκίαν, ὥσπερ αὐτοῦ παρόντος ἐκείνου, καὶ τῶν τέκνων οὐ μόνον τῶν ἐξ ἑαυτῆς, ἀλλὰ καὶ τῶν ἐκ Φουλβίας γεγονότων, καλῶς καὶ μεγαλοπρεπῶς ἐπεμελεῖτο· καὶ τοὺς πεμπομένους ἐπ' ἀρχάς τινας, ἢ πράγματα, τῶν Ἀντωνίου φίλων ὑποδεχομένη, συνέπραττεν ὧν παρὰ Καίσαρος δεήθειεν. Ἀκουσα δ' ἔβλαπτε διὰ τούτων Ἀντώνιον· ἐμισεῖτο γὰρ ἀδίκων γυναῖκα τοιαύτην. Ἐμισήθη δὲ καὶ διὰ

τὴν διανέμησιν, ἣν ἐποιήσατο τοῖς τέκνοις ἐν Ἀλεξανδρείᾳ, τραγικὴν καὶ ὑπερήφανον καὶ μισορώμαιον φανεῖσαν. Ἐμπλήσας γὰρ ὄχλου τὸ γυμνάσιον, καὶ θέμενος ἐπὶ βήματος ἀργυροῦ δύο θρόνους χρυσοῦς, τὸν μὲν ἑαυτῷ, τὸν δὲ Κλεοπάτρᾳ, καὶ τοῖς παισὶν ἑτέρους ταπεινοτέρους· πρῶτον μὲν ἀπέφηνε Κλεοπάτραν βασίλισσαν Αἰγύπτου, καὶ Κύπρου, καὶ Λιβύης, καὶ κοίλης Συρίας, συμβασιλεύοντος αὐτῇ Καισαρίωνος, ὃς ἐκ Καίσαρος ἐδόκει τοῦ πρότερου γεγονέναι, Κλεοπάτραν ἔχων καταλιπόντος· δεύτερον δὲ, τοὺς ἐξ αὐτοῦ καὶ Κλεοπάτρας υἱοὺς βασιλεῖς βασιλίων ἀναγορεύσας, Ἀλεξάνδρῳ μὲν Ἀρμενίαν ἀπένειμε καὶ Μηδίαν, καὶ τὰ Πάρθων, ὅταν ὑπαγάγηται· Πτολεμαίῳ δὲ Φοινίκην καὶ Συρίαν καὶ Κιλικίαν· ἅμα δὲ καὶ προήγαγε τῶν παίδων Ἀλέξανδρον μὲν ἐσθῆτι Μηδικῇ, τιάραν καὶ κίταριν ὀρθὴν ἔχουσῃ, Πτολεμαῖον δὲ κρηπῖσι καὶ χλαμύδι καὶ καυσίᾳ διαδηματοφόρῳ κεκοσμημένον. Αὕτη γὰρ ἦν σκευὴ τῶν ἀπ' Ἀλεξάνδρου βασιλέων, ἐκείνη δὲ Μήδων καὶ Ἀρμενίων. Ἀσπασαμένων δὲ τῶν παίδων τοὺς γονεῖς, τὸν μὲν Ἀρμενίων φυλακὴ περιέστησε, τὸν δὲ Μακεδόνων. Κλεοπάτρα μὲν γὰρ καὶ τότε καὶ τὸν ἄλλον χρόνον εἰς πλῆθος ἐξιοῦσα, στολὴν ἑτέραν ἱερὰν Ἴσιδος ἐλάμβανε, καὶ θεὰ Ἶσις ἐχρημάτιζε.

LV. Ταῦτα δ' εἰς σύγκλητον ἐκφέρων Καῖσαρ, καὶ πολλάκις ἐν τῷ δήμῳ κατηγορῶν, παρώξυνε τὸ πλῆθος ἐπ' Ἀντώνιον. Ἔπεμψε δὲ καὶ Ἀντώνιος ἀντεγκαλῶν ἐκείνῳ. Μέγιστα δ' ἦν, ὧν ἐνεκάλει, πρῶτον μὲν, ὅτι, Πομπηΐου Σικελίαν ἀφελόμενος, οὐκ ἔνειμε μέρος αὐτῷ τῆς νήσου· δεύτερον, ὅτι χρησάμενος ναῦς παρ' αὐτοῦ πρὸν τὸν πόλεμον, ἀπεστέρησε· τρίτον, ὅτι τὸν συνάρχοντα Λέπιδον ἐκβαλὼν τῆς ἀρχῆς, καὶ ποιήσας ἄτιμον, αὐτὸς ἔχει στρατὸν καὶ χώραν, καὶ προσόδους τὰς ἐκείνῳ προανεμηθείσας· ἐπὶ πᾶσιν, ὅτι τοῖς αὐτοῦ στρατιώταις ἅπασαν ὀλίγου δεῖν Ἰτα-

λίαν καταπεπληρώχηκεν μηδὲν λιπὼν τοῖς ἐκείνου. Πρὸς ταῦτα Καῖσαρ ἀπελογεῖτο, Λέπιδον μὲν ὑβρίζοντα καταπαῦσαι τῆς ἀρχῆς· ἃ δ' ἔσχηκε πολεμήσας, νεμήσεσθαι πρὸς Ἀντώνιον, ὅταν κἀκεῖνος Ἀρμενίαν πρὸς αὐτόν· τοῖς δὲ στρατιώταις Ἰταλίας μὴ μετεῖναι· Μηδίαν γὰρ ἔχειν καὶ Παρθίαν αὐτούς, ἃς προσεκτήσαντο Ῥωμαίοις, καλῶς ἀγωνισάμενοι μετὰ τοῦ αὐτοκράτορος.

LVI. Ταῦτ' ἐν Ἀρμενίᾳ διατρίβων Ἀντώνιος ἤκουσε· καὶ Κανίδιον εὐθὺς ἐκέλευσεν ἐκκαίδεκα τέλη λαβόντα καταβαίνειν ἐπὶ θάλασσαν. Αὐτὸς δὲ Κλεοπάτραν ἀναλαβὼν εἰς Ἔφεσον ἦκε. Καὶ τὸ ναυτικὸν ἐκεῖ συνῆει πανταχόθεν, ὀκτακόσιαι σὺν ὅλκάσι νῆες, ὧν Κλεοπάτρα παρεῖχε διακοσίας, καὶ τάλαντα δισμύρια, καὶ τροφὴν τῷ στρατῷ παντὶ πρὸς τὸν πόλεμον. Ἀντώνιος δὲ πεισθεὶς ὑπὸ Δομιτίου καὶ τινων ἄλλων, ἐκέλευε Κλεοπάτραν πλεῖν ἐπ' Αἰγύπτου, κἀκεῖ διακαραδοκεῖν τὸν πόλεμον. Ἡ δὲ φοβουμένη τὰς δι' Ὀκταβίας πάλιν αὐτοῦ διαλύσεις, ἔπεισε πολλοῖς Κανιδίου χρήμασιν Ἀντωνίῳ διαλεχθῆναι περὶ αὐτῆς, ὡς οὔτε δίκαιον, ἀπελαύνεσθαι τοῦ πολέμου γυναῖκα συμβολὰς τηλικαύτας διδοῦσαν, οὔτε συμφέρον, ἀθυμο- 942
τέρους ποιεῖν τοὺς Αἰγυπτίους, μέγα μέρος τῆς ναυτικῆς δυνάμεως ὄντας· ἄλλως δὲ μηδ' ὁρᾶν, οὕτινος τῶν συστρατευόντων βασιλέων ἀπολείποιτο τῷ φρονεῖν Κλεοπάτρα, πολὺν μὲν χρόνον δι' αὐτῆς κυβερνῶσα βασιλείαν τοσαύτην, πολὺν δ' ἐκείνῳ συνοῦσα, καὶ μανθάνουσα χρῆσθαι πράγμασι μεγάλοις. Ταῦτα (ἔδει γὰρ εἰς Καίσαρα πάντα περιελθεῖν) ἐνίκα· καὶ ἀμνησθεὶς τῶν δυνάμεων, πλεύσαντες εἰς Σάμον ἐν εὐπαθείαις ἦσαν. Ὥσπερ γὰρ βασιλεῦσι καὶ δυνάσταις καὶ τετράρχαις, ἔθνεσί τε καὶ πόλεσι πᾶσαις, ταῖς μεταξὺ Συρίας, καὶ Μαιώτιδος, καὶ Ἀρμενίας, καὶ Ἰλλυριῶν προείρητο πέμπειν καὶ κομίζειν τὰς εἰς τὸν πόλεμον παρασκευάς, οὕτω πᾶσι τοῖς περὶ τὸν Διόνυσον

τεχνίταις ἐπάναγκες ἦν εἰς Σάμον ἀπανέμειν καὶ τῆς ἐν κύκλῳ σχεδὸν ἁπάσης οἰκουμένης περιθρηνουμένης καὶ περιστεναζομένης, μία νῆσος ἐφ' ἡμέρας πολλὰς κατηυλεῖτο καὶ κατεψάλλετο, πληρουμένων θεάτρων καὶ χορῶν ἀγωνιζομένων. Συνέθυε δὲ καὶ πόλις πᾶσα βοῦν πέμπουσα, καὶ βασιλεῖς δημιλλῶντο ταῖς ὑποδοχαῖς καὶ δωρεαῖς πρὸς ἀλλήλους. Ὥστε καὶ λόγος διῆλθε, τίνες ἔσονται κρατήσαντες ἐν τοῖς ἐπινικίοις οἱ τοῦ πολέμου τὰς παρασκευὰς οὕτω πολυτελῶς ἑορτάζοντες.

LVII. Γενόμενος δ' ἀπὸ τούτων, τοῖς μὲν περὶ τὸν Διόνυσον τεχνίταις Πριήνην ἔδωκεν οἰκητήριον· αὐτὸς δὲ πλεύσας εἰς Ἀθήνας, πάλιν ἐν παιδιαῖς ἦν καὶ θεάτροις· ζηλοτυποῦσα δὲ Κλεοπάτρα τὰς Ὀκταβίας ἐν τῇ πόλει τιμὰς (ἠγαπήθη γὰρ ὑπὸ τῶν Ἀθηναίων ἡ Ὀκταβία μάλιστα) πολλαῖς ἀνελάμβανε φιλοτιμίαις τὸν δῆμον. Οἱ δὲ τιμὰς αὐτῇ ψηφισάμενοι, πρέσβεις ἔπεμψαν ἐπὶ τὴν οἰκίαν τὸ ψήφισμα κομίζοντας, ὧν εἷς ἦν Ἀντώνιος, ὡς δὴ πολίτης Ἀθηναίων καὶ δὴ καταστὰς ἐπ' αὐτῆς, λόγον ὑπὲρ τῆς πόλεως διεξῆλθεν. Εἰς δὲ Ῥώμην ἔπεμψε τοὺς Ὀκταβίαν ἐκ τῆς οἰκίας ἐκβαλοῦντας. Ἀπελθεῖν δὲ φασιν αὐτὴν, τὰ μὲν τέκνα πάντα Ἀντωνίου μεθ' ἑαυτῆς ἔχουσαν, ἄνευ τοῦ πρεσβυτάτου τῶν ἐκ Φουλβίας, (ἐκεῖνος γὰρ ἦν παρὰ τῷ πατρὶ) κλαίουσαν δὲ καὶ δυσφορουμένην, εἰ δόξει μία τῶν αἰτιῶν τοῦ πολέμου καὶ αὐτὴ γεγονέναι. Ῥωμαῖοι δ' ὤκτειρον οὐκ ἐκείνην, ἀλλ' Ἀντώνιον, καὶ μᾶλλον οἱ Κλεοπάτραν ξωρακότες, οὔτε κάλλει τῆς Ὀκταβίας, οὔτε ὥρᾳ διαφέρουσαν.

LVIII. Καῖσαρ δὲ τὸ τάχος καὶ τὸ μέγεθος τῆς παρασκευῆς ἀκούσας, ἐθορυβήθη, μὴ τοῦ θέρους ἐκείνου διαπολεμεῖν ἀναγκασθῇ. Καὶ γὰρ ἐνέδει πολλά, καὶ τοὺς ἀνθρώπους ἐλύπουν αἱ τῶν χρημάτων εἰσπράξεις· ἀναγκαζόμενοι γὰρ οἱ μὲν ἄλλοι τὰ τέταρτα τῶν καρπῶν, οἱ δ' ἐξελευθερικοὶ τῶν πημάτων αὐτῶν τὰς ὀγδόας ἀποφέρειν, κατε-

βόων αὐτοῦ, καὶ ταραχαὶ κατεῖχον ἐκ τούτων ἅπασαν τὴν Ἰταλίαν. Ὅθεν ἐν τοῖς μεγίστοις ἁμαρτήμασιν Ἀντωνίου τὴν ἀναβολὴν τοῦ πολέμου τίθενται. Καὶ γὰρ παρασκευάσασθαι χρόνον ἔδωκε Καίσαρι, καὶ τὰς ταραχὰς τῶν ἀνθρώπων ἐξέλυσε. Πραττόμενοι γὰρ ἡγριαίνοντο, πραχθέντες δὲ καὶ δόντες ἡσύχαζον. Τίτιος δὲ καὶ Πλάγκος, Ἀντωνίου φίλοι, τῶν ὑπατικῶν, ὑπὸ Κλεοπάτρας προπηλακιζόμενοι (πλεῖστα γὰρ ἠναντιώθησαν αὐτῇ περὶ τοῦ συστρατεύειν) ἀποδράντες ᾤχοντο πρὸς Καίσαρα, καὶ περὶ τῶν Ἀντωνίου διαθηκῶν ἐγίνοντο μηνυταὶ, τὰ γεγραμμένα συνειδότες. Ἀπέκειντο δ' αὗται παρὰ ταῖς Ἑστιάσι παρθένοις, καὶ Καίσαρος αἰτοῦντος, οὐκ ἔδωκαν· εἰ δὲ βούλοιτο λαμβάνειν, ἐλθεῖν αὐτὸν ἐκέλευον. Ἔλαβεν οὖν ἐλθὼν καὶ πρῶτον μὲν αὐτὸς ἰδίᾳ τὰ γεγραμμένα διῆλθε, καὶ παρεσημήνατο τόπους τινὰς εὐκατηγορήτους· ἔπειτα τὴν βουλὴν 943
ἀθροίσας, ἀνεγίνωσκε, τῶν πλείστων ἀηδῶς ἐχόντων. Ἀλλόκοτον γὰρ ἔδοξεν εἶναι καὶ δεινὸν, ἐνθύνας τινὰ θιδόναι ζῶντα, περὶ ὧν ἐβουλήθη γενέσθαι μετὰ τὴν τελευτήν. Ἐπεφύετο δὲ τῶν γεγραμμένων μάλιστα τῷ περὶ τῆς ταφῆς. Ἐκέλευε γὰρ αὐτοῦ τὸ σῶμα, κἂν ἐν Ῥώμῃ τελευτήσῃ, διὰ ἀγορᾶς πομπευθὲν, εἰς Ἀλεξάνδρειαν ὡς Κλεοπάτραν ἀποσταλῆναι. Καλουΐσιος δὲ, Καίσαρος ἑταῖρος, ἔτι καὶ ταῦτα τῶν εἰς Κλεοπάτραν ἐγκλημάτων Ἀντωνίῳ προὔφερε· χαρίσασθαι μὲν αὐτῇ τὰς ἐκ Περγάμου βιβλιοθήκας, ἐν αἷς εἶπεσι μυριάδες βιβλίων ἁπλῶν ἦσαν· ἐν δὲ συνδείπνῳ, πολλῶν παρόντων, ἀναστάντα τρίβειν αὐτῆς τοὺς πόδας, ἐκ τινος ὁρισμοῦ καὶ συνθήκης γενομένης· Ἐφεσίους δ' ἀναπείθεσθαι, παρόντος αὐτοῦ, κυρίαν τὴν Κλεοπάτραν ἀσπασαμένους· δικάζοντα δὲ πολλάκις παρόρμας καὶ βασιλεῦσιν ἐπὶ βήματος, δελτάρια τῶν ἐρωτικῶν ὀνύχινα καὶ κρυστάλλινα δέχεσθαι παρ' αὐτῆς, καὶ ἀναγινώσκειν. Φουρνίου δὲ λέγοντος, ὃς ἦν ἀξιώματος μεγάλου, καὶ δεινότατος εἰπεῖν Ῥωμαίων, τὴν μὲν Κλεοπάτραν ἐν φορείῳ διὰ τῆς ἀγορᾶς νομίζεσθαι, τὸν δ'

Ἀντώνιον, ὡς εἶδεν, ἀναπηδήσαντα, τὴν μὲν δίαιταν ἀπολιπεῖν, ἐκπρεμαννύμενον δὲ τοῦ φορείου παραπέμπειν ἐκείνην.

LIX. Ἀλλὰ τούτων μὲν ἐδόκει τὰ πλεῖστα καταψεύδεσθαι Καλουΐσιος. Οἱ δὲ φίλοι τοῦ Ἀντωνίου περιϊόντες ἐν Ῥώμῃ τὸν δῆμον ἱκέτευον, ἕνα δ' ἐξ αὐτῶν ἔπεμψαν, Γεμίνιον, δεόμενοι τοῦ Ἀντωνίου, μὴ περιϊδεῖν αὐτὸν ἀποψηφισθέντα τῆς ἀρχῆς, καὶ πολέμιον Ῥωμαίων ἀναγορευθέντα. Γεμίνιος δὲ πλεύσας εἰς τὴν Ἑλλάδα, Κλεοπάτρᾳ μὲν ἦν ὑποπτος, ὡς ὑπὲρ Ὀκταβίας πράττων, σκωπτόμενος δὲ παρὰ δεῖπνον ἀεὶ, καὶ πλησίαις ἀτίμοις προπηλακιζόμενος ἠνείχετο, καιρὸν ἐντεύξεως ἀναμένων· κελευσθεὶς δὲ λέγειν, ἐφ' οἷς ἥκει, παρὰ τὸ δεῖπνον, τὴν μὲν ἄλλην ἔφη νήφοντος εἶναι διάλεξιν, ἐν δὲ καὶ νήφων ἐπίστασθαι καὶ μεθύων, ὅτι καλῶς ἔξει πάντα, Κλεοπάτρας εἰς Αἴγυπτον ἀπαλλαγείσης. Πρὸς τοῦτο τοῦ Ἀντωνίου χαλεπήναντος, ἡ Κλεοπάτρα· ,,Καλῶς, ἔφη, πεποίηκας, ὦ Γεμίνιε, τὴν ἀλήθειαν ἄνευ βασάνων ἐξομολογησάμενος.'' Γεμίνιος μὲν οὖν μετ' ὀλίγας ἡμέρας ἀποδρὰς εἰς Ῥώμην ᾤχετο. Πολλοὺς δὲ καὶ τῶν ἄλλων φίλων οἱ Κλεοπάτρας κόλακες ἐξέβαλον, τὰς παροινίας καὶ βωμολοχίας οὐχ ὑπομένοντας· ὧν καὶ Μάρκος ἦν Σιλανὸς, καὶ Δέλλιος, ὁ ἱστορικός. Οὗτος δὲ καὶ δείσαι φησὲν ἐπιβουλὴν ἐκ Κλεοπάτρας, Γλαύκου, τοῦ ἰατροῦ, φράσαντος αὐτῷ. Προσέπρουσε δὲ Κλεοπάτρᾳ παρὰ δεῖπνον, εἰπών, αὐτοῖς μὲν ὀξίνην ἐγχεῖσθαι, Σάρμεντον δὲ πίνειν ἐν Ῥώμῃ Φαλερῖνον. Ὁ δὲ Σάρμεντος ἦν τῶν Καίσαρος παιγνίων παιδάριον, ἃ διλίπια Ῥωμαῖοι καλοῦσιν.

LX. Ἐπεὶ δὲ παρεσκεύαστο Καῖσαρ ἱκανῶς, ψηφίζεται Κλεοπάτρᾳ πολεμεῖν, ἀφελέσθαι δὲ τῆς ἀρχῆς Ἀντώνιον, ἧς ἐξέστη γυναικί. Καὶ προσέπεσε Καίσαρι, ὡς Ἀντώνιος μὲν ὑπὸ φαρμάκων αὐθ' ἑαυτοῦ κρατοίη· πολεμοῦσι δ' αὐτοῖς Μαρδίων, ὁ εὐνοῦχος, καὶ Πόθεινος, καὶ Εἰρᾶς, ἡ Κλεοπάτρας

πουρεύτρια, καὶ Χάρμιον, ὑφ' ὧν τὰ μέγιστα διοικεῖται τῆς ἡγεμονίας. Σημεῖα δὲ πρὸ τοῦ πολέμου τάδε γενέσθαι λέγεται. Πέτσαυρα μὲν, Ἀντωνίου πόλις κληρουχία, ὠκισμένη παρὰ τὸν Ἀδρίαν, χασμάτων ὑπορραγέντων, κατεπόθη. Τῶν δὲ περὶ Ἄλβαν Ἀντωνίου λιθίνων ἀνδριάντων ἑνὸς ἱδρῶτα ἀνέπλυνεν ἡμέρας πολλὰς, ἀποματτόντων τινῶν, οὐ παυόμενος Ἐν δὲ Πάτραις διατρίβοντος αὐτοῦ, περιπνεῖς ἐνεπρήσθη τὸ Ἡράκλειον· καὶ τῆς Ἀθη- 944
νᾶς γιγαντομαχίας ὑπὸ πνευμάτων ὁ Διόνυσος ἐκσεισθεὶς εἰς τὸ θέατρον κατηνέχθη. Προσωπεῖον δ' ἑαυτὸν Ἀντώνιος Ἡρακλεῖ κατὰ γένος, καὶ Διονύσῳ κατὰ τὸν τοῦ βίου ζῆλον, ὥσπερ εἴρηται, Διόνυσος νέος προσαγορευόμενος. Ἡ δ' αὐτὴ θύελλα καὶ τοὺς Εὐμενοῦς καὶ Ἀτταλου κολοσσοὺς, ἐπιγεγραμμένους Ἀντωνίους, Ἀθήνῃσιν ἐμπεσοῦσα, μόνους ἐκ πολλῶν ἀνέτρεψε. Ἡ δὲ Κλεοπάτρας ναυαρχὶς ἐκαλεῖτο μὲν Ἀντωνίας· σημεῖον δὲ περὶ αὐτὴν δεινὸν ἐφάνη. Χελιδόνες γὰρ ὑπὸ τὴν πρύμναν ἐνεόττευσαν· ἕτεραι δ' ἐπελθοῦσαι καὶ ταύτας ἐξήλασαν, καὶ τὰ νεόττια διέφθειραν.

LXI. Συνιόντων δὲ πρὸς τὸν πόλεμον, Ἀντωνίᾳ μὲν ἦσαν αἱ μάχιμοι νῆες οὐκ ἐλάττους πεντακοσίων, ἐν αἷς ἀκτήρεις πολλαὶ καὶ δεκήρεις, κεκοσμημέναι σοβαρῶς καὶ πανηγυρικῶς· στρατοῦ δὲ μυριάδες δέκα, δισχίλιοι δ' ἱππεῖς ἐπὶ μυρίοις. Βασιλεῖς δ' ὑπήκοοι συνεμάχουν, Βόκχος, ὁ Λιβύων, καὶ Ταρκόνδημος, ὁ τῆς ἄνω Κιλικίας, καὶ Καππαδοκίας μὲν Ἀρχέλαος, Παφλαγονίας δὲ Φιλάδελφος, Κομμαγηνῆς δὲ Μιθριδάτης, Ἀδάλλας δὲ Θρᾴκης. Οὗτοι μὲν αὐτῷ παρῆσαν. Ἐκ δὲ Πόντου Πολέμων στρατὸν ἔπεμπε, καὶ Μάλχος ἐξ Ἀραβίας, καὶ Ἡρῴδης ὁ Ἰουδαῖος· ἔτι δ' Ἀμύντας, ὁ Λυκαόνων, καὶ [Δηϊόταρος, ὁ] Γαλατῶν βασιλεύς· ἦν δὲ καὶ παρὰ τοῦ Μήδων βασιλέως ἀπεσταλμένη βοήθεια. Καίσαρι δὲ νῆες ἦσαν πρὸς ἑλκην πεντήκοντα καὶ διακόσιαι, στρατοῦ δ' ὀκτὼ μυριάδες, ἱππεῖς δὲ παραπλήσιοι τὸ πλῆθος τοῖς πολεμίοις. Ἦρχον δ', Ἀντω-

νους μὲν τῆς ἀπ' Εὐφράτου καὶ Ἀρμενίας μέχρι πρὸς τὸν Ἰόνιον καὶ Ἰλλυριούς· Καῖσαρ δ' ἀπ' Ἰλλυριῶν τῆς ἐπὶ τὸν ἑσπέριον ὠκεανὸν καθηκούσης, καὶ τῆς ἀπ' ὠκεανοῦ πάλιν ἐπὶ τὸ Τυρρηνικὸν καὶ Σικελικὸν πέλαγος. Λιβύης δὲ τὴν Ἰταλίᾳ καὶ Γαλατίᾳ καὶ Ἰβηρίᾳ μέχρι στηλῶν Ἡρακλείων ἀντιπαρήκουσαν εἶχε Καῖσαρ· τὰ δ' ἀπὸ Κυρήνης μέχρις Αἰθιοπίας Ἀντώνιος.

LXII. Οὕτω δ' ἄρα προσθήκη τῆς γυναικὸς ἦν, ὥστε τῷ πεζῷ πολὺ διαφέρων, ἐβούλετο τοῦ ναυτικοῦ τὸ πράτας εἶναι διὰ Κλεοπάτραν καὶ ταῦτα, πληρωμάτων ἀπορίᾳ συναρταζομένους ὁρῶν ὑπὸ τῶν τριηραρχῶν ἐκ τῆς πολλὰ δὴ τλάσης Ἑλλάδος θεοπόρους, ὀνηλάτας, θεριστὰς, ἐφήβους· καὶ οὐδ' οὕτω πληρουμένας τὰς ναῦς, ἀλλὰ τὰς πλείστας ἀποδεεῖς καὶ μογθηρῶς πλεούσας. Καῖσαρ δ' οὐ πρὸς ὕψος, οὐδ' ὄγκον, ἐπιδεικτικῶς πεπηγυίας ναυσὶν, εὐστρόφους δὲ καὶ ταχείας καὶ πεπληρωμένας ἀκριβῶς ἐξηρτυμένος, ἐν Ταράντι καὶ Βρεντησίῳ συνέχων τὸ ναυτικὸν, ἔπεμπε πρὸς Ἀντώνιον, ἀξιῶν μὴ διατρίβειν τὸν χρόνον, ἀλλ' ἔρχεσθαι μετὰ τῶν δυνάμεων· αὐτὸς δὲ τῷ μὲν στόλῳ παρέξειν ὅρμους ἀκωλύτως καὶ λιμένας, ὑποχωρήσειν δὲ τῷ πεζῷ τῆς Ἰταλίας ἵππου δρόμον ἀπὸ θαλάσσης, μέχρις ἂν ἀσφαλῶς ἀποβῇ καὶ στρατοπεδεύσηται. Τούτοις ἀντικομπάζων Ἀντώνιος, αὐτὸν μὲν εἰς μονομαχίαν προὐκαλεῖτο, καίπερ ὢν πρεσβύτερος· εἰ δὲ φεύγοι τοῦτο, περὶ Φάρσαλον ἤδη τοῖς στρατεύμασιν, ὡς πάλαι Καῖσαρ καὶ Πομπήϊος, διαγωνίσασθαι. Φθάνει δὲ Καῖσαρ, Ἀντωνίου περὶ τὸ Ἄκτιον ὁρμοῦντος, ἐν ᾧ τόπῳ νῦν ἡ Νικόπολις ἵδρυται, διαβαλὼν τὸν Ἰόνιον, καὶ τῆς Ἠπείρου χωρίον, ὃ Τορύνη καλεῖται, κατασχὼν· θορυβουμένων δὲ τῶν περὶ τὸν Ἀντώνιον, (ὑστέρει γὰρ ὁ πεζὸς αὐτοῖς) ἡ μὲν Κλεοπάτρα πεπτώκυια· „Τί δεινὸν, ἔλεγεν, εἰ Καῖσαρ ἐπὶ τῇ τορύνῃ πάθηται;“

LXIII. Ἀντώνιος δ', ἅμα ἡμέρᾳ τῶν πολεμίων ἐπιπλεόντων, φοβηθεὶς, μὴ τῶν ἐπιβατῶν ἔρημους

ἕλωσι τὰς ναῦς, τοὺς μὲν ἐρέτας ὁπλίσας ἐπὶ
τῶν καταστρωμάτων παρέταξεν ὄψεως ἕνεκα, τοὺς 945
δὲ ταρσοὺς τῶν νεῶν ἐγείρας καὶ πτερώσας, ἑκα-
τέρωθεν ἐν τῷ στόματι περὶ τὸ Ἄκτιον ἀντι-
πρώρους συνεῖχεν, ὡς ἐνήρεις καὶ παρεσκευασμέ-
νας ἀμύνεσθαι. Καὶ Καῖσαρ μὲν οὕτω κατα-
στρατηγηθεὶς ἀπεχώρησεν. Ἔδοξε δὲ καὶ τὸ ὕδωρ
εὐμηχάνως ἐρύμασί τισιν ἐμπεριλαβὼν, ἀφελέ-
σθαι τοὺς πολεμίους, τῶν ἐν κύπλῳ χωρίων ὀλί-
γον καὶ πονηρὸν ἐχόντων. Εὐγνωμόνως δὲ καὶ
Δομιτίῳ προσηνέχθη παρὰ τὴν Κλεοπάτρας γνώ-
μην. Ἐπεὶ γὰρ ἐκεῖνος ἤδη πυρέττων εἰς μικρὸν
ἐμβὰς ἀκάτιον, πρὸς Καίσαρα μετέστη, βαρέως
ἐνεγκὼν ὁ Ἀντώνιος, ὅμως πᾶσαν αὐτῷ τὴν ἀπο-
σκευὴν μετὰ τῶν φίλων καὶ τῶν θεραπόντων
ἀπέπεμψε. Καὶ Δομίτιος μὲν, ὥσπερ ἐπὶ τῷ
μὴ λαθεῖν τὴν ἀπιστίαν αὐτοῦ καὶ προδοσίαν
μεταβαλλόμενος, εὐθὺς ἐτελεύτησεν. Ἐγένοντο δὲ
καὶ βασιλέων ἀποστάσεις, Ἀμύντου καὶ Δηιοτά-
ρου, πρὸς Καίσαρα. Τὸ δὲ ναυτικὸν ἐν παντὶ
δυσπραγεῖν καὶ πρὸς ἅπασαν ὑστερίζον βοήθειαν,
αὖθις ἠνάγκαζε τῷ πεζῷ προσέχειν τὸν Ἀντώ-
νιον. Ἔσχε δὲ καὶ Κανίδιον, τὸν ἄρχοντα τοῦ
πεζοῦ, μεταβολὴ γνώμης παρὰ τὰ δεινά· καὶ συνε-
βούλευε Κλεοπάτραν μὲν ἀποπέμπειν, ἀναχωρή-
σαντα δ' εἰς Θράκην, ἢ Μακεδονίαν, πεζομα-
χίᾳ κρῖναι. Καὶ γὰρ Δηκόμης, ὁ Γετῶν βασι-
λεὺς, ὑπισχνεῖτο πολλῇ στρατιᾷ βοηθήσειν· οὐκ
εἶναι δ' αἰσχρὸν, εἰ Καίσαρι, γεγυμνασμένῳ πε-
ρὶ τὸν Σικελικὸν πόλεμον, ἐναντήσονται τῆς θα-
λάσσης, ἀλλὰ δεινὸν, εἰ τῶν πεζῶν ἀγώνων ἐμ-
πειροτατος ὢν Ἀντώνιος οὐ χρήσεται ῥώμῃ καὶ
παρασκευῇ τοσούτων ὁπλιτῶν, εἰς ναῦς διανέμων
καὶ καταναλίσκων τὴν δύναμιν. Οὐ μὴν ἀλλ'
ἐξενίκησε Κλεοπάτρα διὰ τῶν νεῶν κριθῆναι τὸν
πόλεμον, ἤδη πρὸς φυγὴν ὁρῶσα, καὶ τιθεμέ-
νη τὰ καθ' ἑαυτὴν, οὐχ ὅπου πρὸς τὸ νικᾶν ἔ-

σται χρήσιμος, ἀλλ' ὅθεν ἄπεισι ῥᾷστα, τῶν πραγμάτων ἀπολλυμένων. Ἦν δὲ μακρὰ σκέλη κατατείνοντα πρὸς τὸν ναύσταθμον ἀπὸ τῆς στρατοπεδείας, δι' ὧν ὁ Ἀντώνιος εἰώθει παριέναι μηδὲν ὑφορώμενος. Οἰόμενον δὲ Καίσαρι φράσαντος, ὡς δυνατὸν εἴη κατιόντα διὰ τῶν σκελῶν συλλαβεῖν αὐτόν, ἔπεμψε τοὺς ἐνεδρεύσοντας. Οἱ δὲ παρὰ τοσοῦτον ἦλθον, ὥστε συναρπάσαι τὸν προηγούμενον αὐτοῦ, προεξαναστάντες· αὐτὸς δὲ δρόμῳ μόλις ὑπεξέφυγεν.

LXIV. Ὡς δὲ ναυμαχεῖν ἐδέδοκτο, τὰς μὲν ἄλλας ἐνέπρησε ναῦς, πλὴν ἑξήκοντα τῶν Αἰγυπτίων· τὰς δ' ἀρίστας καὶ μεγίστας ἀπὸ τριήρους μέχρι δεκήρους ἐπλήρου, δισμυρίους ἐμβιβάζων ὁπλίτας, καὶ δισχιλίους τοξότας. Ἔνθα πεζομάχον ἄνδρα τῶν ταξιαρχῶν λέγουσι, Καμπόλλους ἡγωνισμένον ἀγῶνας Ἀντωνίῳ, καὶ κατατετριμμένον τὸ σῶμα, τοῦ Ἀντωνίου παρόντος, ἀνακλαύσασθαι, καὶ εἰπεῖν· „Ὦ αὐτοκράτορ, τί τῶν τραυμάτων τούτων, ἢ τοῦ ξίφους, κατηγνοὺς, ἐν ξύλοις πονηροῖς ἔχεις τὰς ἐλπίδας; Αἰγύπτιοι καὶ Φοίνικες ἐν θαλάσσῃ μαχέσθωσαν, ἡμῖν δὲ γῆν δὸς, ἐφ' ἧς εἰώθαμεν ἑστῶτες ἀποθνήσκειν, ἢ νικᾶν τοὺς πολεμίους.“ Πρὸς ταῦτα μηδὲν ἀποκρινόμενος, ἀλλὰ τῇ χειρὶ καὶ τῷ προσώπῳ μόνῳ οἷον ἐγκελευσάμενος τὸν ἄνδρα θαρρεῖν, παρῆλθεν, οὐ χρησταῖς ἔχων ἐλπίσι· ὅς γε καὶ τοὺς πυβερνήτας, τὰ ἱστία βουλομένους ἀπολιπεῖν, ἠνάγκασεν ἐμβαλέσθαι καὶ νομίζειν, λέγων, ὅτι δεῖ μηδένα φεύγοντα τῶν πολεμίων διαφυγεῖν.

LXV. Ἐκείνην μὲν οὖν τὴν ἡμέραν καὶ τρεῖς τὰς ἐφεξῆς μεγάλῳ πνεύματι πυμανθὲν τὸ πέλαγος τὴν μάχην ἐπέσχε, πέμπτῃ δὲ, νηνεμίας καὶ γαλήνης ἀκλύστου γενομένης, συνῆγεσαν· Ἀντώνιος μὲν τὸ δεξιὸν μέρας ἔχων καὶ Ποπλικόλας· Κοίλιος δὲ τὸ εὐώνυμον· ἐν μέσῳ δὲ Μάρκος Ὀκτάβιος, καὶ Μάρκος Ἰνστήϊος. Καῖσαρ δ' ἐπὶ 946

τοῦ εὐωνύμου τάξας Ἀγρίππαν, αὐτῷ τὸ δεξιὸν παρέλιπε. Τῶν δὲ πεζῶν, τῶν μὲν Ἀντωνίου, Κανίδιος τῶν δὲ Καίσαρος, Ταῦρος ἐπὶ τῆς θαλάττης παρατείναντες ἠυλίζοντο. Αὐτῶν δὲ τῶν ἡγεμόνων, Ἀντώνιος μὲν ἐπεφοίτα πανταχόσε κωπήρεσι, τοὺς στρατιώτας παραπαλαίων, ὑπὸ βραδυτῆτος τῶν νεῶν, ὥσπερ ἐν γῇ ἐθρυλλοῦντας μάχεσθαι, τοῖς δὲ πυρσεύμασι διαπελεύσμενος, ὥσπερ ὁρμούσαις ἀνάρμοις τοῖς ναυσὶ δέχεσθαι τὰς ἐμβολὰς τῶν πολεμίων, τὴν περὶ τὸ στόμα δυσχωρίαν φυλάττοντας. Καίσαρ δὲ ἄγεται μὲν ἔτι σπουδῆς ἀπὸ τῆς σκηνῆς κύκλῳ περιϊόντι πρὸς τὰς ναῦς ἄνθρωπος ἐλαύνων ὄνον ἀπαντήσας. Θυμούμενος δὲ τοὔνομα γνωρίσας αὐτὸν, εἶπεν· „Ἐμοὶ μὲν Εὔτυχος ὄνομα, τῷ δ' ὄνῳ Νίκων.“ Διὸ καὶ τοῖς ἐμβόλοις τὸν τύπον τοῦτον ὕστερον, ὄντως καλοῦν ὄνον καὶ ἄνθρωπον. Ἐπεὶ δὲ τὴν ἄλλην παράταξιν, ἐν πλοίῳ πρὸς τὸ δεξιὸν κομισθείς, ἐθαύμασεν ἀτρεμοῦντας ἐν τοῖς στενοῖς τοὺς πολεμίους. Ἡ γὰρ ὕφεσις ἦν τῶν νεῶν ἐπ' ἀγκυρῶν ὁρμουσῶν. Καὶ τοῦτο μέχρι πολλοῦ πεπεισμένος, ἀνεῖχε τοὺς ἑαυτοῦ, περὶ ὀπτὼ στάδια τῶν ἐναντίων ἀφεστώσας. Ἐκτὴ δ' ἦν ὥρα, καὶ πνεύματος αἰρομένου πελαγίου, δυσαναστρεπτοῦντες οἱ Ἀντωνίου πρὸς τὴν ὀναρσίβην, καὶ τοῖς ὕψεσι καὶ μεγέθεσι τῶν οἰκείων νεῶν ἀπιστοῦντες, ὡς ἀπροσμάχοις, τὸ εὐώνυμον ἐκίνησαν. Ἰδὼν δὲ Καίσαρ ἥδη, καὶ πρύμναν ἐπρώρατο τῷ δεξιῷ, βουλόμενος ἔτι μᾶλλον ἐκ τοῦ πλήθους καὶ τῶν στενῶν ἔξω τοὺς πολεμίους ἐπισπάσασθαι, καὶ περιπλεῦσαι εὐρυχωρίαν ἀναφέρουσι τοῖς ἑαυτοῦ συμπλέκεσθαι πρὸς τὰς ναῦς ὑπ' ὄγκου καὶ πληρώματων ὀλιγότητος ἀργὰς καὶ βραδείας.

LXVI. Ἀρχομένου δὲ τοῦ ἀγῶνος ἐν χερσὶν εἶναι, ἐμβολαὶ μὲν οὐκ ἦσαν, οὐδ' ἀναρρήξεις νεῶν· τῶν μὲν Ἀντωνίου διὰ βάρος ὑμὴν οὐκ

ἐχούσῶν, ἢ μάλιστα ποιεῖ τὰς τῶν ἐμβολῶν πλη-
γὰς ἐνεργούς· τῶν δὲ Καίσαρος οὐ μόνον ἀντιπρω-
ρων συμφέρεσθαι πρὸς χαλκώματα στερεὰ καὶ ἐρα-
χέα φυλασσομένων, ἀλλὰ μηδὲ κατὰ πλευρὰν ἐμ-
βολὰς διδόναι θαῤῥούντων. Ἀπεῤῥαύοντο γὰρ τὰ
ἔμβολα ῥᾳδίως, ἢ προσπίπτοντα σκάφεσι τετραγώ-
νων ξύλων μεγάλων σιδήρῳ συνηρμοσμένοις πρὸς
ἄλληλα δεδεμένοις. Ἦν οὖν πεζομαχία προσφε-
ρὴς ὁ ἀγών· τὸ δ' ἀληθέστερον εἰπεῖν, τειχομα-
χία. Τρεῖς γὰρ ἅμα καὶ τέσσαρες περὶ μίαν
τῶν Ἀντωνίου συνείχοντο, γέφυροι καὶ δόραξι
καὶ κοντοῖς χρωμένων καὶ πυροβόλοις· οἱ δ' Ἀν-
τωνίου καὶ καταπέλταις ἀπὸ ξυλίνων πύργων ἔβαλ-
λον. Ἀγρίππου δὲ θάτερον κέρας εἰς κύκλωσιν
ἐκτείναντος, ἀνταναγειν Ποπλικόλας ἀναγκα-
ζόμενος, ἀπερρήγνυτο τῶν μέσων. Θορυβουμέ-
νων δὲ τούτων, καὶ συμπλεκομένων τοῖς περὶ τὸν
Ἀρρούντιον, ἀκριτον δὲ καὶ κοινῆς ἔτι τῆς ναυ-
μαχίας συνεστώσης, αἰφνίδιον αἱ Κλεοπάτρας ἑξή-
κοντα νῆες ὤφθησαν αἰρόμεναι πρὸς ἀπόπλουν
τὰ ἱστία, καὶ διὰ μέσου φεύγουσαι τῶν μαχο-
μένων· ἦσαν γὰρ ὄπίσω τεταγμέναι τῶν μεγά-
λων, καὶ διεκπίπτουσαι τάραχην ἐποίουν. Οἱ δ'
ἐναντίοι θαυμάζοντες ἐθεῶντο, τῷ πνεύματι χρω-
μένας ὁρῶντες καὶ ἐπεχούσας πρὸς τὴν Πελοπόν-
νησον. Ἔνθα δὴ φανερὸν αὐτὸν Ἀντώνιος ἐποίη-
σεν, οὔτ' ἄρχοντος, οὔτε ἀνδρὸς, οὔτε ὅλως ἰδίοις
λογισμοῖς διοικουμένος, ἀλλ', ὅπερ τις παίζων εἶ-
πε, τὴν ψυχὴν τοῦ ἐρῶντος ἐν ἀλλοτρίῳ σώματι
ζῶν, ἑλκόμενος ὑπὸ τῆς γυναικὸς, ὥσπερ συμ-
πεφυκὼς καὶ συμμεταφερόμενος. Οὐ γὰρ ἔφθη
τὴν ἐκείνης ἰδὼν ναῦν ἀποπλέουσαν, καὶ πάν-
των ἐκλαθόμενος, καὶ προδοὺς καὶ ἀπροδὼς τοὺς
ὑπὲρ αὐτοῦ μαχομένους καὶ θνήσκοντας, εἰς
947 πεντήρη μετεμβὰς, Ἀλεξάνδρου τοῦ Σύρου καὶ
Σκελλίου μόνων αὐτῷ συνεμβάντων, ἐδίωκε τὴν
ἀπολωλεκυῖαν ἤδη καὶ προσαπολοῦσαν αὐτόν.

LXVII. Ἐκείνη δὲ γνωρίσασα σημεῖον ἀπὸ

τῆς νεὼς ἀνέσχε καὶ προσενεχθεὶς οὕτω καὶ ἀναληφθεὶς, ἐκείνην μὲν οὔτ' εἶδεν, οὔτ' ὤφθη· παρελθὼν δὲ μόνος εἰς πρῴραν, ἐφ' αὑτοῦ ἐκάθητο σιωπῇ, ταῖς χερσὶν ἀμφοτέραις ἐχόμενος τῆς περαλῆς. Ἐν τούτῳ δὲ λιβυρνίδες ὤφθησαν διώκουσαι παρὰ Καίσαρος· ὁ δ' ἀντίπρωρον ἐπιστρέφειν τὴν ναῦν κελεύσας, τὰς μὲν ἄλλας ἀνέστειλεν· Εὐρυκλῆς δ' ὁ Λάκων ἐνέκειτο σοβαρὸς, λόγχην τινὰ κραδαίνων ἀπὸ τοῦ καταστρώματος, ὡς ἀφήσων εἰς αὐτόν. Ἐπιστάντος δὲ τῇ πρῴρᾳ τοῦ Ἀντωνίου, καὶ, „Τίς οὗτος, εἰπόντος, ὁ διώκων Ἀντώνιον;" „Ἐγὼ, εἶπεν, Εὐρυκλῆς ὁ Λαχάρους, τῇ Καίσαρος τύχῃ τὸν τοῦ πατρὸς ἐκδικῶν θάνατον." Ὁ δὲ Λαχάρης ὑπ' Ἀντωνίου ληστείας αἰτίᾳ παραπεσὼν ἐπελεήσθη. Βλὴν οὐκ ἐνέβαλεν ὁ Εὐρυκλῆς εἰς τὴν Ἀντωνίου ναῦν, ἀλλὰ τὴν ἑτέραν τῶν ναυαρχίδων (δύο γὰρ ἦσαν) τῷ χαλκώματα παταξας περιερόμβησε, καὶ ταύτην τε πλαγίαν περιπεσοῦσαν εἶλε, καὶ τῶν ἄλλων μίαν, ἐν ᾗ πολυτελεῖς σκευαὶ τῶν περὶ θέατραν ἦσαν. Ἀπαλλαμένου δὲ τούτου, πάλιν ὁ Ἀντώνιος εἰς τὸ αὐτὸ σχῆμα καθεὶς ἑαυτὸν, ἡσυχίαν ἦγε· καὶ τρεῖς ἡμέρας καθ' ἑαυτὸν ἐν πρῴρᾳ διαιτηθεὶς, εἶθ' ὑπ' ὀργῆς, ἐξ αἰδούμενος ἐκείνην, Ταινάρῳ προσέσχεν. Ἐνταῦθα δ' αὐτοὺς αἱ συνήθεις γυναῖκες πρῶτον μὲν εἰς λόγους ἀλλήλοις συνήγαγον, εἶτα συνδειπνεῖν καὶ συγκαθεύδειν ἔπεισαν. Ἤδη δὲ καὶ τῶν στρογγύλων πλοίων οὐκ ὀλίγα, καὶ τῶν φίλων τινὲς ἐκ τῆς τροπῆς ἠθροίζοντο πρὸς αὐτους, ἀγγέλλοντες, ἀπολωλέναι τὸ ναυτικὸν, οἴεσθαι δὲ τὸ πεζὸν συνεστάναι. Ἀντώνιος δὲ πρὸς μὲν Κανίδιον ἀγγέλους ἔπεμψεν, ἀναχωρεῖν διὰ Μακεδονίας εἰς Ἀσίαν τῷ στρατῷ κατὰ τάχος κελεύων, αὐτὸς δὲ μέλλων ἀπὸ Ταινάρου πρὸς τὴν Λιβύην διαίρειν, ὁλκάδα μίαν πολὺ μὲν νόμισμα, πολλοῦ δ' ἀξίας ἐν ἀργύρῳ καὶ χρυσῷ κατασκευὰς τῶν βασιλικῶν χομίζουσαν ἐξελόμενος, τοῖς φί-

λοις ἐπέδωκε, κοινῇ νεύμασθαι καὶ δαίζειν ἑαυτοὺς κελεύσας. Ἀρνουμένους δὲ καὶ παίοντας εὐμενῶς πάνυ καὶ φιλοφρόνως παραμυθησάμενος καὶ δεηθείς, ἀπέστειλε γράψας πρὸς Θεόφιλον, τὸν ἐν Κορίνθῳ διοικητήν, ὅπως ἀσφαλείᾳ ἐκπορίσῃ, καὶ ἀποκρύψῃ τοὺς ἄνδρας, ἄχρις ἂν ἱλάσασθαι Καίσαρα δυνηθῶσιν. Οὗτος ἦν Θεόφιλος Ἱππάρχου πατὴρ, τοῦ πλείστων παρ' Ἀντωνίῳ δυνηθέντος, πρῶτον δὲ πρὸς Καίσαρα τῶν ἀπελευθέρων μεταβαλομένου, καὶ κατασφάξαντος ὕστερον ἐν Κορίνθῳ.

LXVIII. Ταῦτα μὲν οὖν τὰ κατὰ τὸν Ἀντώνιον. Ἐν Ἀκτίῳ δὲ πολὺν ὁ στόλος ἀντισχὼν Καίσαρι χρόνον, καὶ μέγιστον βλαβεὶς ὑπὸ τοῦ κλύδωνος ὑψηλοῦ κατὰ πρῴραν ἰσταμένου, μόλις ἅλως δεπάγης ἀπέπλε. Καὶ νεῶν μὲν οὐ πλείονας ἐγένοντο πεντακοσίλιων, ἁλώσιμα δὲ σφᾶς ἐποίησαν πᾶσες, ὡς αὐτὸς ἀνέγραψε Καῖσαρ. Ἡσθάνετο δ' οὐ πολλοὶ περιγιγνόμενοι Ἀντωνίου, καὶ τοῖς συνθεμένοις τὸ πρῶτον ἄπιστος ἦν ὁ λόγος, εἰ δέκα καὶ ἑπτὰ τάγματα πεζῶν αὐτῷ καὶ διαχιλίους ἐπὶ μυρίοις ἱππεῖς ἀπολιπὼν οἴχεται, καθάπερ οὐ πολλάκις ἐπ' ἀμφότερα τῇ τύχῃ μεχρημένος, οὐδὲ μυρίων ἀγώνων καὶ πολέμων μεταβολαῖς ἐγγεγυμνασμένος. Οἱ δὲ στρατιῶται καὶ πόθον εἶχον καὶ προσδοκίαν εἶχον, ὡς αὐτίκα ποθὲν ἐπιφανησομένου καὶ τραπέντι ἐπεβεβαίωντο πίστιν καὶ ἀρετήν, ὥστε καὶ τῆς φυγῆς αὐτοῦ φανερᾶς γενομένης, ἡμέρας ἕπτα καὶ δέκα περιορῶντες ἐπιπρεσβευόμενον αὐτοῖς Καίσαρα.

948 Τέλος δὲ, τοῦ στρατηγοῦ Κανιδίου κατάπλουν ἀποδράντος, καὶ καταλιπόντος τὸ στρατόπεδον, γενόμενοι πάντων ἔρημοι, καὶ προδοθέντες ὑπὸ τῶν ἀρχόντων, τῷ κρατοῦντι προσεχώρησαν. Ἐκ τούτου Καίσαρ μὲν ἐπ' Ἀθήνας ἐπλεύσει, καὶ διαλλαγεὶς τοῖς Ἕλλησι, τῶν περιόντα αὖτον ἐκ τοῦ πολέμου διένεμε τοῖς πόλεσι πρακτόρας ἀθλίως, καὶ περιπεμπόμενος χρημάτων, ἀπορατό-

δων, ὑποζυγίων. Ὁ γοῦν πρόπαππος ἡμῶν, Νίκαρχος, διηγεῖτο, τοὺς πολίτας ἅπαντας ἀναγκάζεσθαι τοῖς ὤμοις καταφέρειν μέτρημα πυρῶν τεταγμένον ἐπὶ τὴν πρὸς Ἀντίκυραν θάλασσαν, ὑπὸ μαστίγων ἐπισπερχομένους· καὶ μίαν μὲν αὐτῷ φορὰν ἐνεγκεῖν, τὴν δὲ δευτέραν ἤδη μεμετρημένους καὶ μέλλουσιν αἴρεσθαι, νενικημένου Ἀντώνιον ἀγγελθῆναι, καὶ τοῦτο διασῶσαι τὴν πόλιν· εὐθὺς γὰρ, τῶν Ἀντωνίου διοικητῶν καὶ στρατιωτῶν φυγόντων, διανείμασθαι τὸν σῖτον αὐτούς.

LXIX. Ἀντώνιος δὲ, Λιβύης ἀμέμπτως, καὶ Κλεοπάτραν εἰς Αἴγυπτον ἀπὸ Παραιτονίου προπέμψας, αὐτὸς ἀπέλαυεν ἐρημίας ἀφθόνου σὺν ὀλίγοις φίλοις ἄλυπα καὶ πλανώμενος, Ἕλληνι μὲν Ἀριστοκράτει ῥητορικῷ, Ῥωμαίῳ δὲ Λουκιλλίῳ περὶ οὗ δι' ἑτέρων γεγράφαμεν, ὡς ἐν Φιλίπποις, ὑπὲρ τοῦ διαφυγεῖν Βροῦτον, αὐτὸς αὐτὸν, ὡς δὴ Βροῦτος ὤν, ἐνεχείρισε τοῖς διώκουσι· καὶ διασωθεὶς ὑπ' Ἀντωνίου, διὰ τοῦτο πιστὸς αὐτῷ καὶ βέβαιος ἄχρι τῶν ἐσχάτων καιρῶν παρέμεινεν. Ἐπεὶ δὲ καὶ τὴν ἐν Λιβύῃ δύναμιν ἧς πεπιστευμένος ἀπέστησεν, ὁρμήσας ἑαυτὸν ἀνελεῖν, καὶ διακωλυθεὶς ὑπὸ τῶν φίλων, καὶ κομισθεὶς εἰς Ἀλεξάνδρειαν, εὗρε Κλεοπάτραν ἐπιτολμῶσαν ἔργῳ παραβόλῳ καὶ μεγάλῳ. Τοῦ γὰρ εἴργοντος ἰσθμοῦ τὴν ἐρυθρὰν ἀπὸ τῆς κατ' Αἴγυπτον θαλάσσης, καὶ διακόπτοντος Ἀσίαν καὶ Λιβύην ὁρίζειν, ἡ σφιγγεται μάλιστα τοῖς πελάγεσι, καὶ βραχύτατος εὖρός ἐστι, τριακοσίων σταδίων ὄντων, ἐνεχείρησεν ἆραι τὸν στόλον, ὑπερνεωλκῆσαι, καὶ καθεῖσα τὰς ναῦς εἰς τὸν Ἀραβικὸν κόλπον μετὰ χρημάτων πολλῶν καὶ δυνάμεως, ἔξω κατοικεῖν, ἀποφυγοῦσα βουλεύειν καὶ πόλεμον. Ἐπεὶ δὲ τὰς πρώτας ἀνελκομένας τῶν νεῶν οἱ περὶ τὴν Πέτραν Ἄραβες κατέπαυσαν, ἔτι δ' Ἀντώνιος τὸν ἐν Ἄκτιῳ στρατὸν ὅλον συμμένειν, ἐπαύσατο, καὶ τὰς ἐμβολὰς ἐφύλαττεν.

Ἀντώνιος δὲ, τὴν πόλιν ἐκλιπὼν καὶ τὰς μετὰ τῶν φίλων διατριβὰς, οἴκησιν ἔναλον κατεσκευάζεν αὐτῷ περὶ τὴν Φάρον, εἰς τὴν θάλασσαν χῶμα προβαλών· καὶ διῆγεν αὐτόθι φυγὰς ἀνθρώπων, καὶ τὸν Τίμωνος ἀγαπᾷν καὶ ζηλοῦν βίον ἔφασκεν, ὡς δὴ πεπονθὼς ὅμοια· καὶ γὰρ αὐτὸς ἀδικηθεὶς ὑπὸ φίλων καὶ ἀχαριστηθεὶς, διὰ τοῦτο πᾶσιν ἀνθρώποις ἀπιστεῖν καὶ δυσχεραίνειν.

LXX. Ὁ δὲ Τίμων ἦν Ἀθηναῖος, ὃς καὶ γέγονεν ἡλικίᾳ μάλιστα κατὰ τὸν Πελοποννησιακὸν πόλεμον, ὡς ἐκ τῶν Ἀριστοφάνους καὶ Πλάτωνος δραμάτων λαβεῖν ἐστιν. Κωμῳδεῖται γὰρ ἐν ἐκείνοις, ὡς δυσμενὴς καὶ μισάνθρωπος· ἐκκλίνων δὲ καὶ διωθούμενος ἅπασαν ἔντευξιν, Ἀλκιβιάδην, νέον ὄντα καὶ θρασὺν, ἠσπάζετο καὶ κατεφίλει προθύμως. Ἀπημάντου δὲ θαυμάσαντος, καὶ πυθομένου τὴν αἰτίαν, φιλεῖν ἔφη τὸν νεανίσκον, εἰδὼς, ὅτι πολλῶν Ἀθηναίοις κακῶν αἴτιος ἔσοιτο. Τὸν δ' Ἀπήμαντον μόνον, ὡς ὅμοιον αὐτῷ καὶ ζηλοῦντα τὴν δίαιταν, ἔστιν ὅτε προσίετο· καί ποτε, τῆς τῶν Χοῶν οὔσης ἑορτῆς, εἱστιῶντο καθ' αὑτοὺς οἱ δύο. Τοῦ δ' Ἀπημάντου φήσαντος· „Ὡς καλὸν, ὦ Τίμων, τὸ συμπόσιον ἡμῶν!“ „Εἴγε σὺ, ἔφη, μὴ παρείης.“ Λέγεται δ', Ἀθηναίων ἐκκλησιαζόντων, ἀναβὰς ἐπὶ τὸ βῆμα ποιῆσαι σιωπὴν καὶ προσδοκίαν με-
949 γάλην διὰ τὸ παράδοξον· εἶτ' εἰπεῖν· „Ἔστι μοι μικρὸν οἰκόπεδον, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ συκῆ τις ἐν αὐτῷ πέφυκεν, ἐξ ἧς ἤδη συχνοὶ τῶν πολιτῶν ἀπήγξαντο. Μέλλων οὖν οἰκοδομεῖν τὸν τόπον, ἐβουλήθην δημοσίᾳ προειπεῖν, ἵν', ἂν ἄρα τινὶς ἐθέλωσιν ὑμῶν, πρὶν ἐκκοπῆναι τὴν συκῆν, ἀπάγξωνται.“ Τελευτήσαντος δ' αὐτοῦ, καὶ ταφέντος Ἁλῇσι παρὰ τὴν θάλασσαν, ὤλισθε τὰ προὔχοντα τοῦ αἰγιαλοῦ· καὶ τὸ κῦμα περιελθὸν, ἄβατον καὶ ἀπροσπέλαστον ἀν-

θρώπῳ πεποίηκε τὸν τάφον. Ἦν δ' ἐπιγεγραμμένον·

Ἐνθάδ' ἀποῤῥήξας ψυχὴν βαρυδαίμονα κεῖμαι.
Τοὔνομα δ' οὐ πεύσεσθε, κακοὶ δὲ κακῶς ἀπόλοισθε.

Καὶ τοῦτο μὲν αὐτὸν ἔτι ζῶντα πεποιηκέναι λέγουσι, τὸ δὲ περιφερόμενον Καλλιμάχειόν ἐστι·

Τίμων μισάνθρωπος ἐσοικέω. Ἀλλὰ πάρελθε,
Οἰμώζειν εἶπας πολλά, πάρελθε μόνον.

LXXI. Ταῦτα μὲν περὶ Τίμωνος ἀπὸ πολλῶν ὀλίγα. Τῷ δ' Ἀντωνίῳ Κανίδιός τε τῆς ἀποβολῆς τῶν ἐν Ἀκτίῳ δυνάμεων αὐτάγγελος ἦλθε, καὶ τὸν Ἰουδαῖον Ἡρώδην, ἔχοντα τινὰ τάγματα καὶ σπείρας, ἤκουσε Καίσαρι προσκεχωρηκέναι· καὶ τοὺς ἄλλους ὁμοίως δυνάστας ἀφίστασθαι, καὶ μηδὲν ἔτι συμμένειν τῶν ἐκτός. Οὐ μὴν διετάραξέ τι τούτων αὐτὸν, ἀλλ' ὥσπερ ἄσμενος τὰ ἐλπίζειν ἀποτεθειμένος, ἵνα καὶ τὸ φροντίζειν, τὴν μὲν ἔναλον ἐκείνην δίαιταν, ἣν Τιμωνείαν ὠνόμαζον, ἐξέλιπεν· ἀναληφθεὶς δ' ὑπὸ τῆς Κλεοπάτρας εἰς τὰ βασίλεια, πρὸς δεῖπνα καὶ πότους καὶ διανομὰς ἔτρεψε τὴν πόλιν, ἐγγράψαν μὲν εἰς ἐφήβους τὸν Κλεοπάτρας παῖδα καὶ Καίσαρος, τὸ δ' ἀπόῤῥυπον καὶ τέλειον ἱμάτιον Ἀντύλλῳ, τῷ ἐκ Φουλβίας, περιτιθείς· ἐφ' οἷς ἡμέρας πολλὰς συμπόσια καὶ κῶμοι καὶ θαλλειαι τὴν Ἀλεξάνδρειαν κατεῖχον. Αὐτοὶ δὲ τὴν μὲν τῶν ἀμιμητοβίων ἐκείνην σύνοδον κατέλυσαν, ἑτέραν δὲ συνέταξαν, οὐδέν τι λειπομένην ἐκείνης ἀβρότητι καὶ τρυφαῖς καὶ πολυτελείαις, ἣν συναποθανουμένων ἐκάλουν. Ἀπεγράφοντο γὰρ οἱ φίλοι συναποθανουμένους ἑαυτοὺς, καὶ διῆγον εὐπαθοῦντες ἐν δείπνων περιόδοις. Κλεοπάτρα δὲ φαρμάκων θανασίμων συνῆγε παντοδαπὰς δυνάμεις, ὧν ἑκάστης τὸ ἀνώδυνον ἐλέγχουσα, προῦβαλλε τοῖς ἐπὶ θανάτῳ φρουρουμένοις. Ἐπεὶ δ' ἑώρα τὰς μὲν ἀηνμόρους τὴν ὀξύ-

τητα καὶ θανάτου δὲ ὀδύνης ἐπιφερούσας, τὰς δὲ πρωτέρας τάχος οὐκ ἐχούσας, τῶν θηρίων ἀπεπειρᾶτο, θεωμένης αὐτῆς ἕτερον ἑτέρῳ προσφερόμενον. Ἔοικε δὲ καὶ τοῦτο καθ' ἡμέραν καὶ σχεδὸν ἐν πᾶσι μόνον εὕρισκε τὸ δῆγμα τῆς ἀσπίδος ἄνευ σπασμοῦ καὶ στεναγμοῦ κάρον ὑπνώδη καὶ καταφορὰν ἐφελκόμενον, ἱδρῶτι μαλακῷ τοῦ προσώπου καὶ τῶν αἰσθητηρίων ἀμαυρώσει παραλυομένων ῥᾳδίως, καὶ δυσχεραινόντων πρὸς τὰς ἐξεγέρσεις καὶ ἀνακλήσεις, ὥσπερ οἱ βαθέως καθεύδοντες.

LXXII. Ἅμα δὲ καὶ πρὸς Καίσαρα πρέσβεις ἔπεμπον εἰς Ἀσίαν, ἡ μὲν αἰτουμένη τὴν ἐν Αἰγύπτῳ τοῖς παισὶν ἀρχήν, ὁ δ' ἀξιῶν Ἀθήνησιν, εἰ μὴ δοκοίη περὶ Αἴγυπτον, ἰδιώτης καταβιῶναι. Φίλων δ' ἀπορίᾳ, καὶ ἀπιστίᾳ διὰ τὴν αὐτομολίαν, ὁ τῶν παίδων διδάσκαλος ἐπέμφθη πρεσβευτής, Εὐφρόνιος. Καὶ γὰρ Ἀλεξᾶς, ὁ Λαοδικεύς, γνωρισθεὶς μὲν ἐν Ῥώμῃ διὰ Τιμαγένους, καὶ πλεῖστον Ἑλλήνων δυνηθείς, γενόμενος δὲ τῶν Κλεοπάτρας ἐπ' Ἀντώνιον ὀργάνων τὸ βιαιότατον καὶ τῶν ὑπὲρ Ὀκταβίας ἱσταμένων ἐν αὐτῷ λογισμῶν ἀνατροπεύς, ἐπέμφθη μὲν Ἡ-
950 ρώδην τὸν βασιλέα τῆς μεταβολῆς ἐφέξων· αὐτοῦ δὲ καταμείνας, καὶ προδοὺς Ἀντώνιον, ἐτόλμησεν εἰς ὄψιν ἐλθεῖν Καίσαρος, Ἡρώδῃ πεποιθώς. Ὤνησε δ' αὐτὸν οὐδὲν Ἡρώδης, ἀλλ' εὐθὺς ἐρχθεὶς καὶ κομισθεὶς εἰς τὴν ἑαυτοῦ πατρίδα δεσμιος, ἐκεῖ, Καίσαρος τελεύσαντος, ἀνῃρέθη. Τοιαύτην μὲν Ἀλεξᾶς ἔτι ζῶντι δίκην Ἀντωνίῳ τῆς ἀπιστίας ἔξέτισε.

LXXIII. Καῖσαρ δὲ τοὺς μὲν ὑπὲρ Ἀντωνίου λόγους οὐκ ἠνέσχετο, Κλεοπάτραν δ' ἀπεκρίνατο μηδενὸς ἁμαρτήσεσθαι τῶν ἐπιεικῶν, ἀνελοῦσαν Ἀντώνιον, ἢ ἐκβαλοῦσαν. Συνέπεμψε δὲ καὶ παρ' αὐτοῦ τινὰ τῶν ἀπελευθέρων, Θύρσον, οὐκ ἀνόητον ἄνθρωπον, οὐδ' ἀπιθάνως ἂν ἀφ' ἡγεμόνος νέου διαλεχθέντα πρὸς γυναῖκα σοβαρὰν,

καὶ θαυμαστὸν ὅσον ἐπὶ κάλλει φρονοῦσαν. Οὗτος ἐντυγχάνων αὐτῇ μακρότερα τῶν ἄλλων, καὶ τιμώμενος διαφερόντως, ὑπόνοιαν τῷ Ἀντωνίῳ παρέσχε, καὶ συλλαβὼν αὐτὸν ἐμαστίγωσεν, εἶτ' ἀφῆκε πρὸς Καίσαρα· γράψας, ὡς ἐντρυφῶν καὶ περιφρονῶν παροξύνειεν αὐτὸν, εὐπαρόξυντον ὑπὸ κακῶν ὄντα. „Σὺ δ', εἰ μὴ φέρεις τὸ πρᾶγμα, ἔφη, μετρίως, ἔχεις ἐμὸν ἀπελεύθερον, Ἵππαρχον. Τοῦτον κρεμάσας μαστίγωσον, ἵν' ἴσον ἔχωμεν." Ἐκ τούτου Κλεοπάτρα μὲν ἀπολυομένη τὰς αἰτίας καὶ ὑποτοίας, ἐθεράπευεν αὐτὸν περιττῶς· καὶ τὴν ἑαυτῆς γενέθλιον ταπεινῶς διαγαγοῦσα καὶ ταῖς τύχαις πρεπόντως, τὴν ἐκείνου πᾶσαν ὑπερβαλλομένη λαμπρότητα καὶ πολυτέλειαν ἑώρτασεν, ὥστε πολλοὺς τῶν κεκλημένων ἐπὶ τὸ δεῖπνον πένητας ἐλθόντας, ἀπελθεῖν πλουσίους. Καίσαρα δ' Ἀγρίππας ἀνεκαλεῖτο πολλάκις ἀπὸ Ῥώμης γράφων, ὡς τῶν ἐκεῖ πραγμάτων τὴν παρουσίαν αὐτοῦ ποθούντων.

LXXIV. Ἔσχεν οὖν ἀναβολὴν ὁ πόλεμος τότε· τοῦ δὲ χειμῶνος παρελθόντος, αὖθις ἐπήει διὰ Συρίας, οἱ δὲ στρατηγοὶ διὰ Λιβύης. Ἁλόντος δὲ Πηλουσίου, λόγος ἦν, ἐνδοῦναι Σέλευκον, οὐκ ἀκούσης τῆς Κλεοπάτρας. Ἡ δ' ἐκείνου μὲν γυναῖκα καὶ παῖδας Ἀντωνίῳ κτεῖναι παρεῖχεν· αὐτὴ δὲ, θήκας ἔχουσα καὶ μνήματα κατεσκευασμένα περιττῶς εἴς τε κάλλος καὶ ὕψος, ἃ προσῳκοδόμησε τῷ ναῷ τῆς Ἴσιδος, ἐνταῦθα τῶν βασιλικῶν συνεφόρει τὰ πλείστης ἄξια σπουδῆς, χρυσὸν, ἄργυρον, σμάραγδον, μαργαρίτην, ἔβενον, ἐλέφαντα, κινάμωμον· ἐπὶ πᾶσι δὲ δᾷδα πολλὴν καὶ στυππεῖον· ὥστε δείσαντα περὶ τῶν χρημάτων Καίσαρα, μὴ τραπομένη πρὸς ἀπόγνωσιν ἡ γυνὴ διαφθείρῃ καὶ καταφλέξῃ τὸν πλοῦτον, ἀεί τινας ἐλπίδας αὐτῇ φιλανθρώπους προσπέμπειν, ἅμα τῷ στρατῷ πορευόμενον ἐπὶ τὴν πόλιν. Ἱδρυθέντος δ' αὐτοῦ περὶ τὸν ἱππόδρομον, Ἀντώνιος ἐπεξελθὼν ἠγωνίσατο λαμπρῶς,

καὶ τροπὴν τῶν Καίσαρος ἱππέων ἐποίησε, καὶ κατεδίωξεν ἄχρι τοῦ στρατοπέδου. Μεγαλυνόμενος δὲ τῇ νίκῃ, παρῆλθεν εἰς τὰ βασίλεια, καὶ τὴν Κλεοπάτραν κατεφίλησεν ἐν τοῖς ὅπλοις· καὶ τὸν ἡγωνισμένον προθυμότατα τῶν στρατιωτῶν συνέστησεν. Ἡ δ' ἀριστεῖον αὐτῷ θώρακα χρυσοῦν καὶ κράνος ἔδωκεν. Ἐκεῖνος μὲν οὖν ὁ ἄνθρωπος, λαβὼν ταῦτα, διὰ νυκτὸς ηὐτομόλησεν ὡς Καίσαρα.

LXXV. Πάλιν δ' Ἀντώνιος ἔπεμπε, Καίσαρα μονομαχῆσαι προκαλούμενος. Ἀποκριναμένου δ' ἐκείνου, πολλὰς ὁδοὺς Ἀντωνίῳ παρεῖναι θανάτου, συμφρονήσας, ὅτι τοῦ διὰ μάχης οὐκ ἔστιν αὐτῷ βελτίων θάνατος, ἔγνω καὶ κατὰ γῆν ἅμα καὶ κατὰ θάλασσαν ἐπιχειρεῖν. Καὶ παρὰ δεῖπνον, ὡς λέγεται, τοὺς οἰκέτας ἐκέλευσεν ὑπεγχεῖν καὶ προθυμότερον εὐωχεῖν αὐτόν· ἄθλιον γάρ, εἰ τοῦτο ποιήσουσιν αὔριον, ἢ θεραπόταις ἑτέροις ὑπηρετήσουσιν, αὐτὸς δὲ κείσεται σκελετὸς καὶ τὸ μηδὲν γενόμενος. Τοὺς δὲ φίλους ἐπὶ τούτοις θαρρύοντας ὁρῶν, ἔφη, μὴ προάξειν ἐπὶ τὴν μάχην, ἐξ ἧς αὐτῷ θάνατου εὐ-
951 κλεᾶ μᾶλλον, ἢ σωτηρίαν ζητεῖν καὶ νίκην. Ἐν ταύτῃ τῇ νυκτὶ λέγεται, μεσούσης σχεδὸν, ἐν ἡσυχίᾳ καὶ κατηφείᾳ τῆς πόλεως διὰ φόβον καὶ προσδοκίαν τοῦ μέλλοντος οὔσης, αἰφνίδιον ὀργάνων τε παντοδαπῶν ἐμμελεῖς φωνὰς ἀκουσθῆναι, καὶ βοὴν ὄχλου μετ' εὐασμῶν καὶ πηδήσεων σατυρικῶν, ὥσπερ θιάσου τινὸς οὐκ ἀθορύβου ἐξελαύνοντος· εἶναι δὲ τὴν ὁρμὴν ὁμοῦ τι διὰ τῆς πόλεως μέσης, ἐπὶ τὴν πύλην ἔξω, τὴν τετραμμένην πρὸς τοὺς πολεμίους, καὶ ταύτῃ τὸν θόρυβον ἐκπεσεῖν πλεῖστον γενόμενον. Ἔδοξεν δὲ τοῖς ἀναλογιζομένοις τὸ σημεῖον ἀπολείπειν ὁ θεὸς Ἀντώνιον, ᾧ μάλιστα συνεξομοιῶν καὶ συνοικειῶν ἑαυτὸν διετέλεσεν.

LXXVI. Ἅμα δ' ἡμέρᾳ τὸν πεζὸν αὐτὸς ἐπὶ τῶν πρὸ τῆς πόλεως λόφων ἱδρύσας, ἐθεᾶτο τὰς

ναῦς ἐμπεσούσας, καὶ ταῖς τῶν πολεμίων προσφερομένας· καὶ πιεσμένων ἔργον τι παρ' ἐκείνων ἰδεῖν, ἡσύχαζεν. Οἱ δ', ὡς ἐγγὺς ἐγένοντο, ταῖς κώπαις ἠσπάσαντο τοὺς Καίσαρος· ἐκείνων δ' ἀντασπασαμένων μετεβάλοντο, καὶ πάσαις ἅμα ταῖς ναυσὶν ὁ στόλος εἷς γενόμενος ἐπέπλει πρὸς τὴν πόλιν ἀντίστρωρος. Τοῦτ' Ἀντώνιος ἰδών, ἀπελείφθη μὲν εὐθὺς ὑπὸ τῶν ἱππέων μεταβαλλομένων· ἡττηθεὶς δὲ τοῖς πεζοῖς ἀνεχώρησεν εἰς τὴν πόλιν, ὑπὸ Κλεοπάτρας προδεδόσθαι βοῶν, οἷς δι' ἐκείνην ἐπολέμησεν. Ἡ δὲ, τὴν ὀργὴν αὐτοῦ φοβηθεῖσα καὶ τὴν ἀπορίαν, εἰς τὴν τάφον κατέφυγε, καὶ τοὺς καταρράκτας ἀφῆκε, κλείθροις καὶ μοχλοῖς καρτεροὺς ὄντας· πρὸς δ' Ἀντώνιον ἔπεμψε τοὺς ἀπαγγελοῦντας, ὅτι τέθνηκε. Πιστεύσας δ' ἐκεῖνος, καὶ εἰπὼν πρὸς αὐτὸν, „Τί ἔτι μέλλεις, Ἀντώνιε; Τὴν μόνην ἡ τύχη καὶ λοιπὴν ἀφῄρηκε τοῦ φιλοψυχεῖν πρόφασιν“ εἰσῆλθεν εἰς τὸ δωμάτιον, καὶ τὸν θώρακα παραλύων καὶ διατιτάλλων, „Ὦ Κλεοπάτρα, εἶπεν, οὐκ ἄχθομαί σου στερούμενος· αὐτίκα γὰρ εἰς ταὐτὸν ἀφίξομαι· ἀλλ' ὅτι γυναικὸς ὁ τηλικοῦτος αὐτοκράτωρ εὐψυχίᾳ πεφώραμαι λειπόμενος.“ Ἦν δέ τις οἰκέτης αὐτοῦ πιστὸς, Ἔρως ὄνομα. Τοῦτον ἐκ πολλοῦ παρακεκλημένος, εἰ δέησειεν, ἀνελεῖν αὐτὸν, ἀπῄτει [τὴν ὑπόσχεσιν. Ὁ δὲ σπασάμενος τὸ ξίφος, ἀνέσχετο μὲν, ὡς παίσων ἐκεῖνον, ἀποστρέψας δὲ τὸ πρόσωπον ἑαυτὸν ἀπέκτεινε. Πεσόντος δ' αὐτοῦ πρὸς τοὺς πόδας, ὁ Ἀντώνιος, „Εὖγ', εἶπεν, ὦ Ἔρως, ὅτι, μὴ δυνηθεὶς αὐτὸς, ἐμὲ ποιεῖν, ὃ δεῖ, διδάσκεις.“ καὶ παίσας διὰ τῆς κοιλίας ἑαυτὸν ἀφῆκεν εἰς τὸ κλινίδιον. Ἦν δ' οὐκ εὐθυθάνατος ἡ πληγή. Διὸ καὶ τῆς φορᾶς τοῦ αἵματος, ἐπεὶ κατεκλίθη, παυσαμένης, ἀναλαβὼν, ἐδεῖτο τῶν παρόντων ἐπισφάττειν αὐτόν. Οἱ δ' ἔφευγον ἐκ τοῦ δωματίου, βοῶντος καὶ σφαδάζοντος· ἄχρις οὗ παρὰ Κλεοπάτρας ἦκε Διομήδης, ὁ γραμ-

ματεὺς, κομίζειν αὐτὸν ὡς ἐκείνην εἰς τὸν τάφον κελευσθείς.

LXXVII. Γνοὺς οὖν, ὅτι ζῇ, προθύμως ἐκέλευσεν ἄρασθαι τοῖς ὑπηρέταις τὸ σῶμα, καὶ διὰ χειρῶν προσεκομίσθη ταῖς θύραις τοῦ οἰκήματος. Ἡ δὲ Κλεοπάτρα τὰς μὲν θύρας οὐκ ἀνέῳξεν, ἐκ δὲ θυρίδων τινῶν φανεῖσα, σειρὰς καὶ καλώδια καθίει. Καὶ τούτοις ἐναψάντων τὸν Ἀντώνιον, ἀνεῖλκεν αὐτὴ καὶ δύο γυναῖκες, ἃς μόνας ἰδέξατο μεθ' αὐτῆς εἰς τὸν τάφον. Οὐδὲν ἐκείνου λέγουσιν οἰκτρότερον γενέσθαι οἱ παραγενόμενοι θέαμα. Πεφυρμένος γὰρ αἵματι καὶ δυσθανατῶν εἵλκετο, τὰς χεῖρας ὀρέγων εἰς ἐκείνην καὶ παραιωρούμενος. Οὐ γὰρ ἦν γυναιξὶ ῥᾴδιον τὸ ἔργον, ἀλλὰ μόλις ἡ Κλεοπάτρα ταῖν χεροῖν ἐμπεφυκυῖα καὶ κατατεινομένη τῷ προσώπῳ, τὸν δεσμὸν ἀνελάμβανεν, ἐπικελευομένων τῶν κάτωθεν αὐτῇ καὶ συναγωνιώντων. Διξαμένη δ' αὐτὸν οὕτως, καὶ κατακλίνασα, περιερρήξατο τοὺς
952 πέπλους ἐπ' αὐτῷ, καὶ τὰ στέρνα τυπτομένη καὶ σπαράττουσα ταῖς χερσὶ, καὶ τῷ προσώπῳ τοῦ αἵματος ἀναματτομένη, δεσπότην ἐκάλει, καὶ ἄνδρα, καὶ αὐτοκράτορα· καὶ μικροῦ δεῖν ἐπιλέληστο τῶν αὐτῆς κακῶν οἴκτῳ τῶν ἐκείνου. Καταπαύσας δὲ τὸν θρῆνον αὐτῆς Ἀντώνιος, ᾔτησεν οἶνον πιεῖν εἴτε διψῶν, εἴτε συντομώτερον ἐλπίζων ἀπολυθήσεσθαι. Πιὼν δὲ, παρῄνεσεν αὐτῇ τὰ μὲν ἑαυτῆς, ἂν ᾖ μὴ μετ' αἰσχύνης, σωτήρια τίθεσθαι, μάλιστα τῶν Καίσαρος ἑταίρων Προκλήϊῳ πιστεύουσαν· αὐτὸν δὲ μὴ θρηνεῖν ἐπὶ ταῖς ὑστάταις μεταβολαῖς, ἀλλὰ μακαρίζειν, ὧν ἔτυχε, καλῶν, ἐπιφανέστατος ἀνθρώπων γενόμενος, καὶ πλεῖστον ἰσχύσας, καὶ νῦν οὐκ ἀγεννῶς Ῥωμαῖος ὑπὸ Ῥωμαίου κρατηθείς.

LXXVIII. Ὅσον δ' οὔπω ἀπολιπόντος αὐτοῦ, Προκλήϊος ἧκε παρὰ Καίσαρος. Ἐπεὶ γὰρ ἑαυτὸν πατάξας ὁ Ἀντώνιος ᾤχετο πρὸς Κλεοπάτραν κομιζόμενος, Δερκεταῖός τις τῶν δορυφόρων, λαβὼν

τὸ ἐγχειρίδιον αὐτοῦ· καὶ ἀποκρύψας, ὑπεξῆλθε, καὶ δραμὼν πρὸς Καίσαρα, πρῶτος ἤγγειλε τὴν Ἀντωνίου τελευτήν, καὶ τὸ ξίφος ἔδειξεν ἡμαγμένον. Ὁ δ' ὡς ἤκουσεν, ἐνδοτέρω τῆς σκηνῆς ἀποστὰς, ἀπεδάκρυσεν ἄνδρα, πηδεστὴν γενόμενον καὶ συνάρχοντα, καὶ πολλῶν ἀγώνων καὶ πραγμάτων κοινωνόν. Εἶτα τὰς ἐπιστολὰς λαβὼν, καὶ τοὺς φίλους καλέσας, ἀνεγίνωσκεν, ὡς συγγνώμονα γράφοντος αὐτοῦ καὶ δίκαια φορτικὸς ἦν καὶ ὑπερήφανος ἀεὶ περὶ τὰς ἀποκρίσεις ἐκεῖνος. Ἐκ δὲ τούτου τὸν Προκλήϊον ἔπεμψε κελεύσας, ἢν δύνηται, μάλιστα τῆς Κλεοπάτρας ζώσης κρατῆσαι. Καὶ γὰρ ἐφοβεῖτο περὶ τῶν χρημάτων, καὶ μέγα πρὸς δόξαν ἠγεῖτο τοῦ θριάμβου, καταγωγεῖν ἐκείνην. Εἰς μὲν οὖν χεῖρας τῷ Προκλήϊῳ συνελθεῖν οὐκ ἠθέλησεν· ἐγίνοντο δὲ λόγοι ἐν τῷ οἰκήματι, προσελθόντος ἔξωθεν αὐτοῦ κατὰ θύρας ἐπιπέδους, ἀποκεκλεισμένας μὲν ὑγρῶς, φανερὰ δὲ διέξοδον ἐχούσας. Καὶ διελέχθησαν, ἡ μὲν αἰτουμένη τοῖς παισὶν τὴν βασιλείαν, ὁ δὲ θαρρεῖν καὶ πάντα πιστεύειν Καίσαρι κελεύων.

LXXIX. Ὡς δὲ κατιδὼν τὸν τόπον ἀπήγγειλε Καίσαρι, Γάλλος μὲν ἐπέμφθη, πάλιν ἐντυξόμενος αὐτῇ· καὶ παρὰ τὰς θύρας ἐλθὼν, ἐπίτηδες ἐμήκυνε τὸν λόγον. Ἐν τούτῳ δὲ Προκλήϊος, κλίμακος προστεθείσης, διὰ τῆς θυρίδος εἰσῆλθεν, ἣ τὸν Ἀντώνιον αἱ γυναῖκες ἐδέξαντο. Καὶ πρὸς τὰς θύρας αὐτὰς εὐθὺς, αἷς ἡ Κλεοπάτρα παρεστήκει προσέχουσα τῷ Γάλλῳ, κατέβαινεν, ὑπηρέτας ἄγων δύο μετ' αὐτοῦ. Τῶν δὲ συγκαθειργμένων τῇ Κλεοπάτρᾳ γυναικῶν τὴν ἑτέραν ἀναπαραγούσης· „Τάλαινα Κλεοπάτρα, ζωγρῇ“ μεταστραφεῖσα καὶ θεασαμένη τὸν Προκλήϊον, ὥρμησε μὲν αὐτὴν πατάξαι· παρεζωσμένη γὰρ ἐτύγχανε τῶν ληστρικῶν ξιφιδίων· προσθραμὼν δὲ ταχὺ, καὶ περισχὼν αὐτὴν ταῖς χερσὶν ἀμφοτέραις ὁ Προκλήϊος· „Ἀθλιεῖς, ἔφη, ὦ

Κλεοπάτρα, καὶ σεαυτὴν καὶ Καίσαρα, μεγάλην ἀφαιρουμένη χρηστότητος ἐπίδειξιν αὐτοῦ, καὶ διαβάλλουσα τὸν πρᾳότατον ἡγεμόνων, ὡς ἄπιστον καὶ ἀδιάλλακτον." Ἅμα δὲ καὶ τὸ ξίφος αὐτῆς παρείλετο, καὶ τὴν ἐσθῆτα, μή κρύπτοι τι φάρμακον, ἐξέσεισεν. Ἐπέμφθη δὲ καὶ παρὰ Καίσαρος τῶν ἀπελευθέρων Ἐπαφρόδιτος, ᾧ προσετέτακτο ζῶσαν αὐτὴν φυλάττειν, ἰσχυρῶς ἐπιμελόμενον, τἆλλα δὲ πρὸς τὸ ῥᾷστον ἐνδιδόναι καὶ ἥδιστον.

LXXX. Αὐτὸς δὲ Καῖσαρ εἰσήλαυνεν εἰς τὴν πόλιν Ἀρείῳ τῷ φιλοσόφῳ προσδιαλεγόμενος, καὶ τὴν δεξιὰν ἐνδεδωκώς· ἵν' εὐθὺς ἐν τοῖς πολίταις περίβλεπτος εἴη, καὶ θαυμάζοιτο τιμώμενος ὑπ' αὐτοῦ διαπρεπῶς. Εἰς δὲ τὸ γυμνάσιον εἰσελθών, καὶ ἀναβὰς ἐπὶ βῆμά τι πεποιημένον, ἐκπεπληγμένων ὑπὸ δέους τῶν ἀνθρώπων, καὶ προσπιπτόντων, ἀναστῆναι κελεύσας, ἔφη, πάσης αἰτίας τὸν δῆμον ἀφιέναι, πρῶτον μὲν, διὰ τὸν
953 κτίστην, Ἀλέξανδρον· δεύτερον δὲ, τῆς πόλεως θαυμάζων τὸ κάλλος καὶ τὸ μέγεθος· τρίτον δ', Ἀρείῳ τῷ ἑταίρῳ χαριζόμενος. Ταύτης δὴ τῆς τιμῆς ἔτυχεν Ἄρειος παρὰ Καίσαρος, καὶ τῶν ἄλλων ἐξῃτήσατο συχνούς· ὧν εἷς ἦν καὶ Φιλόστρατος, ἀνὴρ εἰπεῖν μὲν ἐξ ἐπιδρομῆς τῶν πώποτε σοφιστῶν ἱκανώτατος, εἰσποιῶν δὲ μὴ προσηκόντως ἑαυτὸν τῇ Ἀκαδημίᾳ. Διὸ καὶ Καῖσαρ αὐτοῦ βδελυττόμενος τὸν τρόπον, οὐ προσίετο τὰς δεήσεις. Ὁ δὲ πώγωνα πολιὸν καθεὶς, καὶ φαιὸν ἱμάτιον περιβαλόμενος, ἐξόπισθεν Ἀρείῳ παρηκολούθει, τοῦτον ἀεὶ τὸν στίχον ἀναφθεγγόμενος·

Σοφοὶ σοφοὺς σώζουσιν, ἂν ὦσιν σοφοί.

Πυθόμενος δὲ Καῖσαρ, καὶ τοῦ φθόνου μᾶλλον Ἄρειον, ἢ τοῦ δέους Φιλόστρατον, ἀπαλλάξαι βουλόμενος διῆκε.

LXXXI. Τῶν δ' Ἀντωνίου παίδων ὁ μὲν ἐκ Φουλβίας, Ἀντυλλος, ὑπὸ Θεοδώρου, τοῦ παιδα-

γωγοῦ, παραδοθεὶς ἀπέθανε· καὶ τὴν κεφαλὴν αὐτοῦ τῶν στρατιωτῶν ἀποτεμόντων, ὁ παιδαγωγὸς ἀφελὼν, ὃν ἐφόρει περὶ τῷ τραχήλῳ πολυτιμότατον λίθον, εἰς τὴν ζώνην κατέρραψεν· ἀρνησάμενος δὲ καὶ φωραθεὶς ἀνεσταυρώθη. Τὰ δὲ Κλεοπάτρας παιδία φρουρούμενα μετὰ τῶν τρεφόντων ἐλευθέριον εἶχε δίαιταν. Καισαρίωνα δὲ, τὸν ἐκ Καίσαρος γεγονέναι λεγόμενον, ἡ μὲν μήτηρ ἐξέπεμψε μετὰ χρημάτων πολλῶν εἰς τὴν Ἰνδικὴν διὰ Αἰθιοπίας· ἕτερος δὲ παιδαγωγὸς, ὁμοίως Θεοδώρῳ, Ῥόδων, ἀνέπεισεν ἐπανελθεῖν, ὡς Καίσαρος αὐτὸν ἐπὶ βασιλείαν καλοῦντος. Βουλευομένου δὲ Καίσαρος, Ἄρειον εἰπεῖν λέγουσιν·

Οὐκ ἀγαθὸν πολυκαισαρίη.

LXXXII. Τοῦτον μὲν οὖν ὕστερον ἀπέκτεινε μετὰ τὴν Κλεοπάτρας τελευτήν. Ἀντώνιον δὲ πολλῶν αἰτουμένων θάψαι καὶ βασιλέων καὶ στρατηγῶν, οὐκ ἀφείλετο Κλεοπάτρας τὸ σῶμα Καῖσαρ, ἀλλ' ἐθάπτετο ταῖς ἐκείνης χερσὶ πολυτελῶς καὶ βασιλικῶς, πᾶσιν ὡς ἐβούλετο χρῆσθαι λαβούσης. Ἐπὶ δὲ λύπῃ ἅμα τοσαύτῃ καὶ ὀδύνῃ (ἀνεφλέγμηνε γὰρ αὐτῆς τὰ στέρνα τυπτομένης καὶ ἤλκωτο) πυρετῶν ἐπιλαβόντων, ἠγάπησε τὴν πρόφασιν, ὡς ἀφεξομένη τροφῆς διὰ τοῦτο, καὶ παραλύσουσα τοῦ ζῆν ἀκωλύτως ἑαυτήν. Ἦν δ' ἰατρὸς αὐτῇ συνήθης, Ὄλυμπος, ᾧ φράσασα ταληθὲς, ἐχρῆτο συμβούλῳ καὶ συνεργῷ τῆς καθαιρέσεως, ὡς αὐτὸς Ὄλυμπος εἴρηκεν, ἱστορίαν τινὰ τῶν πραγμάτων τούτων ἐκδεδωκώς. Ὑποψήσας δὲ Καίσαρ, ἀπειλὰς μέν τινας αὐτῇ καὶ φόβους περὶ τῶν τέκνων προσέβαλεν, οἷς ἐκείνη, καθάπερ μηχανήμασιν, ὑπηρείπετο, καὶ παρεδίδου τὸ σῶμα θεραπεύειν καὶ τρέφειν τοῖς χρήζουσιν.

LXXXIII. Ἦκε δὲ καὶ αὐτὸς ἡμέρας ὀλίγας διαλιπών, ἐντευξόμενος αὐτῇ καὶ παρηγορήσων. Ἡ δ' ἔτυχε μὲν ἐν στιβάδι κατακειμένη ταπεινῶς

εἰσιόντι δ' αὐτῷ μονοχίτων ἀναπηδήσαντα προσπίπτει, δεινῶς μὲν ἐξηγριωμένη κεφαλὴν καὶ πρόσωπον, ὑπότρομος δὲ τῇ φωνῇ, καὶ συντετηκυῖα ταῖς ὄψεσιν. Ἦν δὲ πολλὰ καὶ τῆς περὶ τὸ στέρνον αἰκίας καταφανῆ· καὶ ὅλως οὐθὲν ἐδόκει τὸ σῶμα τῆς ψυχῆς ἔχειν βέλτιον. Ἡ μέντοι χάρις ἐκείνη καὶ τὸ τῆς ὥρας ἰταμὸν οὐ κατέσβεστο παντάπασιν, ἀλλὰ καίπερ οὕτως διακειμένης, ἔνδοθέν ποθεν ἐξέλαμπε καὶ συνεπεφαίνετο τοῖς κινήμασι τοῦ προσώπου. Κελεύσαντος δὲ τοῦ Καίσαρος αὐτὴν κατακλιθῆναι, καὶ πλησίον αὐτοῦ καθίσαντος, ἤψατο μέν τινος δικαιολογίας, εἰς ἀνάγκην καὶ φόβον Ἀντωνίου τὰ πεπραγμένα τρέπουσα· ἐνιαταμένου δὲ πρὸς ἕκαστον αὐτῇ τοῦ Καίσαρος, ἐξελεγχομένη ταχύ, πρὸς οἶκτον μεθηρμόσατο καὶ δέησιν, ὡς δή τις ἂν μάλιστα τοῦ ζῆν περιεχομένη. Τέλος δὲ τοῦ πλήθους τῶν χρημάτων ἀναγραφὴν ἔχουσα προσέθωκεν αὐτῷ· Σελεύκου δέ τινος τῶν ἐπιτρόπων ἐλέγχοντος μὴς ἔνια κρύπτουσαν καὶ διακλέπτουσαν, ἀναπηδήσασα, καὶ τῶν τριχῶν αὐτοῦ λαβομένη, πολλὰς ἐνέφορει τῷ προσώπῳ πληγάς.
954 Τοῦ δὲ Καίσαρος μειδιῶντος, καὶ καταπαύοντος αὐτήν, „Ἀλλ' οὐ δεινόν, εἶπεν, ὦ Καῖσαρ, εἰ σὺ μὲν ἠξίωσας ἀφικέσθαι πρὸς ἐμὲ καὶ προσειπεῖν οὕτω πράττουσαν, οἱ δὲ βουλοί μου κατηγοροῦσιν, εἴ τι τῶν γυναικείων ἀπεθέμην οὐκ ἐμαυτῇ δηπουθεν, ἢ τάλαινα, κόσμον, ἀλλ' ὅπως Ὀκταβίᾳ καὶ Λιβίᾳ τῇ σῇ μικρὰ δοῦσα, δι' ἐκείνων ἵλεώ σου τύχοιμι καὶ πραοτέρου;" Τούτοις ὁ Καῖσαρ ἥδετο, παντάπασιν αὐτὴν φιλοψυχεῖν οἰόμενος. Εἰπὼν οὖν, ὅτι καὶ ταῦτα ἐπιτρέπει, καὶ τἄλλα πάσης ἐλπίδος αὐτῇ χρήσεται λαμπρότερον, ᾤχετο ἀπιών, ἐξηπατηκέναι μὲν οἰόμενος, ἐξηπατημένος δὲ μᾶλλον.

LXXXIV. Ἦν δὲ Κορνήλιος Δολοβέλλας ἐπιφανὴς νεανίσκος ἐν τοῖς Καίσαρος ἑταίροις. Οὗτος εἶχε πρὸς τὴν Κλεοπάτραν οὐκ ἀηδῶς· καὶ τότε χαριζόμενος αὐτῇ δεηθείσῃ κρύφα πέμψας ἐξήγγειλεν, ὡς αὐτὸς μὲν ὁ Καῖσαρ ἀναζευγνύσι πεζῇ

διὰ Σύριος, ἐκείνην δὲ μετὰ τῶν τέκνων ἀποστέλλειν εἰς τρίτην ἡμέραν ἔγνωκεν. Ἡ δ' ἀκούσασα ταῦτα, πρῶτον μὲν ἐδεήθη Καίσαρος, ὅπως αὐτὴν ἐάσῃ χοὰς ἐπενεγκεῖν Ἀντωνίῳ· καὶ συγχωρήσαντος, ἐπὶ τὸν τάφον κομισθεῖσα καὶ περιπεσοῦσα τῇ σορῷ μετὰ τῶν συνήθων γυναικῶν· „Ὦ φίλε Ἀντώνιε, εἶπεν, ἔθαπτόν μέν σε πρώην ἔτι χερσὶν ἐλευθέραις, σπένδω δὲ νῦν αἰχμάλωτος οὖσα, καὶ φρουρουμένη, μήτε κοπετοῖς, μήτε θρήνοις, αἰκίσασθαι τὸ δοῦλον τοῦτο σῶμα, καὶ τηρούμενον ἐπὶ τοὺς κατὰ σοῦ θριάμβους. Ἄλλας δὲ μὴ προσδέχου τιμὰς, ἢ χοὰς· ἀλλ' αὗταί σοι τελευταῖαι, Κλεοπάτρας ἀγομένης. Ζῶντας μὲν γὰρ ἡμᾶς οὐθὲν ἀλλήλων διέστησε, κινδυνεύομεν δὲ τῷ θανάτῳ διαμείψασθαι τοὺς τόπους· σὺ μὲν ὁ Ῥωμαῖος, ἐνταῦθα κείμενος, ἐγὼ δ' ἡ δύστηνος, ἐν Ἰταλίᾳ, τοσοῦτο τῆς σῆς μεταλαβοῦσα χώρας μόνον. Ἀλλ' εἰ δή τις τῶν ἐκεῖ θεῶν ἀλκὴ καὶ δύναμις, (οἱ μὰρ ἐνταῦθα προὔθεντο ἡμᾶς,) μὴ πρόῃ ζῶσαν τὴν σεαυτοῦ γυναῖκα, μηδ' ἐν ἐμοὶ περιΐδῃς θριαμβευόμενον σεαυτὸν, ἀλλ' ἐνταῦθά με κρύψον μετὰ σεαυτοῦ καὶ σύνθαψον, ὡς ἐμοὶ μυρίων κακῶν ὄντων, οὐδὲν οὕτω μέγα καὶ δεινόν ἐστιν, ὡς ὁ βραχὺς οὗτος χρόνος, ὃν σοῦ χωρὶς ἔζησα."

LXXXV. Τοιαῦτ' ὀλοφυραμένη, καὶ στέψασα καὶ καταπασαμένη τὴν σορὸν, ἐκέλευσεν αὐτῇ λουτρὸν γενέσθαι. Λουσαμένη δὲ καὶ κατακλιθεῖσα λαμπρὸν ἄριστον ἠρίστα. Καί τις ἦκεν ἀπ' ἀγροῦ κίστην τινὰ κομίζων· τῶν δὲ φυλάκων, ὅ τι φέροι, πυνθανομένων, ἀνοίξας, καὶ ἀφελὼν τὰ θρία, σύκων ἐπίπλεων τὸ ἀγγεῖον ἔδειξε. Θαυμασάντων δὲ τὸ κάλλος καὶ τὸ μέγεθος, μειδιάσας παρεκάλει λαβεῖν· οἱ δὲ πιστεύσαντες ἐκέλευον εἰσενεγκεῖν. Μετὰ δὲ τὸ ἄριστον ἡ Κλεοπάτρα δέλτον ἔχουσα γεγραμμένην καὶ κατασεσημασμένην, ἀπέστειλε πρὸς Καίσαρα, καὶ τοὺς ἄλλους ἐκποδὼν ποιησαμένη, πλὴν τῶν δυοῖν ἐκείνων γυναικῶν, τὰς θύρας ἔκλεισε. Καῖσαρ δὲ λύσας τὴν δέλτον, ὡς ἐνέτυχε

λιταῖς καὶ ὀλοφυρμοῖς δεομένης αὐτῆς συνὲ Ἀντωνίῳ θάψαι, ταχὺ συνῆκε τὸ πεπραγμένον. Καὶ πρῶτον μὲν αὐτὸς ὥρμησε βοηθεῖν, ἔπειτα τοὺς σκεψομένους κατὰ τάχος ἔπεμψεν. Ἐγεγόνει δ' ὀξὺ τὸ πάθος. Δρόμῳ γὰρ ἐλθόντες, καὶ τοὺς μὲν φυλάσσοντας οὐδὲν ηἰσθημένους καταλαβόντες, τὰς δὲ θύρας ἀνοίξαντες, εὗρον αὐτὴν τεθνηκυῖαν, ἐν χρυσῇ κατακειμένην κλίνῃ, κεκοσμημένην βασιλικῶς. Τῶν δὲ γυναικῶν ἡ μὲν Εἴρας λεγομένη πρὸς τοῖς ποσὶν ἀπέθνησκεν· ἡ δὲ Χάρμιον, ἤδη σφαλλομένη καὶ καρηβαροῦσα, κατεκόσμει τὸ διάδημα τὸ περὶ τὴν κεφαλὴν αὐτῆς. Εἰπόντος δέ τινος ὀργῇ· „Καλὰ ταῦτα, Χάρμιον" „Κάλλιστα μὲν οὖν, ἔφη, καὶ πρέποντα τῇ τοσούτων ἀπογόνῳ βασιλέων." Πλέον δ' οὐδὲν εἶπεν, ἀλλ' αὐτοῦ παρὰ τὴν κλίνην ἔπεσε.

LXXXVI. Λέγεται δὲ, τὴν ἀσπίδα νομισθῆναι σὺν τοῖς σύκοις ἐκείνοις καὶ τοῖς θρίοις ἄνωθεν ἐπικαλυφθεῖσαν. Οὕτω γὰρ τὴν Κλεοπάτραν κελεῦσαι, μηδὲν αὐτῆς ἐπισταμένης τῷ σώματι προσπεσεῖν τὸ θηρίον· ὡς δ' ἀφαιροῦσα τῶν σύκων εἶδεν, εἰπεῖν· „Ἐνταῦθα ἦν ἄρα τοῦτο" καὶ τὸν βραχίονα παρασχεῖν τῷ δήγματι γυμνώσασαν. Οἱ δὲ τηρεῖσθαι μὲν ἐν ὑδρίᾳ τὴν ἀσπίδα καθειργμένην φάσκουσιν· ἠλακάτῃ δέ τινι χρυσῇ τῆς Κλεοπάτρας ἐκκαλουμένης αὐτὴν καὶ διαχρωννούσης, ὁρμήσασαν ἐμφῦναι τῷ βραχίονι. Τὸ δ' ἀληθὲς οὐδεὶς οἶδεν· ἐπεὶ καὶ φάρμακον αὐτὴν ἐλέχθη φορεῖν ἐν κνηστίδι κοίλῃ, τὴν δὲ κνηστίδα κρύπτειν τῇ κόμῃ· πλὴν οὔτε κηλὶς ἐξηνθησε τοῦ σώματος, οὔτ' ἄλλο φαρμάκου σημεῖον. Οὐ μὴν οὐδὲ τὸ θηρίον ἐντὸς ὤφθη, συρμοὺς δέ τινας αὐτοῦ παρὰ θάλασσαν, ἢ τὸ θωμάτιον ἀφεώρα, καὶ αἱ θυρίδες ἦσαν, ἰδεῖν ἔφασκον. Ἔνιοι δὲ, καὶ τὸν βραχίονα τῆς Κλεοπάτρας ὀφθῆναι δύο νυγμὰς ἔχοντα, λεπτὰς καὶ ἀμυδράς· οἷς ἔοικε πιστεῦσαι καὶ ὁ Καῖσαρ. Ἐν γὰρ τῷ θριάμβῳ τῆς Κλεοπάτρας αὐτῆς εἴδωλον ἐκομίζετο, καὶ τῆς ἀσπίδος ἐμπεφυκυίας. Ταῦτα μὲν

οὖν οὕτω λέγεται γενέσθαι. Καῖσαρ δὲ, καίπερ ἀχθεσθεὶς ἐπὶ τῇ τελευτῇ τῆς γυναικὸς, ἐθαύμασε τὴν εὐγένειαν αὐτῆς· καὶ ταφῆναι τὸ σῶμα σὺν Ἀντωνίῳ λαμπρῶς καὶ βασιλικῶς ἐκέλευσεν. Ἐντίμου δὲ καὶ τὰ γύναια κηδείας ἔτυχεν, αὐτοῦ προστάξαντος. Ἐτελεύτησε δὲ Κλεοπάτρα μὲν ἑνὸς δέοντα τεσσαράκοντα ἔτη βιώσασα, καὶ τούτων δύο καὶ εἴκοσι βασιλεύσασα, συνάρξασα δὲ Ἀντωνίῳ πλείω τῶν δεκατεσσάρων. Ἀντώνιον δ' οἱ μὲν ἓξ, οἱ δὲ τρισὶ τὰ πεντήκοντα ὑπερβαλεῖν φασίν. Αἱ μὲν οὖν Ἀντωνίου καθῃρέθησαν εἰκόνες, αἱ δὲ Κλεοπάτρας κατὰ χώραν ἔμειναν, Ἀρχιβίου τινὸς τῶν φίλων αὐτῆς δισχίλια τάλαντα Καίσαρι δόντος, ἵνα μὴ τὸ αὐτὸ ταῖς Ἀντωνίου πάθωσιν.

LXXXVII. Ἀντωνίου δὲ γενεὰν ἀπολιπόντος ἐκ τριῶν γυναικῶν ἑπτὰ παῖδας, ὁ πρεσβύτατος, Ἄντυλλος, ὑπὸ Καίσαρος ἀνῃρέθη μόνος· τοὺς δὲ λοιποὺς Ὀκταβία παραλαβοῦσα μετὰ τῶν ἐξ ἑαυτῆς ἔθρεψε. Καὶ Κλεοπάτραν μὲν τὴν ἐκ Κλεοπάτρας Ἰόβᾳ, τῷ χαριεστάτῳ βασιλέων, συνῴκισεν· Ἀντώνιον δὲ τὸν ἐκ Φουλβίας οὕτω μέγαν ἐποίησεν, ὥστε, τὴν πρώτην παρὰ Καίσαρι τιμὴν Ἀγρίππου, τὴν δὲ δευτέραν τῶν Λιβίας παίδων ἐχόντων, τρίτον εἶναι καὶ δοκεῖν Ἀντώνιον. Ἐκ δὲ Μαρκέλλου δυοῖν αὐτῇ θυγατέρων οὐσῶν, ἑνὸς δ' υἱοῦ Μαρκέλλου, τοῦτον μὲν ἅμα παῖδα καὶ γαμβρὸν ἐποιήσατο Καῖσαρ, τῶν δὲ θυγατέρων Ἀγρίππᾳ τὴν ἑτέραν ἔδωκεν. Ἐπεὶ δὲ Μάρκελλος ἐτελεύτησε κομιδῇ νεόγαμος, καὶ Καίσαρι γαμβρὸν ἔχοντα πίστιν οὐκ εὔπορον ἦν ἐκ τῶν ἄλλων φίλων ἑλέσθαι, λόγον ἡ Ὀκταβία προσήνεγκεν, ὡς χρὴ τὴν Καίσαρος θυγατέρα λαβεῖν Ἀγρίππαν, ἀφέντα τὴν ἑαυτῆς. Πεισθέντος δὲ Καίσαρος πρῶτον, εἶτ' Ἀγρίππου, τὴν μὲν αὑτῆς ἀπολαβοῦσα συνῴκισεν Ἀντωνίῳ, τὴν δὲ Καίσαρος Ἀγρίππας ἔγημεν. Ἀπολειπομένων δὲ τῶν Ἀντωνίου καὶ Ὀκταβίας δυοῖν θυγατέρων, τὴν μὲν Λομίτιος Αἰνόβαρβος ἔλαβε, τὴν δὲ σωφροσύνῃ καὶ κάλλει περιβόη-

τον Ἀντωνίαν Δρουσον, ὁ Λιβίας υἱὸς, πρόγονος δὲ Καίσαρος. Ἐκ τούτων ἐγένετο Γερμανικὸς καὶ Κλαύδιος· ὧν Κλαύδιος μὲν ὕστερον ἦρξε· τῶν δὲ Γερμανικοῦ παίδων Γάϊος μὲν, ἄρξας ἐπιφανῶς οὐ πολὺν χρόνον, ἀνηρέθη μετὰ τέκνου καὶ γυναικός. Ἀγριππίνα δὲ, υἱὸν ἐξ Ἀινοβάρβου Δεύκιον Δομίτιον ἔχουσα, Κλαυδίῳ Καίσαρι συνῴκησε· καὶ θέμενος τὸν υἱὸν αὐτῆς Κλαύδιος, Νέρωνα Γερμανικὸν προσωνόμασεν. Οὗτος ἄρξας ἐφ' ἡμῶν, ἀπέκτεινε τὴν μητέρα, καὶ μικρὸν ἐδέησεν ὑπ' ἐμπληξίας καὶ παραφροσύνης ἀνατρέψαι τὴν Ῥωμαίων ἡγεμονίαν, πέμπτος ἀπ' Ἀντωνίου κατ' ἀρετὴν θρόνων διαδοχῆς γενόμενος.

COMPARATIO DEMETRII CVM ANTONIO.

Ἐπεὶ τοίνυν μεγάλαι περὶ ἀμφοτέρους ἐγένον- 956
το μεταβολαὶ, πρῶτον τὰ τῆς δυνάμεως καὶ τῆς ἐπιφανείας σκοπῶμεν. Ὅτι τῷ μὲν ἦν πατρῷα καὶ προκατειργασμένα, μέγιστον ἰσχύσαντος Ἀντιγόνου τῶν διαδόχων, καὶ πρὸ τοῦ Δημήτριον ἐν ἡλικίᾳ γενέσθαι τὰ πλεῖστα τῆς Ἀσίας ἐπελθόντος καὶ κρατήσαντος· Ἀντώνιος δὲ χαρίεντος μὲν ἄλλως, ἀπολέμου δὲ καὶ μέγα μηδὲν εἰς δόξαν αὐτῷ καταλιπόντος γενόμενος πατρὸς, ἐπὶ τὴν Καίσαρος ἐτόλμησεν ἀρχὴν οὐδὲν αὐτῷ κατὰ γένος προσήκουσαν ἐλθεῖν, καὶ τοῖς ἐκείνῳ προπεπονημένοις αὐτὸς ἑαυτὸν εἰσεποίησε διάδοχον. Καὶ τοσοῦτον ἴσχυσεν ἐκ μόνων τῶν περὶ αὐτὸν ὑπαρχόντων ὁρμώμενος, ὥστε δύο μοίρας τὰ σύμπαντα ποιησάμενος, τὴν ἑτέραν ἐλέσθαι καὶ λαβεῖν, τὴν ἐπιφανεστέραν· ἀπὼν δ' αὐτὸς, ὑπηρέταις τε καὶ ὑποστρατήγοις Πάρθους τε νικῆσαι πολλάκις, καὶ τὰ περὶ τὸν Καύκασον ἔθνη βάρβαρα μέχρι τῆς Κασπίας ὧσασθαι θαλάσσης. Μαρτύρια δὲ τοῦ μεγέθους αὐτῷ καὶ δι' ἃ κακῶς ἀκούει. Δημητρίῳ μὲν γὰρ

ὁ πατὴρ ἠγάπησε τὴν Ἀντιπάτρου Φίλαν, ὡς πρείττονα, συνοικίσαι παρ' ἡλικίαν, Ἀντωνίῳ δ' ὁ Κλεοπάτρας γάμος ὄνειδος ἦν, γυναικὸς ὑπερβαλομένης δυνάμει καὶ λαμπρότητι πάντας, πλὴν Ἀρσάκου, τοὺς καθ' αὑτὴν βασιλεῖς. Ἀλλ' οὕτως ἐποίησε μέγαν ἑαυτὸν, ὥστε τοῖς ἄλλοις μειζόνων, ἢ ἐβούλετο, δοκεῖν ἄξιος.

II. Ἡ μέντοι προαίρεσις, ἀφ' ἧς ἐκτήσαντο τὴν ἀρχὴν, ἄμεμπτος ἐπὶ τοῦ Δημητρίου, πρατεῖν καὶ βασιλεύειν ἀνθρώπων εἰθισμένων πρατεῖσθαι καὶ βασιλεύεσθαι ζητοῦντος· ἡ δ' Ἀντωνίου, χαλεπὴ καὶ τυραννικὴ, καταδουλουμένου τὸν Ῥωμαίων δῆμον, ἅρτι διαφυγόντα τὴν ὑπὸ Καίσαρι μοναρχίαν. Ὃ δ' οὖν μέγιστον αὐτῷ καὶ λαμπρότατόν ἐστι τῶν εἰργασμένων, ὁ πρὸς Κάσσιον καὶ Βροῦτον πόλεμος, ἐπὶ τῷ τὴν πατρίδα καὶ τοὺς πολίτας ἀφελέσθαι τὴν ἐλευθερίαν ἐπολεμήθη. Δημήτριος δὲ, καὶ πρὶν εἰς τύχας ἐλθεῖν ἀναγκαίας, ἐλευθερῶν τὴν Ἑλλάδα, καὶ τῶν πόλεων ἐξελαύνων τὰς φρουρὰς διετέλεσεν οὐχ ὥσπερ Ἀντώνιος, ὅτι τοὺς ἐλευθερώσαντας τὴν Ῥώμην ἀπέκτεινεν ἐν Μακεδονίᾳ, σεμνυνόμενος. Ἓν τοίνυν ἐστὶ τῶν ἐπαινουμένων Ἀντωνίου, τὸ φιλόδωρον καὶ μεγαλόδωρον, ἐν ᾧ τοσοῦτον ὑπεραίρει Δημήτριος, ὥστε χαρίσασθαι τοῖς πολεμίοις, ὅσα τοῖς φίλοις οὐκ ἔδωκεν Ἀντώνιος. Καίτοι ταφῆναί γε καὶ περισταλῆναι κελεύσας Βροῦτον ἐκεῖνος εὐδοκίμησεν· οὗτος δὲ καὶ τοὺς ἀποθανόντας τῶν πολεμίων πάντας ἐκήδευσε, καὶ τοὺς ἁλόντας Πτολεμαίῳ μετὰ χρημάτων καὶ δωρεῶν ἀπέπεμψεν.

III. Ὑβρισταὶ μὲν εὐτυχοῦντες ἀμφότεροι, καὶ πρὸς τρυφὰς ἀνειμένοι καὶ ἀπολαύσεις. Οὐκ ἂν εἴποι δέ τις, ὡς Δημήτριον ἐν εὐπαθείαις καὶ συνουσίαις ὄντα πράξεων καιρὸς ἐξέφυγεν, ἀλλὰ τῇ περιουσίᾳ τῆς σχολῆς ἐπεισῆγε τὰς ἡδονὰς, καὶ τὴν Λαμίαν, ὥσπερ τὴν μυθικὴν, ἀ-

τεχνῶς παίζων καὶ νυστάζων ἐποιεῖτο διαγωγήν. Ἐν δὲ ταῖς τοῦ πολέμου παρασκευαῖς οὐκ εἶχεν αὐτοῦ τὸ δόρυ κιττόν, οὐδὲ μύρων ὠδώδει τὸ κράνος· οὐδὲ γεγανωμένος καὶ ἀνθηρὸς ἐπὶ τὰς μάχας ἐκ τῆς γυναικωνίτιδος προῆει, κοιμίζων δὲ τοὺς θιάσους καὶ τὰ βακχεῖα καταπαύων, ἀμφίπολος Ἄρεος ἀνιέρου, κατὰ τὸν Εὐριπίδην, ἐγίνετο, καὶ δι' ἡδονὴν ἢ ῥαθυμίαν οὐθὲν ἁπλῶς ἔπταισεν. Ἀντώνιον δ', ὥσπερ ἐν ταῖς γραφαῖς ὁρῶμεν τοῦ Ἡρακλέους τὴν Ὀμφάλην ὑφαιροῦσαν τὸ ῥόπαλον, καὶ τὴν λεοντῆν ἀποδύουσαν, οὕτω πολλάκις Κλεοπάτρα παροπλίσασα καὶ καταθέλξασα, συνέπεισεν ἀφέντα μεγάλας πράξεις ἐκ τῶν χειρῶν καὶ στρατείας ἀναγ- 957
καίας, ἐν ταῖς περὶ Κάνωβον καὶ Ταφόσιριν ἀκταῖς ἁλύειν καὶ παίζειν μετ' αὐτῆς. Τέλος δ', ὡς ὁ Πάρις, ἐκ τῆς μάχης ἀποδρὰς, εἰς τοὺς ἐκείνης κατεδύετο κόλπους· μᾶλλον δ' ὁ μὲν Πάρις ἡττηθεὶς ἔφευγεν εἰς τὸν θάλαμον, Ἀντώνιος δὲ Κλεοπάτραν διώκων ἔφευγε καὶ προήκατο τὴν νίκην.

IV. Ἔτι Δημήτριος μὲν, οὐ κεκωλυμένον, ἀλλ' ἀπὸ Φιλίππου καὶ Ἀλεξάνδρου γεγονὸς ἐν ἔθει τοῖς Μακεδόνων βασιλεῦσιν, ἐγάμει γάμους πλείονας, ὥσπερ Λυσίμαχος καὶ Πτολεμαῖος· ἔσχε δὲ διὰ τιμῆς, ὅσας ἔγημεν. Ἀντώνιος δὲ πρῶτον μὲν ὁμοῦ δύο γυναῖκας ἠγάγετο, πρᾶγμα μηδενὶ Ῥωμαίῳ τετολμημένον· ἔπειτα τὴν ἀστὴν καὶ δικαίως γαμηθεῖσαν ἐξήλασε, τῇ ξένῃ καὶ μὴ κατὰ νόμους συνούσῃ χαριζόμενος· ὅθεν καὶ ἐκ γάμου τῷ μὲν οὐθὲν, τῷ δὲ τὰ μέγιστα τῶν κακῶν ἀπήντησεν. Ἀσέβημα μέντοι τοσοῦτον δι' ἀσέλγειαν οὐθὲν ταῖς Ἀντωνίου πράξεσιν, ὅσον ταῖς Δημητρίου πρόσεστιν. Οἱ μὲν γὰρ ἱστορικοί φασι, καὶ τῆς ἀκροπόλεως ὅλης ἐργεσθαι τὰς κύνας, διὰ τὸ τὴν μίξιν ἐμφανῆ μάλιστα τοῦτο ποιεῖσθαι τὸ ζῶον. Ὁ δ' ἐν αὐτῷ τῷ Παρθενῶνι ταῖς τε πόρναις συνῆν, καὶ τῶν ἀ-

στῶν κατεπόρνευσε πολλάς· καὶ οὗ τις ἂν ἥκιστα τὰς τοιαύτας τρυφὰς καὶ ἀπολαύσεις οἴοιτο μετέχειν κακοῦ, τῆς ὠμότητος, τοῦτ' ἔνεστι τῇ Δημητρίου φιληδονίᾳ, περιϊδόντος, μᾶλλον δ' ἀφαγνάσαντος οἰκτρῶς ἀποθανεῖν τὸν κάλλιστον καὶ σωφρονέστατον Ἀθηναίων, φεύγοντα τὸ καθυβρισθῆναι. Συνελόντι δ' εἰπεῖν, Ἀντώνιος μὲν ἑαυτὸν διὰ τὴν ἀκρασίαν, Δημήτριος δ' ἄλλους ἠδίκησε.

V. Πρὸς μέντοι γονεῖς ἄμεμπτον ἑαυτὸν εἰς ἅπαντα παρέσχεν ὁ Δημήτριος· Ἀντώνιος δὲ τὸν ἀδελφὸν τῆς μητρὸς ἐξέδωκεν ἐπὶ τῷ Κικέρωνα ἀποκτεῖναι, πρᾶγμα καὶ καθ' ἑαυτὸ μιαρὸν καὶ ὠμόν, ὡς μόλις Ἀντωνίου ἐπ' αὐτῷ συγγνώμης τυχεῖν, εἰ σωτηρίας τοῦ θείου μισθὸς ἦν ὁ Κικέρωνος θάνατος. Ἃ τοίνυν ἐπιώρκησαν ἀμφότεροι καὶ παρεσπόνδησαν, ὁ μὲν Ἀρταβάζου συλλαβών, ὁ δ' Ἀλέξανδρον ἀποκτείνας, Ἀντωνίῳ μὲν ἔχει τὴν πρόφασιν ὁμολογουμένην· ἀπελείφθη γὰρ ἐν Μήδοις ὑπ' Ἀρταβάζου, καὶ προεδόθη· Δημήτριον δὲ πολλοὶ λέγουσι ψευδεῖς αἰτίας, ἐφ' οἷς ἔδρασε, πλασάμενον κατηγορεῖν ἀδικηθέντα, οὐκ ἀδικήσαντα ἀμύνασθαι. Πάλιν δὲ, τῶν μὲν κατορθωμάτων αὐτουργὸς ὁ Δημήτριος γέγονε· καὶ τοὐναντίον ὁ Ἀντώνιος, ἐν οἷς οὐ παρῆν, καλλίστας καὶ μεγίστας διὰ τῶν στρατηγῶν ἀνῃρεῖτο νίκας.

VI. Ἐξέπεσον δὲ τῶν πραγμάτων ἀμφότεροι μὲν δι' αὑτούς, οὐ μὴν ὁμοίως· ἀλλ' ὁ μὲν ἐγκαταλειφθείς· ἀπέστησαν γὰρ αὐτοῦ Μακεδόνες· ὁ δ' ἐγκαταλιπών· ἔφυγε γὰρ τοὺς ὑπὲρ αὐτοῦ κινδυνεύοντας· ὥστε τοῦ μὲν ἔγκλημα εἶναι τὸ δυσμενεῖς οὕτω πρὸς αὐτὸν ἀπεργάσασθαι τοὺς μαχομένους, τοῦ δὲ τὸ παεσκευασμένην εὔνοιαν τοιαύτην καὶ πίστιν ἐγκαταλιπεῖν. Τὸν δὲ θάνατον οὐδετέρου μέν ἐστιν ἐπαινέσαι, ψεκτὸς δ' ὁ Δημητρίου μᾶλλον. Αἰχμάλωτός

τε γὰρ ὑπέμεινε γενέσθαι, καὶ παθειμηχδεὶς ἠγάπησεν ἔπικερδᾶναι τριετίαν, οἴνῳ καὶ γαστρὶ, καθάπερ τὰ ζῶα, χειρούθης γενόμενος. Ἀντώνιος δὲ δειλῶς μὲν καὶ οἰκτρῶς καὶ ἀτίμως, οὐ μὴν ἀλλὰ πρό γε τοῦ κύριον γενέσθαι τὸν πολέμιον τοῦ σώματος, ἑαυτὸν ἐξήγαγεν.

Von der Bibliotheca Classica sind bis jetzt erschienen:

Poëtae.

Tom. I. Aeschylus - - - - 18 gr.
— II. Theocritus, Bion et Moschus - 12 -
— III. Poëtae gnomici - - 12 -
— IV. Callimachus - - - 6 -
— V. Anacreontica cum aliis Lyricis - 6 -
— VI. Apollonius Rhodius - - 12 -
— VII. Orphica - - 12 -
— VIII. Hesiodus - - - 6 -
— IX. Sophocles - - - 1 thlr.
— X. XI. Aristophanes. 2 Tomi - 2 —
— XII—XIV. Euripides e rec. A. Matthiae. 3 Tomi - - - 2 thlr. 16 gr.
— XV. XVI. Homeri Ilias. 2 Tomi - 1 thlr.
— XVII. XVIII. — Odyssea etc. 2 Tomi 1 —

Scriptores prosaici.

Tom. I. Aeschines - - - 12 gr.
— II. Xenophontis Cyropaedia - 12 -
— III. — Oeconomicus etc. 9 -
— IV—VI. Pausanias, e nova rec. Siebelis. 3 Tomi. - - - 2 thlr. 3 gr.
— VII—IX. Herodotus. 3 Tomi 2 — 3 -
— X Xenophontis Expeditio Cyri - 12 gr.
— XI. — historia graeca - 12 -
— XII. — memorabilia - 9 -
— XIII. — Opuscula politica 8 -
— XIV. XV. Thucydides. 2 Tomi 1 thlr. 12 gr.
— XVI—XIX. Plutarchi Vitae, e rec. Schaeferi. T. 1—8 à 12 gr.; - 4 thlr.
Scholiorum graecor. Tom. I. - 12 gr.

PLVTARCHI

VITAE PARALLELAE.

NOVA EDITIO ACCVRATA

IN VSVM

PRAELECTIONVM ACADEMICARVM
ET SCHOLARVM.

TOMVS IX.

LIPSIAE
SVMTIBVS I. A. C. WEIGELII.
LVGDVNI BATAVORVM
APVD S. ET J. LVCHTMANS.
1821.

ΔΙΩΝ.

Ἆρά γ', ὥσπερ ὁ Σιμωνίδης φησὶν, ὦ Σόσσιε Σε- 958
νεκίων, τοῖς Κορινθίοις οὐ μηνίειν τὸ Μῆδον ἐπι-
στρατεύσαι μετὰ τῶν Ἀχαιῶν, ὅτι καὶ ἐκείνοις οἱ πε-
ρὶ Γλαῦκον, ἐξ ἀρχῆς Κορίνθιοι γεγονότες, συνεμα-
χουν προθύμως· οὕτως εἰκὸς τῇ Ἀκαδημίᾳ μήτε
Ῥωμαίους, μήτε Ἕλληνας, ἐγκαλεῖν, ὧν φερομένους
ἐκ τῆς γραφῆς ταύτης, ἢ τόν τε Βρούτου περιέχει
βίον καὶ τὸν Δίωνος· ὧν ὁ μὲν αὐτῷ Πλάτωνι πλη-
σιάσας, ὁ δὲ τοῖς λόγοις ἐντραφεὶς τοῖς Πλάτωνος,
ὥσπερ ἐκ μιᾶς ὥρμησαν ἀμφότεροι παλαίσοντες ἐπὶ
τοὺς μεγίστους ἀγῶνας. Καὶ τὸ μὲν ὅμοια πολλὰ
καὶ ἀδελφὰ πράξαντας μαρτυρῆσαι τῷ καθηγεμόνι
τῆς ἀρετῆς, ὅτι δεῖ φρονήσει καὶ δικαιοσύνῃ δύνα-
μιν ἐπὶ τὸ αὐτὸ καὶ τύχην συνελθεῖν, ἵνα κάλλος
ἅμα καὶ μέγεθος αἱ πολιτικαὶ πράξεις λάβωσιν, οὐ
θαυμαστόν ἐστιν. Ὡς γὰρ Ἱππόμαχος, ὁ ἀλείπτης, c
ἔλεγε τοὺς γεγυμνασμένους παρ' αὐτοῦ, καὶ κρέας
ἐξ ἀγορᾶς ἰδὼν φέροντας, ἐπιγιγνώναι πόρρωθεν οὕ-
τω τὸν λόγον ἐστὶν εἰκὸς τῶν πεπαιδευμένων ὁμοίως
ἕπεσθαι ταῖς πράξεσιν, ἐμμέλειάν τινα καὶ ῥυθμὸν
ἐπιφέροντα μετὰ τοῦ πρέποντος.

II. Αἱ δὲ τύχαι, τοῖς συμπτώμασι μᾶλλον, ἢ
ταῖς προαιρέσεσιν, οὖσαι αἱ αὐταὶ, συνάγουσι τῶν
ἀνδρῶν τοὺς βίους εἰς ὁμοιότητα. Προαιρεθήσαν
γὰρ ἀμφότεροι τοῦ τέλους, εἰς ὃ προὔθεντο τας πρά-
ξεις ἐκ πολλῶν καὶ μεγάλων ἀγώνων καταθέσθαι, μὴ

δυνηθέντες. Ὁ δὲ πάντων θαυμασιώτατον, ὅτι καὶ τὸ δαιμόνιον ἀμφοτέροις ὑπεδήλωσε τὴν τελευτὴν, ὁμοίως ἑκατέρῳ φάσματος εἰς ὄψιν οὐκ εὐμενοῦς παραγενομένου. Καίτοι λόγος τις ἐστὶ τῶν ἀναιρούντων τὰ τοιαῦτα, μηδενὶ ἂν νοῦν ἔχοντι προσπεσεῖν φάντασμα δαίμονος, μηδ' εἴδωλον, ἀλλὰ παιδάρια καὶ γύναια, καὶ παραφόρους δὲ ἀσθένειαν ἀνθρώπους, ἔν τινι πλάνῳ ψυχῆς, ἢ δυσκρασίᾳ σώματος, γενομένους, δόξας ἐφέλκεσθαι κενὰς καὶ ἀλλοκότους, δαίμονα πονηρὸν ἐν αὐτοῖς εἶναι δεισιδαιμονίαν ἔχοντας. Εἰ δὲ Δίων καὶ Βροῦτος, ἄνδρες ἐμβριθεῖς καὶ φιλόσοφοι, καὶ πρὸς οὐδὲν ἀκροσφαλεῖς, οὐδ' εὐάλωτοι παθῶν, οὕτως ὑπὸ φάσματος διετέθησαν, ὥστε καὶ φράσαι πρὸς ἑτέρους, οὐκ οἶδα, μὴ τῶν πάνυ παλαιῶν τὸν ἀτοπώτατον ἀναγκασθῶμεν προσδέχεσθαι λόγον, ὡς τὰ φαῦλα δαιμόνια καὶ βάσκανα, προσφθονοῦντα τοῖς ἀγαθοῖς ἀνδράσι, καὶ τοῖς πράξεσιν ἐνιστάμενα, ταραχὰς καὶ φόβους ἐπάγει, σείοντα καὶ σφάλλοντα τὴν ἀρετὴν· ὡς μὴ διαμείναντες ἀπτῶτες ἐν τῷ καλῷ καὶ ἀπέραιοι, βελτίονος ἐκείνων μοίρας μετὰ τὴν τελευτὴν τύχωσιν. Ἀλλὰ ταῦτα μὲν εἰς ἄλλον ἀνακείσθω λόγον. Ἐν τούτῳ δὲ, δωδεκάτῳ τῶν παραλλήλων ὄντι βίων, τὸν τοῦ πρεσβυτέρου προείσαγάγωμεν.

III. Διονύσιος ὁ πρεσβύτερος, εἰς τὴν ἀρχὴν καταστὰς, εὐθὺς ἔγημε τὴν Ἑρμοκράτους τοῦ Συ-
959 ρακουσίου θυγατέρα. Ταύτην, οὕπω τῆς τυραννίδος ἱδρυμένης βεβαίως, ἀποστάντες οἱ Συρακούσιοι, δεινὰς καὶ παρανόμους ὕβρεις εἰς τὸ σῶμα παθύβρισαν, ἐφ' αἷς προήκατο τὸν βίον ἑκουσίως. Διονύσιος δὲ, τὴν ἀρχὴν ἀναλαβὼν καὶ κρατυνάμενος, αὖθις ἄγεται δύο γυναῖκας ἅμα, τὴν μὲν ἐκ Λοκρῶν, ὄνομα Δωρίδα· τὴν δ' ἐπιχώριον, Ἀριστομάχην, θυγατέρα Ἱππαρίνου, πρωτευόντων ἀνδρῶν Συρακουσίων, καὶ Διονυσίῳ συνάρξαντος, ὅτε πρῶτον αὐτοκράτωρ ἐπὶ τὸν πόλεμον ἠρέθη στρατηγός. Λέγεται δ' ἡμέρᾳ μὲν ἀμφοτέρας ἀγαγέσθαι μιᾷ,

καὶ μηδενὶ γενέσθαι φανερὸς ἀνθρώπων, ὁποτέρᾳ προτέρᾳ συνέλθοι τὸν δ' ἄλλον χρόνον, ἴσον νέμων ἑαυτὸν διατελεῖν ἑκατέρᾳ, κοινῇ μὲν εἰθισμένων δειπνεῖν μετ' αὐτοῦ, παρὰ νύκτα δ' ἐν μέρει συναναπαυομένων. Καίτοι τῶν Συρακουσίων ἐβούλετο τὸ πλῆθος τὴν ἐγγενῆ πλέον ἔχειν τῆς ξένης· ἀλλ' ἐκείνη προτέρᾳ ὑπῆρχε τεκούσῃ, τὸν πρεσβεύοντα τῆς Διονυσίου γενεᾶς υἱὸν αὐτῇ βοηθεῖν πρὸς τὸ γένος. Ἡ δ' Ἀριστομάχη πολὺν χρόνον ἄπαις συνῴκει τῷ Διονυσίῳ, καίπερ σπουδάζοντι περὶ τὴν ἐκ ταύτης τέκνωσιν· ὡς γε καὶ τὴν μητέρα τῆς Λοκρίδος αἰτιασάμενος καταφαρμακεύειν τὴν Ἀριστομάχην, ἀπέκτεινε.

IV. Ταύτης ἀδελφὸς ὢν ὁ Δίων, ἐν ἀρχῇ μὲν εἶχε τιμὴν ἀπὸ τῆς ἀδελφῆς, ὕστερον δὲ τοῦ φρονεῖν ὀδοὺς πεῖραν, ἤδη καθ' ἑαυτὸν ἠγαπᾶτο παρὰ τῷ τυράννῳ. Καὶ πρὸς ἅπασι τοῖς ἄλλοις, εἴρητο τοῖς ταμίαις, ὅ τι ἂν αἰτῇ Δίων, διδόναι, δόντας δὲ πρὸς αὐτὸν αὐθημερὸν φράζειν. Ὢν δὲ καὶ πρότερον ὑψηλὸς τῷ ἤθει, καὶ μεγαλόφρων, καὶ ἀνδρώδης, ἔτι μᾶλλον ἐπέδωκε πρὸς ταῦτα, θείᾳ τινὶ τύχῃ Πλάτωνος εἰς Σικελίαν παραβαλόντος καθ' οὐδένα λογισμὸν ἀνθρώπινον· ἀλλὰ δαίμων τις, ὡς ἔοικε, πόρρωθεν ἀρχὴν ἐλευθερίας παραβαλλόμενος Συρακουσίοις, καὶ τυραννίδος κατάλυσιν μηχανώμενος, ἐκόμισεν ἐξ Ἰταλίας εἰς Συρακούσας Πλάτωνα καὶ Δίωνα συνήγαγεν εἰς λόγους αὐτῷ, νέον μὲν ὄντα κομιδῇ, πολὺ δ' εὐμαθέστατον ἁπάντων τῶν Πλάτωνι συγγεγονότων, καὶ ὀξύτατον ὑπακοῦσαι πρὸς ἀρετήν, ὡς αὐτὸς ἔγραψε Πλάτων, καὶ τὰ πράγματα μαρτυρεῖ. Τραφεὶς γὰρ ἐν ἤθεσιν ὑπὸ τυράννῳ ταπεινοῖς, καὶ βίου μὲν ἀνίσου καὶ ἀκαταφόβου, θεραπείας δὲ ἀνεπλούτου, καὶ τρυφῆς ἀπειροκάλου, καὶ διαίτης ἐν ἡδοναῖς καὶ πλεονεξίαις τιθεμένης τὸ καλὸν, ἐθὰς καὶ μέστος γενόμενος, ὡς πρῶτον ἐγεύσατο λόγου, καὶ φιλοσοφίας ἡγεμονικῆς, πρὸς ἀρετὴν ἀνεφλέχθη τὴν ψυχὴν ταχύ, καὶ τῇ περὶ αὐτὸν εὐπειθείᾳ τῶν παλῶν, ἁπάντως πάνυ καὶ φιλο-

περιτῶς προσδοκήσας ὑπὸ τῶν αὐτῶν λόγων ὁμοίως πείσεσθαι Διονύσιον, ἐσπούδασε καὶ ἐπράξατο ποιησάμενος σχολὴν αὐτὸν ἐντυχεῖν Πλάτωνι καὶ ἀκοῦσαι.

V. Γενομένης δὲ τῆς συνουσίας αὐτοῖς, τὸ μὲν ὅλον περὶ ἀνδρὸς ἀρετῆς, πλείστων δὲ περὶ ἀνδρείας διαπορηθέντων, ὡς πάντας μᾶλλον ὁ Πλάτων, ἢ τοὺς τυράννους, ἀπέφαινεν ἀνδρείους· ἐκ δὲ τούτου τραπόμενος περὶ δικαιοσύνης ἐδίδασκεν, ὡς μακάριος μὲν ὁ τῶν δικαίων, ἄθλιος δ' ὁ τῶν ἀδίκων βίος· ὥστε τοὺς λόγους ἔφερεν ὁ τύραννος, ὥσπερ ἐξελεγχόμενος, ἤχθετό τε τοῖς παροῦσι θαυμαστῶς ἀποδεχομένοις τὸν ἄνδρα, καὶ κηλουμένοις ὑπὸ τῶν λεγομένων. Τέλος δὲ θυμωθεὶς καὶ παροξυνθεὶς, ἠρώτησεν αὐτὸν, ὅ τι δὴ βουλόμενος εἰς Σικελίαν παραγένοιτο. Τοῦ δὲ φήσαντος, ἀγαθὸν ἄνδρα ζητεῖν, ὑπολαβὼν ἐκεῖνος· „Ἀλλὰ νὴ θεοὺς, εἶπε, καὶ φαίνῃ μήπω τοιοῦτον εὑρηκώς.“ Οἱ μὲν οὖν περὶ τὸν
960 Δίωνα τοῦτο τέλος ὤοντο τῆς ὀργῆς γεγονέναι, καὶ τὸν Πλάτωνα σπεύδοντα συνεξέπεμπον ἐπὶ τριήρους, ἢ Πόλλιν ἐκόμιζεν εἰς τὴν Ἑλλάδα, τὸν Σπαρτιάτην. Ὁ δὲ Διονύσιος κρύφα τοῦ Πόλλιδος ἐποιήσατο δέησιν, μάλιστα μὲν ἀποκτεῖναι τὸν ἄνδρα κατὰ πλοῦν, εἰ δὲ μή, πάντως ἀποδόσθαι· βλαβήσεσθαι γὰρ οὐδὲν, ἀλλ' εὐθαιμονήσειν ὁμοίως, δίκαιον ὄντα, κἂν δοῦλος γένηται. Διὰ καὶ λέγεται Πόλλις εἰς Αἴγιναν φέρων ἀποδόσθαι Πλάτωνα, πολέμου πρὸς Ἀθηναίους ὄντος αὐτοῖς, καὶ ψηφίσματος, ὅπως ὁ ληφθεὶς Ἀθηναίων ἐν Αἰγίνῃ πιπράσκηται. Οὐ μὴν ὅ γε Δίων ἔλαττον εἶχε παρὰ τῷ Διονυσίῳ τιμῆς, ἢ πίστεως, ἀλλὰ πρεσβείας τε τὰς μεγίστας διῴκει, πεμπόμενος πρὸς Καρχηδονίους· ἐθαυμάσθη τε διαφερόντως, καὶ τὴν παῤῥησίαν ἔφερεν αὐτοῦ μόνου σχεδὸν ἀδεῶς λέγοντος τὸ παριστάμενον, ὡς καὶ τὴν περὶ Γέλωνος ἐπίπληξιν. Χλευαζομένης γὰρ, ὡς ἔοικε, τῆς Γέλωνος ἀρχῆς, αὐτόν τε τὸν Γέλωνα τοῦ Διονυσίου, γέλωτα τῆς Σικελίας γεγονέναι φήσαντος, οἱ μὲν ἄλλοι τὸ σκῶμμα προσεποιοῦντο θαυμάζειν· ὁ δὲ Δίων,

θοσχερᾶνας· „Καὶ μὴν, ἔφη, σὺ τυραννεῖς διὰ Γέλωνα πεπιστευθείς· διὰ σὲ δ' οὐδεὶς ἕτερος πιστευθήσεται.“ Τῷ γὰρ ὄντι φαίνεται κάλλιστον μὲν Γέλων ἐπιδειξάμενος θέαμα μοναρχουμένην πόλιν, αἴσχιστον δὲ Διονύσιος.

VI. Ὄντων δὲ Διονυσίῳ παίδων τριῶν μὲν ἐκ τῆς Λοκρίδος, τεττάρων δ' ἐξ Ἀριστομάχης, ὧν δύο ἦσαν θυγατέρες, Σωφροσύνη καὶ Ἀρετή, Σωφροσύνη μὲν Διονυσίῳ, τῷ υἱῷ, συνῴκησεν, Ἀρετὴ δὲ Θεαρίδῃ, τῷ ἀδελφῷ. Τελευτήσαντος δὲ τοῦ ἀδελφοῦ, Θεαρίδου, Δίων ἔλαβε τὴν Ἀρετὴν, ἀδελφιδῆν οὖσαν. Ἐπεὶ δὲ νοσῶν ἔδοξεν ὁ Διονύσιος ἀβιώτως ἔχειν, ἐπεχείρησεν αὐτῷ διαλέγεσθαι περὶ τῶν ἐκ τῆς Ἀριστομάχης τέκνων ὁ Δίων. Οἱ δ' ἰατροὶ, τῷ μέλλοντι τὴν ἀρχὴν διαδέχεσθαι χαριζόμενοι, καιρὸν οὐ παρέσχον· ὡς δὲ Τίμαιός φησι, καὶ φάρμακον ὑπνωτικὸν κιττοῦννοι δόντες, ἀφείλοντο τὴν αἴσθησιν αὐτοῦ, θανάτῳ συνάψαντες τὸν ὕπνον. Οὐ μὴν ἀλλὰ συλλόγου πρώτου τῶν φίλων γενομένου παρὰ τὸν νέον Διονύσιον, οὕτω διελέχθη περὶ τῶν συμφερόντων πρὸς τὸν καιρὸν ὁ Δίων, ὥστε τοὺς ἄλλους ἅπαντας τῇ μὲν φρονήσει παῖδας ἀποδεῖξαι, τῇ δὲ παῤῥησίᾳ δούλους τῆς τυραννίδος, ἀγεννῶς καὶ περιφόβως τὰ πολλὰ πρὸς χάριν τῷ μειρακίῳ συμβουλεύοντας. Μάλιστα δ' αὐτοὺς ἐξέπληξε τὸν ἀπὸ Καρχηδόνος κίνδυνον ἐπικρεμάμενον τῇ ἀρχῇ δεδοικότας, ὑποσχόμενος, εἰ μὲν εἰρήνης δέοιτο Διονύσιος, πλεύσας εὐθὺς εἰς Λιβύην ὡς ἄριστα διαθήσεσθαι τὸν πόλεμον· εἰ δὲ πολεμεῖν προθυμοῖτο, θρέψειν αὐτὸς ἰδίοις τέλεσι καὶ παρέξειν εἰς τὸν πόλεμον αὐτῷ πεντήκοντα τριήρεις πλεούσας.

VII. Ὁ μὲν οὖν Διονύσιος ὑπερφυῶς τὴν μεγαλοψυχίαν ἐθαύμασε, καὶ τὴν προθυμίαν ἠγάπησεν. Οἱ δ' ἐλέγχεσθαι τῇ λαμπρότητι, καὶ ταπεινοῦσθαι τῇ δυνάμει τοῦ Δίωνος οἰόμενοι, ταύτην εὐθὺς ἀρχὴν λαβόντες, οὐδεμιᾶς ἐφείδοντο φωνῆς, ἢ τὸ μειράκιον ἐξαγριαίνειν ἔμελλον πρὸς αὐτὸν, ὡς ὑπερχό-

μενον διὰ τῆς θαλάττης τυραννίδα, καὶ περισπῶντα ταῖς ναυσὶ τὴν δύναμιν εἰς τοὺς Ἀριστομάχης παῖδας, ἀδελφιδοῦς ὄντας αὐτῷ. Φανερώτατα δὲ καὶ μέγιστα τῶν εἰς φθόνον καὶ μῖσος αἰτιῶν ὑπῆρχον ἡ τοῦ βίου διαφορὰ καὶ τὸ τῆς διαίτης ἄμικτον. Οἱ μὲν γὰρ εὐθὺς ἐξ ἀρχῆς νέου τυράννου καὶ τεθραμμένου φαύλως ὁμιλίαν καὶ συνήθειαν ἡδοναῖς καὶ κολακείαις καταλαμβάνοντες ἀεί τινας ἔρωτας καὶ διατριβὰς ἐμηχανῶντο δεμβώδεις περὶ πότους
961 καὶ γυναῖκας καὶ παιδιὰς ἑτέρας ἀσχήμονας. Ὑφ' ὧν ἡ τυραννὶς, ὥσπερ σίδηρος, μαλασσομένη, ταῖς μὲν ἀρχομένοις ἐφάνη φιλάνθρωπος, καὶ τὸ λίαν ἀπάνθρωπον ὑπαγῆκεν, οὐκ ἐπιεικείᾳ τινὶ μᾶλλον, ἢ ῥᾳθυμίᾳ τοῦ κρατοῦντος, ἀμβλυνομένη. Ἐκ δὲ τούτου προϊοῦσα καὶ νεμομένη κατὰ μικρὸν ἡ περὶ τὸ μειράκιον ἄνεσις τοὺς ἀδαμαντίνους δεσμοὺς ἐκείνους, οἷς ὁ πρεσβύτερος Διονύσιος ἔφη δεδεμένην ἀπολιπεῖν τὴν μοναρχίαν, ἐξέτηξε καὶ διέφθειρεν. Ἡμέρας γὰρ, ὡς φασιν, ἐνενήκοντα συνεχῶς ἔπινεν ἀρξάμενος, καὶ τὴν αὐλὴν ἐν τῷ χρόνῳ τούτῳ, σπουδαίοις ἀνδράσι καὶ λόγοις ἄβατον καὶ ἀνείσοδον οὖσαν, μέθαι, καὶ σκώμματα, καὶ ψαλμοὶ, καὶ ὀρχήσεις, καὶ βωμολοχίαι κατεῖχον.

VIII. Ἦν οὖν, ὡς εἰκὸς, ὁ Δίων ἐπαχθὴς, εἰς οὐδὲν ἡδὺ καὶ νεωτερικὸν ἐνδιδοὺς ἑαυτόν. Διὸ καὶ πιθανὰ κακιῶν προσρήματα ταῖς ἀρεταῖς ἐπιφέροντες αὐτοῦ διέβαλλον, ὑπεροψίαν τὴν σεμνότητα, καὶ τὴν παῤῥησίαν αὐθάδειαν ἀποκαλοῦντες. Καὶ νουθετῶν κατηγορεῖν ἐδόκει· καὶ μὴ συνεξαμαρτάνων καταφρονεῖν. Ἀμέλει δὲ καὶ φύσει τινὰ τὸ ἦθος ὄγκον εἶχεν αὐτοῦ, καὶ τραχύτητα δυσπρόσοδον ἐντεύξει καὶ δυσξύμβολον. Οὐ γὰρ μόνον ἀνδρὶ σεφ καὶ διατεθρυμμένῳ τὰ ὦτα κολακείαις ἄχαρις ἦν συγγενέσθαι καὶ προσάντης, ἀλλὰ καὶ πολλοὶ τῶν πάνυ χρωμένων αὐτῷ, καὶ τὴν ἁπλότητα καὶ τὸ γενναῖον ἀγαπώντων τοῦ τρόπου, κατεμέμφοντο τῆς ὁμιλίας, ὡς ἀγροικότερον καὶ βαρύτερον πολιτικῶν χρειῶν τοῖς δεομένοις συναλλάσσοντα. Περὶ ὧν καὶ

Πλάτων ὕστερον, ὥσπερ ἀποθεσπίζων, ἔγραψε πρὸς αὐτὸν, ἐξευλαβεῖσθαι τὴν αὐθάδειαν, ὡς ἐρημίᾳ συνοικοῦσαν. Οὐ μὴν ἀλλὰ τότε πλείστου δοκῶν ἄξιος ὑπάρχειν διὰ τὰ πράγματα, καὶ μόνος, ἢ μάλιστα, τὴν τυραννίδα σαλεύουσαν ἀνορθοῦν καὶ διαφυλάττειν, ἐγίνωσκεν οὐ πρὸς χάριν, ἀλλ' ἄκοντος ὑπὸ χρείας τοῦ τυράννου, πρῶτος ὢν καὶ μέγιστος.

IX. Αἰτίαν δὲ τούτου τὴν ἀπαιδευσίαν εἶναι νομίζων, ἐμβαλεῖν αὐτὸν εἰς διατριβὰς ἐλευθερίους ἐφιλοτιμεῖτο, καὶ γεῦσαι λόγων καὶ μαθημάτων ἠθοποιῶν, ὡς ἀρετήν τε παύσαιτο δεδιὼς, καὶ τοῖς καλοῖς χαίρειν ἐθισθείη. Φύσει γὰρ οὐκ ἐγεγόνει τῶν φαυλοτάτων τυράννων ὁ Διονύσιος· ἀλλ' ὁ πανὺ δεδοικὼς, μὴ φρονήματος μεταλαβὼν, καὶ συγγενόμενος νοῦν ἔχουσιν ἀνθρώποις, ἐπιβουλεύσειεν αὐτῷ, καὶ παρέλοιτο τὴν ἀρχὴν, ἐφρούρει κατάκλειστον αἶκος, δι' ἐρημίαν ὁμιλίας ἑτέρας, καὶ ἀπειρίᾳ πραγμάτων, ὥς φασιν, ἀμάξια καὶ λυχνίας, καὶ δίφρους ξυλίνους, καὶ τραπέζας τεκταινόμενον. Οὕτω γὰρ ἦν ἄπιστος, καὶ πρὸς ἅπαντας ἀνθρώπους ὕποπτος καὶ προβεβλημένος διὰ φόβον ὁ πρεσβύτερος Διονύσιος, ὥστε μηδὲ τῆς κεφαλῆς τὰς τρίχας ἀφελεῖν κουρικαῖς μαχαίραις, ἀλλὰ τῶν πλαστῶν τις ἐπιφοιτῶν ἄνθρακι τὴν κόμην περιέκαιεν. Εἰσῆει δὲ πρὸς αὐτὸν εἰς τὸ δωμάτιον οὔτ' ἀδελφὸς, οὔθ' υἱὸς, ὡς ἔτυχεν, ἠμφιεσμένος, ἀλλ' ἔδει, πρὶν εἰσελθεῖν, ἀποδύντα τὴν ἑαυτοῦ στολὴν ἕκαστον, ἑτέραν ἀναλαβεῖν, ῥαθέντα γυμνὸν ὑπὸ τῶν φυλαττόντων. Ἐπεὶ δὲ Λεπτίνης, ὁ ἀδελφὸς, αὐτῷ ποτε χωρίου φύσιν ἐξηγούμενος, λαβὼν λόγχην παρά τινος τῶν δορυφόρων, ὑπέγραψε τὸν τόπον, ἐκείνῳ μὲν ἰσχυρῶς ἐχαλέπαινε, τὸν δὲ δόντα τὴν λόγχην ἀπέκτεινεν. Ἔλεγε δὲ τοὺς φίλους φυλάττεσθαι, νοῦν ἔχοντας εἰδὼς, καὶ βουλομένους μᾶλλον τυραννεῖν, ἢ τυραννεῖσθαι. Καὶ Μαρσύαν δέ τινα τῶν προηγμένων ὑπ' αὐτοῦ καὶ τεταγμένων ἐφ' ἡγεμονίας ἀνεῖλε, δόξαντα κατὰ τοὺς ὕπνους σφάττειν αὐτόν· ὡς ἀπ' ἐνοίας με- 962

θηρεύῃς, καὶ διαλογισμοῦ, τῆς ὄψεως ταύτης εἰς τὸν ὕπνον αὐτῷ παραγενομένης. Ὁ μὲν δὴ Πλάτωνι θυμωθεὶς, ὅτι μὴ πάντων αὐτὸν ἀνθρώπων ἀνδρειότατον ὄντα ἀπέφηνεν, οὕτω περίφοβον καὶ τοσούτων ὑπὸ δειλίας κακῶν μεστὴν εἶχε τὴν ψυχήν.

X. Τὸν δ' υἱὸν αὐτοῦ, καθάπερ εἴρηται, διαλελωβημένον ἀπαιδευσίᾳ καὶ συντετριμμένον τὸ ἦθος ὁ Δίων ὁρῶν, παρεκάλει πρὸς παιδείαν τραπέσθαι, καὶ δεηθῆναι τοῦ πρώτου τῶν φιλοσόφων πᾶσαν δέησιν ἐλθεῖν εἰς Σικελίαν· ἀλθόντι δὲ πάρασχεῖν αὐτὸν, ὅπως διακοσμηθεὶς τὸ ἦθος εἰς ἀρετὴν λόγων, καὶ πρὸς τὸ θειότατον ἀφομοιωθεὶς παράδειγμα τῶν ὄντων καὶ κάλλιστον, ᾧ τὸ πᾶν ἡγουμένῳ πειθόμενον, ἐξ ἀκοσμίας κόσμος ἐστὶ, πολλὴν μὲν εὐδαιμονίαν ἑαυτῷ μηχανήσεται, πολλὴν δὲ τοῖς πολίταις, ὅσα νῦν ἐν ἀθυμίᾳ διοικοῦσι πρὸς ἀνάγκην τῆς ἀρχῆς, ταῦτα σωφροσύνῃ καὶ δικαιοσύνῃ μετ' εὐμενείας πατρονομούμενα παρασχών, καὶ γενόμενος βασιλεὺς ἐκ τυράννου. Τοὺς γὰρ ἀδαμαντίνους δεσμοὺς οὐχ, ὥσπερ ὁ πατὴρ ἔλεγεν αὐτοῦ, φόβον καὶ βίαν καὶ νεῶν πλῆθος εἶναι, καὶ βαρβάρων μυριάνδρων φυλακὴν, εὔνοιαν δὲ καὶ προθυμίαν καὶ χάριν ἐγγενομένην ὑπ' ἀρετῆς καὶ δικαιοσύνης· ἃ, καίπερ ὄντα μαλακώτερα τῶν συντόνων καὶ σκληρῶν ἐκείνων, ἰσχυρότερα πρὸς διαμονὴν ἡγεμονίας ὑπάρχειν. Χωρὶς δὲ τούτων ἀφιλότιμον εἶναι καὶ ἄζηλον τὸν ἄρχοντα, τῷ μὲν σώματι περιττῶς ἀμπεχόμενον, καὶ τῇ περὶ τὴν οἴκησιν ἁβρότητι καὶ κατασκευῇ λαμπρυνόμενον, ὁμιλίᾳ δὲ καὶ λόγῳ μηδὲν ὄντα τοῦ προστυχόντος σεμνότερον, μηδὲ τῆς ψυχῆς τὸ βασίλειον ἀξιοῦντα κεκοσμημένον ἔχειν βασιλικῶς καὶ πρεπόντως.

XI. Ταῦτα πολλάκις τοῦ Δίωνος παραινοῦντος, καὶ τῶν λόγων τοῦ Πλάτωνος ἔστιν οὗστινας ὑποσπείροντος, ἔσχεν ἔρως τὸν Διονύσιον ὀξὺς καὶ περιμανὴς τῶν τε λόγων καὶ τῆς συνουσίας τοῦ Πλάτωνος. Εὐθὺς οὖν ἀθήναζε πολλὰ μὲν ἐφοίτα γράμ-

ματα παρὰ τοῦ Διονυσίου, πολλαὶ δ' ἐπισκήψεις παρὰ τοῦ Δίωνος· ἄλλαι δ' ἐξ Ἰταλίας παρὰ τῶν Πυθαγορικῶν, διακελευομένων παραγενέσθαι, καὶ νέας ψυχῆς ἐξουσίᾳ μεγάλῃ καὶ δυνάμει παραφερομένης ἐπιλαβέσθαι, καὶ κατασχεῖν ἐμβριθεστέροις λογισμοῖς. Πλάτων μὲν οὖν, ὡς φησιν αὐτὸς, ἑαυτὸν αἰσχυνθεὶς, μάλιστα μὴ δόξειεν ἐν λόγοις εἶναι μόνον, ἔργου δ' ἑκὼν οὐδενὸς ἂν ἅψασθαι, καὶ προσδοκήσας δὲ ἑνὸς ἀνδρὸς, ὥσπερ ἡγεμονικοῦ μέρους, ἐκκαθαρθέντος, ὅλην ἰατρεύειν Σικελίαν νοσοῦσαν, ὑπήκουσεν. Οἱ δὲ τῷ Δίωνι πολεμοῦντες, φοβούμενοι τὴν τοῦ Διονυσίου μεταβολὴν, ἔπεισαν αὐτὸν ἀπὸ τῆς φυγῆς μεταπέμπεσθαι Φίλιστον, ἄνδρα καὶ πεπαιδευμένον περὶ λόγους, καὶ τυραννικῶν ἠθῶν ἔμπειρότατον, ὡς ἀντίταγμα πρὸς Πλάτωνα καὶ φιλοσοφίαν ἐκεῖνον ἔξοντες. Ὁ γὰρ δὴ Φίλιστος ἐξ ἀρχῆς τε τῇ τυραννίδι καθισταμένῃ προθυμότατον ἑαυτὸν παρέσχε, καὶ τὴν ἄκραν διεφύλαξε φρουραρχῶν ἐπὶ πολὺν χρόνον. Ἦν δὲ λόγος, ὡς καὶ τῇ μητρὶ πλησιάζοι τοῦ πρεσβυτέρου Διονυσίου, τοῦ τυράννου μὴ παντάπασιν ἀγνοοῦντος. Ἐπεὶ δὲ Λεπτίνης ἐκ γυναικὸς, ἣν διαφθείρας ἑτέρῳ συνοικοῦσαν ἔσχε, γενομένων αὐτῷ δυοῖν θυγατέρων, τὴν ἑτέραν ἔδωκε Φιλίστῳ, μηδὲ φράσας πρὸς Διονύσιον· ὀργισθεὶς ἐκεῖνος, τὴν μὲν γυναῖκα τοῦ Λεπτίνου δείσας ἐν πέδαις καθεῖρξε, τὸν δὲ Φίλιστον ἐξήλασε Σικελίας, φυγόντα παρὰ ξένους τινὰς εἰς τὸν Ἀδρίαν· ὅπου καὶ δοκεῖ τὰ πλεῖστα συνθεῖναι τῆς ἱστορίας σχολάζων. Οὐ γὰρ ἐπανῆλθε, τοῦ πρεσβυτέρου ζῶντος, ἀλλὰ μετὰ τὴν ἐκείνου τελευτὴν, ὥσπερ εἴρηται, κατήγαγεν αὐτὸν ὁ πρὸς 963
Δίωνα τῶν ἄλλων φθόνος, ὡς αὐτοῖς τε μᾶλλον ἐπιστήδειον ὄντα, καὶ τῇ τυραννίδι βεβαιότερον.

XII. Οὗτος μὲν οὖν εὐθὺς κατελθὼν διεπεφύκει τῆς τυραννίδος· τῷ δὲ Δίωνι καὶ παρ' ἄλλων ἐτύγχανον οὖσαι διαβολαὶ καὶ κατηγορίαι πρὸς τὸν τύραννον, ὡς διειλεγμένῳ περὶ καταλύσεως τῆς ἀρ-

χῆς πρόσωπα Θεοδότην καὶ πρὸς Ἡρακλείδην. Ἤλπιζε μὲν γὰρ, ὡς ἔοικε, διὰ Πλάτωνος παραχενομένου τὸ δεσποτικὸν καὶ λίαν ἄκρατον ἀφελὼν τῆς τυραννίδος, ἐμμελῆ τινα καὶ νόμιμον ἄρχοντα τὸν Διονύσιον κατασήσειν. Εἰ δ' ἀντιβαίνοι, καὶ μὴ μαλάσσοιτο, καταλύσας ἐκεῖνον, ἐγνώκει τὴν πολιτείαν ἀποδιδόναι Συρακουσίοις οὐκ ἐπαινῶν μὲν δημοκρατίαν, πάντως δὲ βελτίω τυραννίδος ἡγούμενος τοῖς διαμαρτάνουσιν ὑγιαινούσης ἀριστοκρατίας.

XIII. Ἐν τοιαύτῃ δὲ καταστάσει τῶν πραγμάτων ὄντων, Πλάτων εἰς Σικελίαν ἀφικόμενος, περὶ μὲν τὰς πρώτας ἀπαντήσεις θαυμαστῆς ἐτύγχανε φιλοφροσύνης καὶ τιμῆς. Καὶ γὰρ ἅρμα τῶν βασιλικῶν αὐτῷ παρέστη κεκοσμημένον διαπρεπῶς ἀποβάντι τῆς τριήρους· καὶ θυσίαν ἔθυσεν ὁ τύραννος, ὡς εὐτυχήματος μεγάλου τῇ ἀρχῇ προσεγενόσος. Ἀϊδὼς δὲ συμποσίων, καὶ σχηματισμὸς αὐλῆς, καὶ πρόσοψις αὐτοῦ τοῦ τυράννου περὶ ἕκαστα τῶν χρηματιζομένων, θαυμαστὰς ἐνέβαλλεν ἐλπίδας μεταβολῆς τοῖς πολίταις. Φορά δέ τις ἦν ἐπὶ λόγους καὶ φιλοσοφίαν ἁπάντων, καὶ τὸ τυραννεῖον, ὥς φασι, κονιορτὸς ὑπὸ πλήθους τῶν γεωμετρούντων κατεῖχεν. Ἡμερῶν δ' ὀλίγων διαγενομένων, θυσία μὲν ἦν πάτριος ἐν τοῖς τυραννείοις· τοῦ δὲ κήρυκος, ὥσπερ εἰώθει, κατευξαμένου διαμένειν τὴν τυραννίδα ἀσάλευτον πολλοὺς χρόνους, ὁ Διονύσιος λέγεται παρεστὼς, „Οὐ παύσῃ, φάναι, καταρώμενος ἡμῖν;“ Τοῦτο κωμῳδῆ τοὺς περὶ τὸν Φίλιστον ἐλύπησεν, ἅμαχόν τινα τοῦ Πλάτωνος ἡγουμένους ἔσεσθαι χρόνῳ καὶ συνηθείᾳ τὴν δύναμιν, εἰ νῦν ἐκ συνουσίας ὀλίγης ἠλλοίωκεν οὕτω καὶ μεταβέβληκε τὴν γνώμην τὸ μειράκιον.

XIV. Οὐκ ἔτ' οὖν καθ' ἕνα καὶ ἰαθραίως, ἀλλὰ πάντες ἀναφανδὸν ἐλοιδόρουν τὸν Δίωνα· λέγοντες, ὡς οὐ λέληθε κατεπᾴδων καὶ καταφαρμάσσων τῷ Πλάτωνος λόγῳ Διονύσιον, ὅπως, ἀφέκτος ἐκου-

εἰως αὐτοῦ καὶ προεμένου τὴν ἀρχὴν, ὑπολαβὼν εἰς τοὺς Ἀριστομάχης περιστηση παῖδας, ὧν θεῖός ἐστιν. Ἔνιοι δὲ προσεποιοῦντο δυσχεραίνειν, εἰ πρότερον μὲν Ἀθηναῖοι ναυτικαῖς καὶ πεζικαῖς δυνάμεσι μεγάλαις δεῦρο πλεύσαντες ἀπώλοντο, καὶ διεφθάρησαν πρότερον, ἢ λαβεῖν Συρακούσας, νυνὶ δὲ δι' ἑνὸς σοφιστοῦ καταλύσουσι τὴν Διονυσίου τυραννίδα, συμπείσαντες αὐτὸν ἐκ τῶν μυρίων δορυφόρων ἀποδράντα, καὶ καταλιπόντα τὰς τετρακοσίας τριήρεις, καὶ τοὺς μυρίους ἱππεῖς, καὶ τοὺς πολλάκις τοσούτους ὁπλίτας, ἐν Ἀκαδημίᾳ τὸ σιωπώμενον ἀγαθὸν ζητεῖν, καὶ διὰ γεωμετρίας εὐδαίμονα γενέσθαι, τὴν ἐν ἀρχῇ καὶ χρήμασι καὶ τρυφαῖς εὐδαιμονίαν Δίωνι καὶ τοῖς Δίωνος ἀδελφιδοῖς προέμενον. Ἐκ τούτων ὑποψίας πρῶτον, εἶτα καὶ φανερωτέρας ὀργῆς καὶ διαφορᾶς γενομένης, ἐκομίσθη τις ἐπιστολὴ κρύφα πρὸς Διονύσιον, ἣν ἐγεγράφει Δίων πρὸς τοὺς Καρχηδονίων ἐπιμελητὰς κελεύων, ὅταν Διονυσίῳ περὶ τῆς εἰρήνης διαλέγωνται, μὴ χωρὶς αὐτοῦ ποιήσασθαι τὴν ἔντευξιν, ὡς πάντα θησομένους ἀμεταπτώτως δι' αὐτοῦ. Ταύτην ἀναγνοὺς Διονύσιος Φιλίστῳ, καὶ μετ' ἐκείνου βουλευσάμενος, ὥς φησι Τίμαιος, ὑπῆλθε τὸν Δίωνα πεπλασμένας διαλύσεσ· καὶ μέτρια σκηψάμενος, διαλλάττεσθαί τε φήσας, μόνον τ' ἀπαγα- 964
γὼν ὑπὸ τὴν ἀκρόπολιν πρὸς τὴν θάλασσαν, ἔδειξε τὴν ἐπιστολὴν, καὶ κατηγόρησεν, ὡς συνισταμένου μετὰ Καρχηδονίων ἐπ' αὐτόν. Ἀπολογεῖσθαι δὲ βουλομένου ταῦ Δίωνος, οὐκ ἀνασχόμενος, ἀλλ' εὐθὺς, ὡς εἶχε, θέμενος εἰς ἀκάτιον, προσέταξε τοῖς ναύταις κομίζοντας αὐτὸν ἐκθεῖναι πρὸς τὴν Ἰταλίαν.

XV. Γενομένου δὲ τούτου, καὶ φανέντος ὠμοῦ τοῖς ἀνθρώποις, τὴν μὲν οἰκίαν τοῦ τυράννου πένθος εἶχε διὰ τὰς γυναῖκας· ἡ δὲ πόλις ἡ τῶν Συρακουσίων ἐπῆρτο, πράγματα νεώτερα καὶ μεταβολὴν προσδεχομένη ταχείαν ἐκ τοῦ περὶ Δίωνα θορύβου, καὶ τῆς πρὸς τὸν τύραννον ἀπιστίας τῶν

ἄλλων. Ἃ δὴ συνορῶν ὁ Διονύσιος, καὶ δεδοικὼς, τοὺς μὲν φίλους παρεμυθεῖτο καὶ τὰς γυναῖκας, ὡς οὐ φυγῆς, ἀλλ' ἀποδημίας, τῷ Δίωνι γεγενημένης, ὡς μή τι χεῖρον ὀργῇ πρὸς τὴν αὐθάδειαν αὐτοῦ παρόντος ἁμαρτεῖν βιασθείη· δύο δὲ ναῦς παραδοὺς τοῖς Δίωνος οἰκείοις, ἐκέλευσεν ἐνθεμένους ὅσα βούλοιντο τῶν ἐκείνου χρήματα καὶ θεραπόντας ἀπάγειν πρὸς αὐτὸν εἰς Πελοπόννησον. Ἦν δ' οὐσία μεγάλη τῷ Δίωνι, καὶ σχεδόν τι τυραννικὴ πομπὴ καὶ κατασκευὴ περὶ τὴν δίαιταν, ἣν οἱ φίλοι συλλαβόντες ἐκόμιζον. Ἄλλα δ' ἐπέμπετο πολλὰ παρὰ τῶν γυναικῶν καὶ τῶν ἑταίρων, ὥστε χρημάτων ἕνεκα καὶ πλούτου λαμπρὸν ἐν τοῖς Ἕλλησιν εἶναι, καὶ διαφανῆναι τῇ τοῦ φυγάδος εὐπορίᾳ τὴν τῆς τυραννίδος δύναμιν.

XVI. Πλάτωνα δὲ Διονύσιος εὐθὺς μὲν εἰς τὴν ἀκρόπολιν μετέστησεν, ἔντιμον αὐτῷ σχήματι ξενίας φιλανθρώπου φρουρὰν μηχανησάμενος, ὡς μὴ συμπλέοι Δίωνι μάρτυς, ὧν ἠδίκητο. Χρόνῳ δὲ καὶ συνδιαιτήσει, καθάπερ ψαῦσιν ἀνθρώπου θηρίον, ἐθισθεὶς ὑπομένειν τε τὴν ὁμιλίαν αὐτοῦ καὶ τὸν λόγον, ἠράσθη τυραννικὸν ἔρωτα, μόνος ἀξιῶν ὑπὸ Πλάτωνος ἀντεραᾶσθαι καὶ θαυμάζεσθαι μάλιστα πάντων, ἕτοιμος ὢν ἐπιτρέπειν τὰ πράγματα καὶ τὴν τυραννίδα μὴ προτιμῶντι τὴν πρὸς Δίωνα φιλίαν τῆς πρὸς αὐτόν. Ἦν οὖν τῷ Πλάτωνι συμφορὰ τὸ πάθος αὐτοῦ τοῦτο, μαινομένου, καθάπερ οἱ δυσέρωτες ὑπὸ ζηλοτυπίας· καὶ πολλὰς μὲν ὀργὰς ἐν ὀλίγῳ χρόνῳ, πολλὰς δὲ διαλλαγὰς καὶ δεήσεις ποιουμένου πρὸς αὐτὸν, ἀκροᾶσθαι δὲ τῶν λόγων καὶ κοινωνεῖν τῆς περὶ φιλοσοφίαν πραγματείας σπουδάζοντος μὲν ὑπερφυῶς, αἰδουμένου δὲ τοὺς ἀποτρέποντας, ὡς διαφθαρησομένου. Ἐν τούτῳ δὲ πολέμου τινὸς ἐμπεσόντος, ἀποπέμπει τὸν Πλάτωνα, συνθέμενος εἰς ὥραν ἔτους μεταπέμψασθαι Δίωνα. Καὶ τοῦτο μὲν ἐψεύσατο, τὰς δὲ προσόδους τῶν κτημάτων ἀπέπεμπεν αὐτῷ, ἀξιῶν Πλάτωνα συγγνῶναι περὶ τοῦ χρόνου διὰ τὸν πόλεμον.

εἰρήνης γὰρ γενομένης, τάχιστα μεταπέμψασθαι τὸν Δίωνα, καὶ ἀξιοῦν αὐτὸν ἡσυχίαν ἄγειν, καὶ μηδὲν νεωτερίζειν, μηδὲ βλασφημεῖν κατ' αὐτοῦ πρὸς τοὺς Ἕλληνας.

XVII. Ταῦτ' ἐπειρᾶτο ποιεῖν Πλάτων, καὶ Δίωνα τρέψας ἐπὶ φιλοσοφίαν, ἐν Ἀκαδημίᾳ συνεῖχεν. Ὤικει μὲν οὖν ἐν ἄστει παρὰ Καλλίππῳ τινὶ τῶν γνωρίμων· ἀγρὸν δὲ διαγωγῆς χάριν ἐκτήσατο, καὶ τοῦτον ὕστερον εἰς Σικελίαν πλέων Σπευσίππῳ δωρεὰν ἔδωκεν· ᾧ μάλιστα τῶν Ἀθήνησι φίλων ἐχρῆτο καὶ συνδιητᾶτο, βουλομένου τοῦ Πλάτωνος ὁμιλίᾳ χάριν ἐχούσῃ, καὶ παιδιᾶς ἐμμελοῦς κατὰ καιρὸν ἁπτομένῃ κεραννύμενον ἀφηδύνεσθαι τοῦ Δίωνος τὸ ἦθος. Τοιοῦτος δέ τις ὁ Σπεύσιππος ἦν· ᾗ καὶ σκῶψαι ἀγαθὸν αὐτὸν ἐν τοῖς Σίλλοις ὁ Τίμων προσηγόρευσεν. Αὐτῷ δὲ Πλάτωνι, χορηγοῦντι παίδων χορῷ, τόν τε χορὸν ἤσκησεν ὁ Δίων, καὶ τὸ δαπάνημα πᾶν ἐτέλεσε παρ' ἑαυτοῦ, συγχωροῦντος τοῦ Πλάτωνος τὴν τοιαύτην φιλοτιμίαν πρὸς τοὺς Ἀθηναίους, ὡς ἐκείνῳ μᾶλλον εὔνοιαν, ἢ δό- 965
ξαν αὐτῷ, φέρουσαν. Ἐπεφοίτα δὲ καὶ ταῖς ἄλλαις πόλεσιν ὁ Δίων, καὶ συνεσχόλαζε καὶ συνεπανηγύριζε τοῖς ἀρίστοις καὶ πολιτικωτάτοις ἀνδράσιν, οὐδὲν ἐν τῇ διαίτῃ σόλοικον ἐπιδεικνύμενος, οὐδὲ τυραννικὸν, οὐδ' ἐπιτεθρυμμένον, ἀλλὰ σωφροσύνην, καὶ ἀρετὴν, καὶ ἀνδρείαν, καὶ περὶ λόγους καὶ περὶ φιλοσοφίαν εὐσχήμονας διατριβάς. Ἐφ' οἷς εὔνοια παρὰ πάντων ἐγίνετο καὶ ζῆλος αὐτῷ, τιμαί τε δημόσιαι καὶ ψηφίσματα παρὰ τῶν πόλεων. Λακεδαιμόνιοι δὲ καὶ Σπαρτιάτην αὐτὸν ἐποιήσαντο, τῆς Διονυσίου καταφρονήσαντες ὀργῆς, καίπερ αὐτοῖς τότε προθύμως ἐπὶ τοὺς Θηβαίους συμμαχοῦντος. Λέγεται δέ ποτε τὸν Δίωνα τοῦ Μεγαρέως Πτοιοδώρου δεομένου ἐπὶ τὴν οἰκίαν ἐλθεῖν· ἦν δ', ὡς ἔοικε, τῶν πλουσίων τις καὶ δυνατῶν ὁ Πτοιόδωρος· ὄχλον οὖν ἐπὶ θύραις ἰδὼν ὁ Δίων, καὶ πλῆθος ἀσχολιῶν, καὶ δυσέντευκτον αὐτὸν καὶ δυσπρόσοδον, ἀπιδὼν πρὸς τοὺς φίλους δυσχεραίναντας καὶ

ἀγανακτοῦντας· „Τί τοῦτον, ἔφη, μεμφόμεθα; καὶ γὰρ αὐτοὶ πάντως ἐν Συρακούσαις ὁμοια τούτοις ἐποιοῦμεν.“

XVIII. Χρόνου δὲ προϊόντος, ὁ Διονύσιος ζηλοτυπῶν, καὶ δεδοικὼς τοῦ Δίωνος τὴν παρὰ τοῖς Ἕλλησιν εὔνοιαν, ἐπαύσατο τὰς προσόδους ἀποστέλλων, καὶ τὴν οὐσίαν παρέδωκεν ἰδίοις ἐπιτρόποις. Βουλόμενος δὲ καὶ τὴν εἰς τοὺς φιλοσόφους διὰ Πλάτωνα κακοδοξίαν ἀναμάχεσθαι, πολλοὺς συνῆγε τῶν πεπαιδεῦσθαι δοκούντων. Φιλοτιμούμενος δὲ τῷ διαλέγεσθαι περιεῖναι πάντων, ἠναγκάζετο τοῖς Πλάτωνος παρακούσμασι κακῶς χρῆσθαι. Καὶ πάλιν ἐκεῖνον ἐπόθει, καὶ κατεγίνωσκεν αὐτὸς αὑτοῦ, μὴ χρησάμενος παρόντι, μηδὲ διακούσας, ὅσα καλῶς εἶχεν. Οἷα δὲ τύραννος, ἔμπληκτος ἀεὶ ταῖς ἐπιθυμίαις, καὶ πρὸς πᾶσαν ὀξύρροπος σπουδὴν, εὐθὺς ὥρμησεν ἐπὶ τὸν Πλάτωνα, καὶ πᾶσαν μηχανὴν εἶρων, συνέπεισε τοὺς περὶ Ἀρχύταν Πυθαγορικοὺς, τῶν ὁμολογουμένων ἀναδόχους γενομένους, καλεῖν Πλάτωνα· δι' ἐκείνου γὰρ αὐτοῖς ἐγεγόνει φιλία καὶ ξενία τὸ πρῶτον. Οἱ δ' ἔπεμψαν Ἀρχέδημον παρ' αὐτόν· ἔπεμψε δὲ καὶ Διονύσιος τριήρεις, καὶ φίλους δεησομένους τοῦ Πλάτωνος· αὐτός τε σαφῶς καὶ διαῤῥήδην ἔγραψεν, ὡς οὐδὲν ἂν γένοιτο τῶν μετρίων Δίωνι, μὴ πεισθέντος Πλάτωνος ἐλθεῖν εἰς Σικελίαν· πεισθέντος δὲ, πάντα. Πολλαὶ δ' ἀφίκοντο πρὸς Δίωνα παρὰ τῆς ἀδελφῆς καὶ γυναικὸς ἐπισκήψεις, δεῖσθαι Πλάτωνος ὑπακοῦσαι Διονυσίῳ, καὶ μὴ πρόφασιν παρασχεῖν. Οὕτω μὲν δή φησιν ὁ Πλάτων ἐλθεῖν τὸ τρίτον εἰς τὸν πορθμὸν τὸν περὶ Σικελίαν,

Ὅφρ' ἔτι τὴν ὅλοὴν ἀναμέτρήσειε Χάρυβδιν.

XIX. Ἐλθὼν δὲ μεγάλης μὲν αὐτὸν ἐνέπλησε χαρᾶς, μεγάλης δὲ πάλιν ἐλπίδος Σικελίαν, συνευχομένην καὶ συμφιλοτιμουμένην Πλάτωνα μὲν Φιλίστου περιγενέσθαι, φιλοσοφίαν δὲ τυραννίδος. Ἦν δὲ πολλὴ μὲν τῶν γυναικῶν σπουδὴ περὶ αὐτὸν, ἐξ-

αἱρετὸς δὲ παρὰ τῷ Διονυσίῳ πίστεως, ἣν οὐδεὶς ἄλλος εἶχεν, ἀδιερεύνητον αὐτῷ πλησιάζειν. Δωρεὰς δὲ χρημάτων πολλῶν καὶ πολλάκις τοῦ μὲν διδόντος, τοῦ δὲ μὴ δεχομένου, παρὼν Ἀρίστιππος, ὁ Κυρηναῖος, ἀσφαλῶς ἔφη μεγαλόψυχον εἶναι Διονύσιον· αὐτοῖς μὲν γὰρ μικρὰ διδόναι, πλειόνων δεομένοις, Πλάτωνι δὲ πολλὰ, μηδὲν λαμβάνοντι. Μετὰ δὲ τὰς πρώτας φιλοφροσύνας, ἀρξαμένου Πλάτωνος ἐντυγχάνειν περὶ Δίωνος, ὑπερθέσεις τὸ πρῶτον ἦσαν, εἶτα μέμψεις καὶ διαφοραὶ λανθάνουσαι τοὺς ἐκτὸς, ἐπικρυπτομένου Διονυσίου, καὶ ταῖς ἄλ- 966
λαις τὸν Πλάτωνα θεραπείαις καὶ τιμαῖς πειρωμένου παράγειν ἀπὸ τῆς Δίωνος εὐνοίας, οὐδ' αὐτὸν ἔν γε τοῖς πρώτοις χρόνοις ἀποκαλύπτοντα τὴν ἀπιστίαν αὐτοῦ καὶ ψευδολογίαν, ἀλλ' ἐγκαρτεροῦντα καὶ σχηματιζόμενον. Οὕτω δὲ διακειμένων πρὸς ἀλλήλους, καὶ λανθάνειν πάντας οἰομένων, Ἕλικων ὁ Κυζικηνὸς, εἷς τῶν Πλάτωνος συνήθων, ἡλίου προεῖπεν ἔκλειψιν· καὶ γενομένης, ὡς προεῖπε, θαυμασθεὶς ὑπὸ τοῦ τυράννου, δωρεὰν ἔλαβεν ἀργυρίου τάλαντον. Ἀρίστιππος δὲ, παίζων πρὸς τοὺς ἄλλους φιλοσόφους, ἔφη τι καὶ αὐτὸς ἔχειν τῶν παραδόξων προειπεῖν. Ἐκείνων δὲ φράσαι δεομένων, „Προλέγω τοίνυν, εἶπεν, ὀλίγου χρόνου Πλάτωνα καὶ Διονύσιον ἐχθροὺς γενησομένους.“ Τέλος δὲ, τὴν μὲν οὐσίαν τοῦ Δίωνος ὁ Διονύσιος ἐπώλει, καὶ τὰ χρήματα κατεῖχε· Πλάτωνα δ' ἐν τῷ περὶ τὴν οἰκίαν κήπῳ διαιτώμενον εἰς τοὺς μισθοφόρους μετέστησε, πάλαι μισοῦντας αὐτὸν καὶ ζητοῦντας ἀνελεῖν, ὡς πεισθέντα Διονύσιον ἀφεῖναι τὴν τυραννίδα, καὶ ζῆν ἀδορυφόρητον.

XX. Ἐν τοιούτῳ κινδύνῳ γενομένου τοῦ Πλάτωνος, οἱ περὶ Ἀρχύταν πυθόμενοι, ταχὺ πέμπουσι πρεσβείαν καὶ τριακόντορον, ἀπαιτοῦντες τὸν ἄνδρα παρὰ Διονυσίου, καὶ λέγοντες, ὡς αὐτοὺς λαβὼν ἀναδόχους τῆς ἀσφαλείας πλεύσειεν εἰς Συρακούσας. Ἀπολεγομένου δὲ τοῦ Διονυσίου τὴν ἔχθραν ἑστιάσεσι καὶ φιλοφροσύναις περὶ τὴν προπομπὴν

ἦν δέ τι προαχθέντος ὡς αὐτὸν τοιοῦτον εἰπεῖν· „Ἤπου, Πλάτων, πολλὰ καὶ δεινὰ κατηγορήσεις ἡμῶν πρὸς τοὺς συμφιλοσοφοῦντας“ ὑπομειδιάσας ἐκεῖνος ἀπεκρίνατο· „Μὴ τοσαύτη λόγων ἐν Ἀκαδημίᾳ γένοιτο σπάνις, ὥστε σοῦ τινα μνημονεῦσαι!“ Τοιαύτην μὲν τὴν ἀποστολὴν τοῦ Πλάτωνος γενέσθαι λέγουσιν· οὐ μέντοι τὰ Πλάτωνος αὐτοῦ πανῦ τούτοις συνᾴδει.

XXI. Δίων δὲ καὶ τούτοις ἐχαλέπαινε, καὶ μετ' ὀλίγον χρόνον ἐξεπολεμώθη παντάπασι, πυθόμενος τὸ περὶ τὴν γυναῖκα· περὶ οὗ καὶ Πλάτων ἠνίξατο, γράφων πρὸς Διονύσιον. Ἦν δὲ τοιοῦτον. Μετὰ τὴν ἐκβολὴν τοῦ Δίωνος, ἀποπέμπων Πλάτωνα Διονύσιος, ἐκέλευσεν αὐτοῦ δὲ ἀπορρήτων πυθέσθαι, μή τι κωλύοι τὴν γυναῖκα πρὸς γάμον ἑτέρῳ δοθῆναι· καὶ γὰρ ἦν λόγος, εἴτ' ἀληθής, εἴτε συντεθεὶς ὑπὸ τῶν Δίωνα μισούντων, ὡς οὐ καθ' ἡδονὴν ὁ γάμος εἴη Δίωνι γεγονὼς, οὐδ' εὐάρμοστος ἡ πρὸς τὴν γυναῖκα συμβίωσις. Ὡς οὖν ἦκεν ὁ Πλάτων Ἀθηναζε, καὶ τῷ Δίωνι περὶ πάντων ἐνέτυχε, γράφει πρὸς τὸν τύραννον ἐπιστολὴν, τὰ μὲν ἄλλα σαφῶς πᾶσιν, αὐτὸ δὲ τοῦτο μόνῳ γνώριμον ἐκείνῳ φράζουσαν· ὡς διαλεχθείη Δίωνι περὶ τοῦ πράγματος ἐκείνου, καὶ σφόδρα δῆλος εἴη χαλεπαίνων, εἰ τοῦτο Διονύσιος ἐξεργάσαιτο. Καὶ τότε μὲν ἔτι πολλῶν ἐλπίδων οὐσῶν πρὸς τὰς διαλύσεις, οὐδὲν ἔπραξε περὶ τὴν ἀδελφὴν νεώτερον, ἀλλ' εἴα μένειν αὐτὴν μετὰ τοῦ παιδίου τοῦ Δίωνος οἰκοῦσαν. Ἐπεὶ δὲ παντάπασιν ἀσυμβάτως εἶχε, καὶ Πλάτων αὖθις ἐλθὼν ἀπεπέμφθη πρὸς ἀπέχθειαν, οὕτω τὴν Ἀρετὴν ἄκουσαν ἑνὶ τῶν φίλων, Τιμοκράτει, δίδωσιν· οὐ μιμησάμενος τὴν κατά γε τοῦτο τοῦ πατρὸς ἐπιείκειαν. Ἐγεγόνει γάρ, ὡς ἔοικε, κἀκείνῳ Πολύξενος, ὁ τὴν ἀδελφὴν ἔχων αὐτοῦ, Θέστην, πολέμιος. Ἀποδράντος οὖν αὐτοῦ διὰ φόβον, καὶ φυγόντος ἐκ Σικελίας, μεταπεμψάμενος ἠτιᾶτο τὴν ἀδελφὴν, ὅτι συνειδυῖα τὴν φυγὴν τοῦ ἀνδρὸς οὐ κατεῖπε πρὸς αὐτόν. Ἡ δ' ἀνεκπλήκτως καὶ νὴ Δί' ἀφόβως,

Εἶθ' οὕτως σοι δοκῶ, Διονύσιε, φαύλη γυνὴ γεγονέναι καὶ ἄνανδρος, ὥστε προγνοῦσα τὴν φυγὴν τοῦ ἀνδρὸς οὐκ ἂν συνεκπλεῦσαι καὶ μετασχεῖν τῆς αὐτῆς τύχης; Ἀλλ' οὐ προέγνων. Ἐπεὶ καλῶς εἶχέ μοι μᾶλλον, Πολυξένου γυναῖκα φεύγοντος, ἢ σοῦ τυραννοῦντος ἀδελφὴν, λέγεσθαι. Ταῦτα τῆς Θέστης παῤῥησιασαμένης, θαυμάσαι λέγουσι τὸν τύραννον. Ἐθαύμασαν δὲ καὶ οἱ Συρακούσιοι τὴν ἀρετὴν τῆς γυναικὸς, ὥστε καὶ μετὰ τὴν κατάλυσιν τῆς τυραννίδος ἐκείνῃ τιμὴν καὶ θεραπείαν βασιλικὴν ὑπάρχειν· ἀποθανούσης δὲ, δημοσίᾳ πρὸς τὴν ταφὴν ἐπακολουθῆσαι τοὺς πολίτας. Ταῦτα μὲν οὖν οὐκ ἄχρηστον ἔχει τὴν παρέκβασιν.

XXII. Ὁ δὲ Δίων ἐντεῦθεν ἤδη τρέπεται πρὸς πόλεμον· αὐτοῦ μὲν Πλάτωνος ἐκποδὼν ἱσταμένου δι' αἰδῶ τῆς πρὸς Διονύσιον ξενίας καὶ γῆρας, Σπευσίππου δὲ καὶ τῶν ἄλλων ἑταίρων τῷ Δίωνι συλλαμβανόντων, καὶ παρακελευομένων ἐλευθεροῦν Σικελίαν, χεῖρας ὀρέγουσαν αὐτῷ, καὶ προθύμως ὑποδεχομένην. Ὅτε γὰρ ἐν Συρακούσαις Πλάτων διέτριβεν, οἱ περὶ Σπεύσιππον, ὡς ἔοικε, μᾶλλον ἀναμιγνύμενοι τοῖς ἀνθρώποις κατεμάνθανον τὴν διάνοιαν αὐτῶν. Καὶ τὸ μὲν πρῶτον ἐφοβοῦντο τὴν παῤῥησίαν, ὡς διάπειραν οὖσαν ὑπὸ τοῦ τυράννου· χρόνῳ δ' ἐπίστευσαν. Ὁ γὰρ αὐτὸς ἦν παρὰ πάντων λόγος δεομένων καὶ παρακελευομένων ἐλθεῖν Δίωνα, μὴ ναῦς ἔχοντα, μηδ' ὁπλίτας, μηδ' ἵππους, ἀλλ' αὐτὸν εἰς ὑπηρετικὸν ἐμβάντα, χρῆσαι τὸ σῶμα καὶ τοὔνομα Σικελιώταις ἐπὶ τὸν Διονύσιον. Ταῦτα τῶν περὶ Σπεύσιππον ἀγγελλόντων, ἐπιῤῥωσθεὶς ἐξενολόγει κρύφα καὶ δι' ἑτέρων, ἐπικρυπτόμενος τὴν διάνοιαν. Συνέπραττον δὲ καὶ τῶν πολιτικῶν πολλοὶ καὶ τῶν φιλοσόφων, ὅ τε Κύπριος Εὔδημος, εἰς ὃν Ἀριστοτέλης ἀποθανόντα τὸν περὶ ψυχῆς διάλογον ἐποίησε, καὶ Τιμωνίδης ὁ Λευκάδιος. Συνέστησαν δὲ καὶ Μίλταν αὐτῷ τὸν Θεσσαλὸν, ἄν-

ἅμα μάχην, καὶ μετεσχηκότα τῆς ἐν Ἀκαδημίᾳ διατριβῆς. Τῶν δ' ὑπὸ τοῦ τυράννου πεφυγαδευμένων, οὐ μεῖον ἢ χιλίων ὄντων, πέντε καὶ εἴκοσι μόνοι τῆς στρατείας ἐκοινώνησαν, οἱ δ' ἄλλοι προὔδοσαν ἀποδειλιάσαντες. Ὁρμητήριον δ' ἦν ἡ Ζακυνθίων νῆσος, εἰς ἣν οἱ στρατιῶται συνελέγησαν, ἑκατοσίων ἐλάττους γενόμενοι· γνώριμοι δὲ πάντες ἐκ πολλῶν καὶ μεγάλων στρατειῶν, καὶ τοῖς σώμασιν ἠσκημένοι διαφερόντως· ἐμπειρίᾳ δὲ καὶ τόλμῃ πολὺ πάντων κράτιστοι, καὶ δυνάμενοι πλῆθος, ὅσον ἤλπιζεν ἕξειν ἐν Σικελίᾳ Δίων, ὑπεκκαῦσαι καὶ συνεξορμῆσαι πρὸς ἅλκην.

XXIII. Οὗτοι μὲν πρῶτον ἀκούσαντες, ἐπὶ Διονύσιον καὶ Σικελίαν αἴρεσθαι τὸν στόλον, ἐξεπλάγησαν καὶ κατέγνωσαν, ὡς ὀργῆς τινος παραφροσύνῃ καὶ μανίᾳ τοῦ Δίωνος, ἢ χρηστῶν ἐλπίδων ἀπορίᾳ, ῥιπτοῦντος ἑαυτὸν εἰς ἀπεγνωσμένας πράξεις· καὶ τοῖς ἑαυτῶν ἡγεμόσι καὶ ξενολόγοις ὠργίζοντο,, μὴ προεκπῦσαι εὐθὺς ἐξ ἀρχῆς τὸν πόλεμον. Ἐπεὶ δὲ Δίων τῷ λόγῳ τὰ σαθρὰ τῆς τυραννίδος ἐπεξιὼν ἐδίδασκεν, ὡς οὐ στρατιώτας, ἀλλὰ μᾶλλον ἡγεμόνας αὐτοὺς νομίζοι, Συρακουσίων καὶ τῶν ἄλλων Σικελιωτῶν πάλαι πρὸς ἀπόστασιν ἑτοίμων ὑπαρχόντων· μετὰ δὲ τὸν Δίωνα διαλεχθέντος αὐτοῖς Ἀλκιμένους, ὡς πρῶτος ὢν Ἀχαιῶν δόξῃ καὶ γένει συνεστράτευεν, ἐπείσθησαν. Ἦν μὲν οὖν θέρους ἀκμή, καὶ κατεῖχον ἐτησίαι τὸ πέλαγος· ἡ δὲ σελήνη διχομηνίαν ἦγε. Τῷ δ' Ἀπόλλωνι θυσίαν μεγαλοπρεπῆ παρασκευάσας ὁ Δίων, ἐπόμπευσε μετὰ τῶν στρατιωτῶν κεκοσμημένων ταῖς πανοπλίαις πρὸς τὸ ἱερόν· καὶ μετὰ τὴν θυσίαν ἐν τῷ σταδίῳ τῶν Ζακυνθίων κατακλιθέντας αὐτοὺς εἱστία, θαυμάζοντας ἀργυρῶν καὶ χρυσῶν ἐκπωμάτων καὶ τραπεζῶν ὑπερβαλλόντως ἰδιωτικὸν πλοῦτον καὶ πρότυπα, καὶ λογιζομένους, ὅτι παρηκμακὼς ἀνὴρ ἤδη
968. καὶ τοσαύτης εὐπορίας κύριος οὐκ ἂν ἐπιχειροίη παραβόλοις πράγμασι χωρὶς ἐλπίδος βεβαίου, καὶ

φίλων ἐνδιδόντων ἐκεῖθεν αὐτῷ τὰς πλείστας καὶ μεγίστας ἀφορμάς.

XXIV. Μετὰ δὲ τὰς σπονδὰς καὶ τὰς νενομισμένας κατευχὰς ἐξέλιπεν ἡ σελήνη. Καὶ τοῖς μὲν περὶ τὸν Δίωνα θαύματος οὐδὲν ἦν, λογιζομένοις τὰς ἐκλειπτικὰς περιόδους, καὶ τὴν γινομένην τοῦ σκιάσματος ἀπάντησιν πρὸς τὴν σελήνην, καὶ τῆς γῆς τὴν ἀντίφραξιν πρὸς τὸν ἥλιον. Ἐπεὶ δὲ τοῖς στρατιώταις διαταραχθεῖσιν ἔδει τινὸς παρηγορίας, Μίλτας, ὁ μάντις, ἐν μέσῳ καταστὰς, ἐκέλευε θαρρεῖν αὐτοὺς καὶ προσδοκᾶν τὰ πράσιστα· σημαίνειν γὰρ τὸ δαιμόνιον ἔκλειψίν τινα τῶν νῦν ἐπιφανῶν ἐπιφανέστερον δὲ μηδὲν εἶναι τῆς Διονυσίου τυραννίδος, ἧς τὸ λαμπρὸν ἀποσβέσειν ἐκείνους αὐθὶς ἀψαμένους Σικελίας. Τοῦτο μὲν οὖν ὁ Μίλτας εἰς μέσον ἐξέθηκε πᾶσι· τὸ δὲ τῶν μελισσῶν, αἳ περὶ τὰ πλοῖα τοῦ Δίωνος ὤφθησαν ἐσομὲν λαμβάνουσαι κατὰ πρύμναν, ἰδίᾳ πρὸς αὐτὸν καὶ τοὺς φίλους ἔφραζε δεδιέναι, μὴ καλαὶ μὲν αἱ πράξεις αὐτοῦ γένωνται, χρόνον δ' ὀλίγον ἀνθήσασαι μαρανθῶσι. Λέγεται δὲ, καὶ τῷ Διονυσίῳ πολλὰ τερατώδη παρὰ τοῦ δαιμονίου γενέσθαι σημεῖα. Λευκὸς μὲν γὰρ, ἁρπάσας δοράτιον τινὸς τῶν δορυφόρων, ἀράμενος ὑψοῦ καὶ φέρων ἀφῆκεν εἰς τὸν βυθόν. Ἡ δὲ προσκλύζουσα πρὸς τὴν ἀκρόπολιν θάλασσα ῥαλίαν ἡμέραν τὸ ὕδωρ γλυκὺ καὶ πότιμον παρέσχεν, ὥστε γευσαμένοις πᾶσι κατάθηλον εἶναι. Χοῖροι δ' ἐτέχθησαν αὐτῷ, τῶν μὲν ἄλλων οὐδενὸς ἐνδεεῖς μορίων, ὦτα δ' οὐκ ἔχοντες. Ἀπεφαίνοντο δ' οἱ μάντεις, τοῦτο μὲν ἀποστάσεως καὶ ἀπειθείας εἶναι σημεῖον, ὡς οὐκ ἔσι τῶν πολιτῶν ἀκουσομένων τῆς τυραννίδος· τὴν δὲ γλαφυρότητα τῆς θαλάσσης μεταβολὴν καιρῶν ἀνιαρῶν καὶ πονηρῶν εἰς πράγματα χρηστὰ φέρειν Συρακουσίοις. Λευκὸς δὲ, θεράπων Διὸς λόγχῃ δὲ, παράσημον ἀρχῆς καὶ δυναστείας ἀφανισμὸν οὖν καὶ κατάλυσιν τῇ τυραννίδι βουλεύειν τὸν τῶν θεῶν μέγιστον. Τοῦτα μὲν οὖν θεσπέσιος ἱστόρηκεν

XXV. Τοὺς δὲ στρατιώτας τοὺς Αἰώνος ἐξεδέξαντο στρογγύλαι δύο ναῦς, τρίτον δὲ πλοῖον οὐ μέγα, καὶ δύο τριακόντοροι παρηκολούθουν. Ὅπλα δὲ, χωρὶς ὧν εἶχον οἱ στρατιῶται, δισχιλίας μὲν ἐκόμιζεν ἀσπίδας, βέλη δὲ καὶ δόρατα πολλὰ, καὶ πλῆθος ἐφοδίων ἄφθονον, ὅπως ἐπιλίπῃ μηδὲν αὐτοὺς ποντοποροῦντας· ἅτε δὴ τὸ σύμπαν ἐπὶ πνεύμασι καὶ θαλάσσῃ πεποιημένους τὸν πλοῦν, διὰ τὸ τὴν γῆν φοβεῖσθαι, καὶ πυνθάνεσθαι, Φίλιστον ἐν Ἰαπυγίᾳ ναυλοχοῦντα παραφυλάττειν. Ἀραιῷ δὲ καὶ μαλακῷ πνεύματι πλεύσαντες ἡμέρας δώδεκα, τῇ τρισκαιδεκάτῃ κατὰ Πάχυνον ἦσαν, ἄκραν τῆς Σικελίας. Καὶ πρῶτος μὲν ὁ κυβερνήτης κατὰ τάχος ἐκέλευσεν ἀποβαίνειν, ὡς, ἂν ἀποσπασθῶσι τῆς γῆς, καὶ τὴν ἄκραν ἑκόντες ἀφῶσι, πολλὰς ἡμέρας καὶ νύκτας ἐν τῷ πελάγει τριβησομένους, ὥρᾳ θέρους νότον περιμένοντας. Δίων δὲ τὴν ἐγγὺς τῶν πολεμίων ἀπόβασιν δεδιὼς, καὶ τῶν πρόσω μᾶλλον ἅψασθαι βουλόμενος, παρέπλευσε τὸν Πάχυνον. Ἐκ δὲ τούτου, τραχὺς μὲν ἀπαρκτίας ἐπιπεσὼν ἤλαυνε πολλῷ κλύδωνι τὰς ναῦς ἀπὸ τῆς Σικελίας, ἀστραπαὶ δὲ καὶ βρονταὶ, φανέντος ἀρκτούρου, συμπεσοῦσαι, πολὺν ἐξ οὐρανοῦ χειμῶνα καὶ ῥαγδαῖον ὄμβρον ἐξέχεαν· ᾧ τῶν ναυτῶν συνταραχθέντων, καὶ πλάνης γενομένης, καθορῶσιν αἰφνίδιον ὑπὸ τοῦ κύματος ὠθουμένας τὰς ναῦς ἐπὶ τὴν πρὸς Διβύην Κέρκιναν, ᾗ μάλιστα κρημνώδης ἀπήντα καὶ τραχεῖα προσφερομένοις αὐτοῖς ἡ νῆσος. Μικρὸν οὖν δεήσαντες ἐκριφῆναι καὶ συντριβῆναι περὶ τὰς πέτρας, ἐβιάζοντο πρὸς κοντὸν παραφερόμενοι μόλις· ἕως ὁ χειμὼν ἐλώφησε, καὶ πλοίῳ συντυχόντες,
969 ἔγνωσαν ἐπὶ ταῖς καλουμέναις κεφαλαῖς τῆς μεγάλης Σύρτεως ὄντες. Ἀθυμοῦσι δ' αὐτοῖς πρὸς τὴν γαλήνην καὶ διαφερομένοις αὔραν τινὰ κατέσπειρεν ἡ χώρα νότιον, οὐ πάνυ προσδεχομένοις νότον, οὐδὲ πιστεύουσι τῇ μεταβολῇ. Κατὰ μικρὸν δὲ ῥωννυμένου τοῦ πνεύματος, καὶ μέγεθος λαμβάνοντος, ἐκτείναντες ὅσον ἦν ἱστίων, καὶ προσευξάμενοι τοῖς

θεσῖς, πελάγει πρὸς τὴν Σικελίαν ἔφευγον ἀπὸ τῆς Λιβύης καὶ θέοντες ἐλαφρῶς, πεμπταῖοι κατὰ Μέναιαν ὥρμισαντο, πολεμίων ἐν τῇ Σικελίᾳ τῆς Καρχηδονίων ἐπικρατείας. Ἔτυχε δὲ τηνικαῦτα ὁ Καρχηδόνιος ἄρχων, Σύναλος, ἐν τῇ χωρίᾳ, ξένος ὢν καὶ φίλος Δίωνος. Ἀγνοῶν δὲ τὴν παρουσίαν αὐτοῦ καὶ τὸν στόλον, ἐπειρᾶτο κωλύειν τοὺς στρατιώτας ἀποβαίνοντας. Οἱ δὲ μετὰ τῶν ὅπλων ἐκθραμόντες, ἀπέκτειναν μὲν οὐδένα· ἀπειρήκει γὰρ ὁ Δίων διὰ τὴν οὖσαν αὐτῷ φιλίαν πρὸς τὸν Καρχηδόνιον· φεύγουσι δὲ συνεισπεσόντες αἱροῦσι τὸ χωρίον. Ὡς δ' ἀπήντησαν ἀλλήλοις οἱ ἡγεμόνες καὶ ἠσπάσαντο, Δίων μὲν ἀπέδωκε τὴν πόλιν Συνάλῳ, οὐδὲν ἀδικήσας· Σύναλος δὲ τοὺς στρατιώτας ἐξέθρεψε, καὶ συμπαρεσκεύαζεν, ὧν Δίων ἐδεῖτο.

XXVI. Μάλιστα δ' αὐτοὺς ἐθάρρυνε τὸ συμβεβηκὸς αὐτομάτως περὶ τὴν ἀποδημίαν τοῦ Διονυσίου. Νεωστὶ γὰρ ἐκπεπλευκὼς ἐτύγχανεν ὀγδοήκοντα ναυσὶν εἰς τὴν Ἰταλίαν. Διὸ καὶ τοῦ Δίωνος παρακαλοῦντος ἐνταῦθα τοὺς στρατιώτας ἀναλαμβάνειν, πολὺν χρόνον ἐν τῇ θαλάσσῃ κεκακωμένους, οὐχ ὑπέμειναν αὐτοὶ, σπεύδοντες ἁρπάσαι τὸν καιρὸν, ἀλλ' ἐκέλευον ἡγεῖσθαι τὸν Δίωνα πρὸς τὰς Συρακούσας. Ἀποσκευασάμενος οὖν τὰ περόντα τῶν ὅπλων καὶ τῶν φορτίων ἐκεῖ, καὶ τοῦ Συνάλου δεηθεὶς, ὅταν ἡ καιρὸς, ἀποστεῖλαι πρὸς αὐτὸν, ἐβάδιζεν ἐπὶ τὰς Συρακούσας. Παρευομένῳ δ' αὐτῷ πρῶτον μὲν Ἀκραγαντῖνων προσεχώρησαν ἱππεῖς διακόσιοι τῶν περὶ τὸ Ἔκνομον οἰκούντων, μετὰ δὲ τούτους Γελῷοι. Ταχὺ δὲ τῆς φήμης διαθραμούσης εἰς Συρακούσας, Τιμοκράτης, ὁ τῇ Δίωνος γυναικὶ συνοικῶν, Διονυσίου ἀδελφῇ, τῶν ἀπολειφθέντων ἐν τῇ πόλει φίλων προστὰς, ἐκπέμπει κατὰ τάχος ἄγγελον τῷ Διονυσίῳ, γράμματα κομίζοντα περὶ τῆς Δίωνος ἀφίξεως. Αὐτὸς δὲ τοῖς κατὰ τὴν πόλιν προσεῖχε θορύβοις καὶ κινήμασιν, ἐπηρμένων μὲν πάντων, δεῖ δ' ἀπιστίᾳ ἔτι καὶ φόβῳ συνεχόντων. Ὑῷ δὲ περιφθέντι γραμματοφόρῳ, φύγη τις

συμπίπτει παράλογος. Διαπλεύσας γὰρ εἰς τὴν Ἰταλίαν, καὶ τὴν Ῥηγίνην διελθὼν, ἐπειγόμενος εἰς Καυλωνίαν πρὸς Διονύσιον, ἀπήντησε τινὶ τῶν συνήθων ἱερεῖον νεωστὶ τεθυμένον κομίζοντι· καὶ λαβὼν παρ' αὐτοῦ μοῖραν τῶν κρεῶν, ἐχώρει σπουδῇ. Τῆς δὲ νυκτὸς μέρος ὁδεύσας, καὶ μικρὸν ἀποδαρθὼν ὑπὸ πόνου βιωθεὶς, ὡς εἶχε, παρὰ τὴν ὁδὸν ἐν ὕλῃ τινὶ κατέκλινε ἑαυτόν. Πρὸς δὲ τὴν ὀσμὴν λύκος ἐπελθὼν, καὶ λαβόμενος τῶν κρεῶν ἀναδεδεμένων ἐκ τῆς πήρας, ᾤχετο φέρων ἅμα αὐτῷ καὶ τὴν πήραν, ἐν ᾗ τὰς ἐπιστολὰς ὁ ἄνθρωπος εἶχεν. Ὡς δὲ διωχθεὶς ἠσθετό, καὶ πολλὰ μάτην πλανηθεὶς καὶ διώξας οὐχ εὗρεν, ἔγνω μὴ παρεύεσθαι δίκην τῶν γραμμάτων πρὸς τὸν τύραννον, ἀλλ' ἀποδρᾶς ἐκποδὼν γενέσθαι.

XXVII. Διονύσιος μὲν οὖν ἤκουε καὶ παρ' ἑτέρων ἐμέλλε πυνθάνεσθαι τὸν ἐν Σικελίᾳ πόλεμον. Λίωνι δὲ παρευημέρῳ Καμαρινεῖοί τε προσέθεντο, καὶ τῶν κατ' ἀγροὺς Συρακουσίων ἀνισταμένων ἐπέρρει πλῆθος οὐκ ὀλίγον. Οἱ δὲ μετὰ Τιμοκράτους τὰς Ἐπιπολὰς φυλάσσοντες Ἀεντῖνοι καὶ Καμπανοὶ, λόγον ψευδῆ προσπέμψαντος εἰς αὐτοὺς τοῦ
970 Λίωνος, ὡς ἐπὶ τὰς πόλεις πρῶτον τρέποιτο τὰς ἐκείνων, ἀπολιπόντες ᾤχοντο τὸν Τιμοκράτην, τοῖς οἰκείοις βοηθήσοντες. Ὡς δ' ἀπηγγέλθη ταῦτα πρὸς τὸν Λίωνα περὶ τὰς Μοιρὰς στρατοπεδεύοντα, νυκτὸς ἔτι τοὺς στρατιώτας ἀναστήσας, πρὸς τὸν Ἄναπον ποταμὸν ἦκεν, ἀπέχοντα τῆς πόλεως δέκα σταδίους. Ἐνταῦθα δὲ τὴν πορείαν ἐπιτήσας ἐσφαγιάζετο πρὸς τὸν ποταμὸν, ἀνατέλλοντι τῷ ἡλίῳ προευξάμενος· ἅμα δ' οἱ μάντεις πυρὸς καὶ θεῶν νίκην ἔφραζον αὐτῷ. Καὶ θεασάμενοι τὸν Λίωνα διὰ τὴν θυσίαν ἐστεφανωμένον οἱ παρόντες, ἀπὸ μιᾶς ὁρμῆς ἐστεφανοῦντο πάντες. Ἦσαν δὲ πεντακισχιλίων οὐκ ἐλάττους προσγεγονότες κατὰ τὴν ὁδόν. Ὡπλισμένοι δὲ φαύλως ἐκ τοῦ προστυχόντος, ἀνεπλήρουν τῇ προθυμίᾳ τὴν τῆς παρασκευῆς ἔνδειαν, ὥστε, κινησάντος τοῦ Λίωνος, δρόμῳ χωρεῖν μετὰ

χαρᾶς καὶ βοῆς ἀλλήλους παρακαλοῦντας ἐπὶ τὴν ἐλευθερίαν.

XXVIII. Τῶν δ' ἐν τῇ πόλει Συρακουσίων οἱ μὲν γνώριμοι καὶ χαρίεντες, ἐσθῆτα καθαρὰν ἔχοντες, ἀπήντων ἐπὶ τὰς πύλας· οἱ δὲ πολλοὶ τοῖς τυράννου φίλοις ἐπετίθεντο, καὶ συνήρπαζον τοὺς καλουμένους προσαγωγέας, ἀνθρώπους ἀνοσίους, καὶ θεοῖς ἐχθροὺς, οἳ περιενόστουν ἐν τῇ πόλει καταμεμιγμένοι τοῖς Συρακουσίοις, πολυπραγμονοῦντες καὶ διαγγέλλοντες τῷ τυράννῳ τάς τε διανοίας καὶ τὰς φωνὰς ἑκάστων. Οὗτοι μὲν οὖν πρῶτοι δίκην ἐδίδοσαν ὑπὸ τῶν προστυγχανόντων ἀποτυμπανιζόμενοι. Τιμοκράτης δὲ, συμμίξαι τοῖς φρουροῦσι τὴν ἀκρόπολιν μὴ δανηθεὶς, ἵππον λαβὼν διεξέπεσε τῆς πόλεως, καὶ πάντα φεύγων ἐνέπλησε φόβου καὶ ταραχῆς, ἐπὶ μεῖζον αἴρων τὰ τοῦ Δίωνος, ὡς μὴ δοκοίη μέτριόν τι δείσας ἀποβεβληκέναι τὴν πόλιν. Ἐν τούτῳ δὲ καὶ Δίων προσερχόμενος ἤδη καταφανὴς ἦν πρῶτος αὐτὸς ὡπλισμένος λαμπρῶς· καὶ παρ' αὐτὸν, ἔνθεν μὲν ὁ ἀδελφὸς Μεγακλῆς, ἔνθεν δὲ Κάλλιππος ὁ Ἀθηναῖος, ἐστεφανωμένοι. Τῶν δὲ ξένων, ἑκατὸν μὲν εἵποντο φύλακες περὶ τὸν Δίωνα, τοὺς δ' ἄλλους ἦγον οἱ λοχαγοὶ διακεκοσμημένους θεωμένων τῶν Συρακουσίων, καὶ δεχομένων ὥσπερ ἱεράν τινα καὶ θεοπρεπῆ πομπὴν, ἐλευθερίας καὶ δημοκρατίας δι' ἐτῶν ὀκτὼ καὶ τετταράκοντα κατιούσης εἰς τὴν πόλιν.

XXIX. Ἐπεὶ δ' εἰσῆλθεν ὁ Δίων κατὰ τὰς Μενιτίδας πύλας, τῇ σάλπιγγι καταπαύσας τὸν θόρυβον ἐκήρυξεν, ὅτι Δίων καὶ Μεγακλῆς ἥκοντες ἐπὶ καταλύσει τῆς τυραννίδος ἐλευθεροῦσι Συρακουσίους καὶ τοὺς ἄλλους Σικελιώτας ἀπὸ τοῦ τυράννου. Βουλόμενος δὲ καὶ δι' ἑαυτοῦ προσαγορεῦσαι τοὺς ἀνθρώπους, ἀνῄει διὰ τῆς Ἀχραδινῆς, ἑκατέρωθεν παρὰ τὴν ὁδὸν τῶν Συρακουσίων ἱερεῖα καὶ τραπέζας καὶ κρατῆρας ἱστάντων καὶ καθ' οὓς γένοιτο, προχύταις τε βαλλόντων, καὶ προστρεπομένων ὥσπερ θεὸν κατευχαῖς. Ἦν δ' ὑπὸ τὴν ἀκρόπολιν

καὶ τὰ πεντήκοντα Διονυσίου κατασκευάσαντος, ἡλιοτρόπιον καταφανὲς καὶ ὑψηλόν. Ἐπὶ τούτῳ προβὰς ἐδημηγόρησε, καὶ παρώρμησε τοὺς πολίτας ἀντέχεσθαι τῆς ἐλευθερίας. Οἱ δὲ χαίροντες καὶ φιλοφρονούμενοι κατέστησαν ἀμφοτέρους αὐτοκράτορας στρατηγοὺς, καὶ προσείλοντο, βουλομένων καὶ θεομένων ἐκείνων, αὐτοῖς συνάρχοντας εἴκοσιν· ὧν ἡμίσεις ἦσαν ἐκ τῶν μετὰ Δίωνος ἀπὸ τῆς φυγῆς συγκατερχομένων. Τοῖς δὲ μάντεσιν αὖθις ἐδόκει, τὸ μὲν ὑπὸ πόδας λαβεῖν τὸν Δίωνα δημηγοροῦντα τὴν φιλοτιμίαν καὶ τὸ ἀγάθημα τοῦ τυράννου, λαμπρὸν εἶναι σημεῖον· ὅτι δ' ἡλιοτρόπιον ἦν, ἐφ' οὗ βεβηκὼς ἡρέθη στρατηγὸς, ὠρώδουν, μή τροπήν τινα τῆς τύχης αἱ πράξεις ταχεῖαν λάβωσιν. Ἐκ τούτου τὰς μὲν Ἐπιπολὰς ἔλων, τοὺς καθειργμένους τῶν πολιτῶν ἔλυσε, τὴν δ' ἀκρόπολιν ἀπετείχισεν.

971 Ἑβδόμῃ δ' ἡμέρᾳ Διονύσιος κατέπλευσεν εἰς τὴν ἀκρόπολιν, καὶ Δίωνι προσῆγον ἅμαξαι τὰς πανοπλίας, ὡς Συνάλῳ κατέλιπε. Ταύτας διένειμε τοῖς πολίταις, τῶν δ' ἄλλων ἕκαστος ἑαυτὸν, ὡς δυνατὸν ἦν, ἐκόσμει καὶ παρεῖχεν ὁπλίτην πρόθυμον.

XXX. Διονύσιος δὲ πρῶτον ἰδίᾳ πρὸς Δίωνα πρέσβεις ἔπεμπεν ἀποπειρώμενος· ἔπειτα κελεύσαντος ἐκείνου διαλέγεσθαι κοινῇ Συρακουσίοις, ὡς ἐλευθέρους οὖσιν, ἐγένοντο λόγοι διὰ τῶν πρέσβεων παρὰ τοῦ τυράννου φιλάνθρωποι, φόρων ὑπισχνουμένου μετριότητα, καὶ ῥᾳστώνην στρατειῶν, ὧν αὐτοὶ σύμψηφοι γένωνται. Ταῦτ' ἐχλεύαζον οἱ Συρακούσιοι. Δίων δ' ἀπεκρίνατο τοῖς πρέσβεσι, μὴ διαλέγεσθαι πρὸς αὐτοὺς Διονύσιον, εἰ μὴ τὴν ἀρχὴν ἀφίησιν· ἀφιέντι δὲ συμπράξειν, ἃ δεῖ, αὐτὸς, κἂν ἄλλο τι τῶν μετρίων δύνηται, μεμνημένος τῆς οἰκειότητος. Ταῦτα Διονύσιος ἐπῄνει, καὶ πάλιν ἔπεμπε πρέσβεις, κελεύων ἥκειν τινὰς εἰς τὴν ἀκρόπολιν τῶν Συρακουσίων, οἷς τὰ μὲν πείθων, τὰ δὲ πειθόμενος, διαλέξεται περὶ τῶν κοινῇ συμφερόντων. Ἐπέμφθησαν οὖν ἄνδρες πρὸς αὐτὸν, οὓς Δίων ἐδοκίμαζε. Καὶ λόγος πολὺς ἐκ τῆς ἄκρας εἰς τοὺς Συρακου-

σίους κατῄει, Διονύσιον ἀφήσειν τὴν τυραννίδα, καὶ μᾶλλον ἑαυτοῦ χάριν, ἢ Δίωνος. Ἦν δὲ δόλος ἡ προςποίησις αὕτη τοῦ τυράννου καὶ σκευωρία κατὰ τῶν Συρακουσίων. Τοὺς μὲν γὰρ ἐλθόντας πρὸς αὐτὸν ἐκ πόλεως συγκλείσας εἶχε· τοὺς δὲ μισθοφόρους πρὸς ὄρθρον ἐμπλήσας ἀκράτου, δρόμῳ πρὸς τὸ περιτείχισμα τῶν Συρακουσίων ἀφῆκε· γενομένης δὲ τῆς προσβολῆς ἀνελπίστου, καὶ τῶν βαρβάρων θράσει πολλῷ καὶ θορύβῳ καθαιρούντων τὸ διατείχισμα, καὶ τοῖς Συρακουσίοις ἐπιφερομένων, οὐδεὶς ἐτόλμα μένων ἀμύνεσθαι, πλὴν τῶν ξένων τῶν Δίωνος, οἳ πρῶτον αἰσθόμενοι τὸν θόρυβον ἐξεβοήθησαν. Οὐδ' οὗτοι δὲ τῆς βοηθείας τὸν τρόπον συνεφρόνουν, οὐδ' εἰσήκουον ὑπὸ κραυγῆς καὶ πλάνης τῶν φευγόντων Συρακουσίων, ἀναπεφυρμένων αὐτοῖς καὶ διεκθεόντων· πρίν γε δὴ Δίων, ἐπεὶ λέγοντος οὐδεὶς κατήκουεν, ἔργῳ τὸ πρακτέον ὑφηγήσασθαι βουλόμενος, ἐμβάλλει πρῶτος εἰς τοὺς βαρβάρους, καὶ γίνεται περὶ αὐτὸν ὀξεῖα καὶ δεινὴ μάχη, γινωσκόμενον οὐχ ἧττον ὑπὸ τῶν πολεμίων, ἢ τῶν φίλων· ὥρμησαν γὰρ ἅμα πάντες ἐμβοήσαντες. Ὁ δ' ἦν μὲν ἤδη βαρύτερος δι' ἡλικίαν, ἢ κατὰ τοιούτους ἀγῶνας, ἀλκῇ δὲ καὶ θυμῷ προσφερομένους ὑφιστάμενος καὶ ἀνακόπτων, τιτρώσκεται λόγχῃ τὴν χεῖρα, πρὸς δὲ τὰ ἄλλα βέλη καὶ τὰς ἐκ χειρὸς πληρὰς μόλις ὁ θώραξ ἤρκεσε διὰ τῆς ἀσπίδος δόρασι πολλοῖς καὶ λόγχαις τυπτόμενος· ὧν κατακλασθέντων, κατέπεσεν ὁ Δίων. Εἶτ' ἀναρπασθεὶς ὑπὸ τῶν στρατιωτῶν, ἐκείνοις μὲν ἡγεμόνα Τιμωνίδην ἐπέστησεν· αὐτὸς δὲ τὴν πόλιν ἵππῳ περιελαύνων, τούς τε Συρακουσίους ἔπαυε φυγῆς, καὶ τῶν ξένων τοὺς φυλάττοντας τὴν Ἀχραδινὴν ἀναστήσας, ἐπῆγε τοῖς βαρβάροις ἀκμῆτας ἐκπεπονημένοις, καὶ προθύμους ἀπαυδῶσιν ἤδη πρὸς τὴν πεῖραν. Ἐλπίσαντες γὰρ, ἅμα τῇ πρώτῃ ῥύμῃ τὴν πόλιν ἅπασαν ἐξ ἐπιδρομῆς καθέξειν, εἶτα παρὰ δόξαν ἐντυγχάνοντες ἀνδράσι πλήκταις καὶ μαχίμοις, ἀνεστέλλοντο πρὸς τὴν ἀκρόπολιν. Ἔτι δὲ μᾶλλον, ὡς ἐνέδωκαν, ἐπικει-

μένων τῶν Ἑλλήνων, τραπόμενοι κατεκλείσθησαν εἰς τὸ τεῖχος, ἑβδομήκοντα μὲν καὶ τέσσαρας ἀποκτείναντες τῶν μετὰ Δίωνος, ἑαυτῶν δὲ πολλοὺς ἀποβαλόντες.

XXXI. Γενομένης δὲ λαμπρᾶς τῆς νίκης, οἱ μὲν Συρακούσιοι τοὺς ξένους ἑκατὸν μναῖς ἐστεφά-
972 νωσαν, οἱ δὲ ξένοι Δίωνα χρυσῷ στεφάνῳ. Κήρυκες δὲ παρὰ τοῦ Διονυσίου κατέβαινον, ἐπιστολὰς πρὸς Δίωνα παρὰ τῶν οἰκείων γυναικῶν κομίζοντες. Μία δ' ἦν ἔξωθεν ἐπιγεγραμμένη Τῷ πατρὶ παρ' Ἱππαρίνου· τοῦτο γὰρ ἦν ὄνομα τῷ τοῦ Δίωνος υἱῷ· Καίτοι φησὶ Τίμαιος, Ἀρεταῖον αὐτὸν ἀπὸ τῆς μητρὸς Ἀρετῆς καλεῖσθαι. Τιμωνίδη δὲ μᾶλλον, ὡς οἶμαι, περί γε τούτων πιστευτέον, ἀνδρὶ φίλῳ καὶ συστρατιώτῃ Δίωνος. Αἱ μὲν οὖν ἄλλαι τοῖς Συρακουσίοις ἀνεγνώσθησαν ἐπιστολαί, πολλὰς ἱκεσίας καὶ δεήσεις ἐχούσαι παρὰ τῶν γυναικῶν· τὴν δὲ παρὰ τοῦ παιδὸς εἶναι δοκοῦσαν οὐκ ἐώντων φανερῶς λυθῆναι, βιασάμενος ὁ Δίων ἔλυσεν. Ἦν δὲ παρὰ τοῦ Διονυσίου, τοῖς μὲν γράμμασι πρὸς τὸν Δίωνα, τοῖς δὲ πράγμασι πρὸς τοὺς Συρακουσίους διαλεγόμενον· σχῆμα μὲν ἔχουσα δεήσεως καὶ δικαιολογίας, συγκειμένη δὲ πρὸς διαβολὴν τοῦ Δίωνος· Ὑπομνήσεις τε γὰρ ἦσαν, ὧν ὑπὲρ τῆς τυραννίδος ἔπραξε προθύμως, καὶ κατὰ τῶν φιλτάτων ἀπειλαὶ σωμάτων, ἀδελφῆς, καὶ τέκνου, καὶ γυναικός, ἐπισκήψεις τε δεινὰ μετ' ὀλοφυρμῶν· καὶ τὸ μάλιστα κινῆσαν αὐτὸν, αἰτιούντος μὴ καθαιρεῖν, ἀλλὰ παραλαμβάνειν τὴν τυραννίδα, μηδ' ἐλευθεροῦν μισοῦντας ἀνθρώπους καὶ μνησικακοῦντας, ἀλλ' αὐτὸν ἄρχειν, παρέχοντα τοῖς φίλοις καὶ οἰκείοις τὴν ἀσφάλειαν.

XXXII. Ἀναγινωσκομένων δὲ τούτων, οὐχ, ὅπερ ἦν δίκαιον, εἴσῃει τοῖς Συρακουσίοις ἐκπλήττεσθαι τὴν ἀπάθειαν καὶ τὴν μεγαλοψυχίαν τοῦ Δίωνος ὑπὲρ τῶν καλῶν καὶ δικαίων ἀπεσχυριζομένου πρὸς τοιαύτας οἰκειότητας, ἀλλ' ὑποψίας καὶ φόβου λαβόντες ἀρχὴν, ὡς μεγάλης οὔσης ἀνάγκης ἐ-

μείων φείδεσθαι τοῦ τυράννου, πρὸς ἕτερον ἤδη προστάτας ἀπέβλεπον, καὶ μάλιστα πυνθανόμενοι κατακλεῖν Ἡρακλείδην, ἀνεπτοήθησαν. Ἦν δὲ τῶν φυγάδων Ἡρακλείδης, στρατηγικὸς μὲν ἄνθρωπος, καὶ χειρίμος ἀφ' ἡγεμονίας, ἣν ἔσχε παρὰ τοῖς τυράννοις· οὐκ ἀραρὼς δὲ τὴν γνώμην, ἀλλὰ πρὸς πάντα κοῦφος, ἥκιστα δὲ βέβαιος ἐν κοινωνίᾳ πραγμάτων ἀρχὴν ἐχόντων καὶ δόξης. Οὗτος ἐν Πελοποννήσῳ πρὸς Δίωνα στασιάσας, ἔγνω καθ' αὑτὸν ἰδιοστόλος πλεῖν ἐπὶ τὸν τύραννον, εἰς τε Συρακούσας ἀφικόμενος ἑπτὰ τριήρεσι καὶ τρισὶ πλοίοις, Διονύσιον μὲν αὖθις εὗρε περιτετειχισμένον, ἐπηρμένους δὲ τοὺς Συρακουσίους. Εὐθὺς οὖν ὑπεδύετο τὴν τῶν πολλῶν χάριν, ἔχων μέν τι καὶ φύσει πιθανὸν καὶ κινητικὸν ὄχλου θεραπεύεσθαι ζητοῦντος· ὑπολαμβάνων δὲ καὶ μετάγων ῥᾷον αὐτούς, οἳ τὸ σεμνὸν τοῦ Δίωνος, ὡς βαρὺ δυσπολίτευτον, ἀπεστρέφοντο, διὰ τὴν γεγενημένην ἐκ τοῦ κρατεῖν ἄνεσιν καὶ θρασύτητα, πρὸ τοῦ δῆμος εἶναι τὸ θημαγωγεῖσθαι θέλοντες.

XXXIII. Καὶ πρῶτον μὲν εἰς ἐκκλησίαν ἀφ' αὑτῶν συνδραμόντες, εἵλοντο τὸν Ἡρακλείδην ναύαρχον. Ἐπεὶ δὲ Δίων παρελθὼν ἠτιᾶτο, τὴν ἐπείνῳ δεδομένην ἀρχὴν ἀφαίρεσιν εἶναι τῆς πρότερον αὐτῷ δεδομένης· οὐκ ἔτι γὰρ αὐτοκράτορ μένειν, ἂν ἄλλος ἡγῆται τῶν κατὰ θάλασσαν ἄκοντες οἱ Συρακουσίοι πάλιν ἀπεψηφίσαντο τὸν Ἡρακλείδην. Γενομένων δὲ τούτων, μεταπεμψάμενος αὐτὸν ὁ Δίων ἔπαδε, καὶ μικρὰ μεμψάμενος, ὡς οὐ καλῶς οὐδὲ συμφερόντως ὑπὲρ δόξης στασιάζοντα πρὸς αὐτὸν ἐν καιρῷ ῥοπῆς ὀλίγης δεομένῳ πρὸς ἀπώλειαν, αὖθις ἐκκλησίαν αὐτὸς συναγαγὼν, ναύαρχον ἀπέδειξε τὸν Ἡρακλείδην, καὶ τοῦ σώματος ἔπεισε φυλακὴν δοῦναι τοὺς πολίτας, ὥσπερ αὐτὸς εἶχεν. Ὁ δὲ τῷ μὲν λόγῳ καὶ τῷ σχήματι τὸν Δίωνα θεραπεύων, καὶ χάριν ὁμολογῶν ἔχειν, παρηκολούθει ταπεινὸς, 973
ὑπηρετῶν τὸ κελευόμενον· κρύφα δὲ τοὺς πολλοὺς καὶ νεωτεριστὰς διαφθείρων καὶ ὑποσυρῶν, θορύ-

βοις τὸν Δίωνα περιβαλλειν, εἰς ἄπασαν ἀπορίαν καθιστάμενον. Εἴτε γὰρ ἀφίοιτο πελεύσει Διονυσίου ὑπόσπονδον ἐκ τῆς ἄκρας, διαβολὴν εἶχε φείδεσθαι καὶ περισώζειν ἐκεῖνον· εἴτε λυπεῖν μὴ βουλόμενος, ἐπὶ τῆς πολιορκίας ἡσυχάζοι, διατηρεῖν ἐδόκει τὸν πόλεμον, ὡς μᾶλλον ἄρχοι καὶ καταπλήττοιτο τοὺς πολίτας.

XXXIV. Ἦν δέ τις Σώσις, ἄνθρωπος ἐκ πονηρίας καὶ θρασύτητος εὐδοκιμῶν παρὰ τοῖς Συρακουσίοις, περιουσίαν ἡγούμενος ἐλευθερίας τὸ μέχρι τοιούτων ἀνεῖσθαι τὴν παρρησίαν. Οὗτος ἐπεβουλεύων Δίωνι, πρῶτον μέν, ἐκκλησίας οὔσης, ἀναστὰς, πολλὰ τοὺς Συρακουσίους ἐλοιδόρησεν, εἰ μὴ συνιᾶσιν, ὡς ἐμπλήκτου καὶ μεθυούσης ἀπηλλαγμένοι τυραννίδος, ἐγρηγορότα καὶ νήφοντα δεσπότην εἰλήφασιν· ἔπειτα φανερὸν τοῦ Δίωνος ἐπιδείξας ἐχθρὸν αὑτὸν, τότε μὲν ἐκ τῆς ἀγορᾶς ἀπῆλθε, τῇ δ' ὑστεραίᾳ γυμνὸς ὤφθη διὰ τῆς πόλεως θέων, ἀναπλεως αἵματος τὴν κεφαλὴν καὶ τὸ πρόσωπον, ὡς δή τινας φεύγων διώκοντας. Ἐμβαλὼν δὲ τοιοῦτος εἰς τὴν ἀγορὰν, ἔλεγεν ὑπὸ τῶν ξένων τοῦ Δίωνος ἐπιβεβουλεῦσθαι, καὶ τὴν κεφαλὴν ἐπεδείκνυε τετρωμένην· καὶ πολλοὺς εἶχε τοὺς συναγανακτοῦντας καὶ συνισταμένους κατὰ τοῦ Δίωνος, ὡς δεινὰ καὶ τυραννικὰ πράττοντος, εἰ φόνοις καὶ κινδύνοις τῶν πολιτῶν ἀφαιρεῖται τὴν παρρησίαν. Οὐ μὴν ἀλλὰ, καίπερ ἀπρίτου καὶ ταραχώδους ἐκκλησίας γενομένης, παρελθὼν ὁ Δίων ἀπελογεῖτο, καὶ τὸν Σῶσιν ἀπέφαινε τῶν Διονυσίου δορυφόρων ἕνδεκα ἀδελφὸν ὄντα, καὶ δι' ἐκείνου πεπεισμένον στασιάσαι καὶ συνταράξαι τὴν πόλιν, οὐδεμιᾶς Διονυσίῳ σωτηρίας οὔσης, πλὴν τῆς ἐκείνων ἀπιστίας καὶ διαφορᾶς πρὸς αὐτούς. Ἅμα δ' οἱ μὲν ἰατροὶ τοῦ Σώσιδος τὸ τραῦμα καταμανθάνοντες, εὕρισκον ἐξ ἐπιπολῆς μᾶλλον, ἢ καταφορᾶς, γεγενημένον. Αἱ μὲν γὰρ ὑπὸ τοῦ ξίφους πληγαὶ μάλιστα τὸ μέσον ὑπὸ βάθους πιέζουσι· τὸ δὲ τοῦ Σώσιδος λεπτὸν ἦν διόλου, καὶ παλλὰς εἶχεν ἀφὰς, ὡς εἰκὸς, ὑπ' ἀλ-

γηδόνος ἀκούοντος, εἶτ' αὖθις ἐπάγοντος. Ἦκον δέ τινες τῶν γνωρίμων, ξυρὸν ὠνούμενοι εἰς τὴν ἐκκλησίαν, καὶ διηγούμενοι, βαδίζουσιν αὐτοῖς καθ' ὁδὸν ἀπαντῆσαι τὸν Σώσιν ἠμαγμένον, καὶ λέγοντα φεύγειν τοὺς Λίωνος ξένους, ὡς ἀρτίως ὑπ' ἐκείνων τετρωμένον· εὐθὺς οὖν διώκοντες, ἄνθρωπον μὲν οὐδένα λαβεῖν, ὑπὸ πέτραν δὲ κοίλην κείμενον ἰδεῖν ξυρὸν, ὅθεν ἐκεῖνος ὤφθη προσερχόμενος.

XXXV. Ἦν μὲν οὖν ἤδη μεθθημὰ τὰ περὶ τὸν Σῶσιν προαγενομένων δὲ τούτοις τοῖς ἐλέγχοις οἰκετῶν, κατεμαρτυρούντων, ὡς ἔτι νυκτὸς ἐξέλθοι μόνος, ἔχων τὸ ξυρὸν, οἵ τε κατηγοροῦντες τοῦ Λίωνος ὑπεχώρησαν, ὅ τε δῆμος καταψηφισάμενος θάνατον τοῦ Σώσιδος, διηλλάσσετο τῷ Λίωνι. Τοὺς δὲ μισθοφόρους οὐδὲν ἧττον ἐν ὑποψίαις εἶχον, καὶ μάλιστα τῶν πλείστων ἀγώνων πρὸς τὸν τύραννον ἤδη γιγνομένων κατὰ θάλατταν, ἐπειδὴ Φίλιστος ἦκεν ἐξ Ἰαπυγίας, ἔχων πολλὰς τριήρεις, Διονυσίῳ βοηθήσων, καὶ τῶν ξένων ὄντων ὁπλιτῶν, οὐδεμίαν ἔτι χρῆσιν ἐνόμιζον εἶναι πρὸς τὸν πόλεμον, ἀλλὰ κρείνους ἐφ' ἑαυτοῖς ἕξεσθαι, καυβάταις οὖσι, καὶ τὸ κράτος ἐκ τῶν νεῶν κτωμένοις. Ἔτι δὲ μᾶλλον αὐτοὺς ἐπῆρεν εὐτυχία τις γενομένη κατὰ θάλασσαν, ἐν ᾗ νικήσαντες τὸν Φίλιστον, ὡμῶς καὶ βαρβαρικῶς αὐτῷ προσηνέχθησαν. Ἔφορος μὲν οὖν φησιν, ὡς ἀλισκομένης τῆς νεὼς ἑαυτὸν ἀνέλοι· Τιμωνίδης δὲ, πραττομένας ἐξ ἀρχῆς ταῖς πράξεσι ταύταις μετὰ Λίωνος παραγενόμενος, καὶ γράφων πρὸς Σπεύσιππον, τὸν φιλόσοφον, ἱστορεῖ, ζῶντα ληφθῆναι, τῆς τριήρους εἰς τὴν γῆν ἐκπεσούσης, τὸν Φίλιστον· καὶ πρῶτον μὲν ἀποδύσαντας αὐτοῦ τὸν θώρακα τοὺς Συρακουσίους, καὶ γυμνὸν ἐπιδεικνυμένους τὸ σῶμα, προπηλακίζειν, ὄντος ἤδη γέροντος· ἔπειτα τὴν κεφαλὴν ἀποτεμεῖν, καὶ τοῖς παισὶ παραδοῦναι τὸ σῶμα, κελεύσαντας ἕλκειν διὰ τῆς Ἀχραδινῆς, καὶ καταβαλεῖν εἰς τὰς Λατομίας. Ἔτι δὲ μᾶλλον ἐμβριζόντων ὁ Τίμαιος, ἐκ τοῦ σκήλους φησὶ τοῦ χω-

λοῦ τὰ παιδάρια τὸν νεκρὸν ἐφαψάμενα τοῦ Φιλίστου σύρειν διὰ τῆς πόλεως, χλευαζόμενον ὑπὸ τῶν Συρακουσίων πάντων, ὁρώντων τοῦ σκέλους ἑλκόμενον τὸν εἰπόντα, μὴ δεῖν ἐκ τυραννίδος φεύγειν Διονύσιον ἵππῳ ταχεῖ χρώμενον, ἀλλὰ τοῦ σκέλους ἑλκόμενον. Καίτοι τοῦτο Φιλίστου, ὡς ὑφ' ἑτέρου λεχθὲν, οὐχ ὑφ' αὑτοῦ, πρὸς Διονύσιον ἐξήγγελκεν.

XXXVI. Ἀλλὰ Τίμαιος, οὐκ ἄδικον λαβὼν πρόφασιν τὴν ὑπὲρ τῆς τυραννίδος τοῦ Φιλίστου σπουδὴν καὶ πίστιν, ἐμπίπλησι τῶν κατ' αὐτοῦ βλασφημιῶν, ᾧ τοὺς μὲν ἀδικηθέντας πότε συγγνωστόν ἐστιν ἴσως ἄχρι τῆς εἰς ἀναίσχυντον ὀργῆς χαλεποὺς γενέσθαι τοὺς δ' ὕστερον συγγράφοντας τὰ πεπραγμένα, καὶ τῷ μὲν βίῳ μὴ λυπηθέντας αὐτοῦ, τῷ δὲ λόγῳ χρωμένους, ἡ δόξα παραιτεῖται μὴ μετ' ὕβρεως, μηδὲ μετὰ βωμολοχίας, ὀνειδίζειν τὰς συμφοράς· ὧν οὐδὲν ἀπέχει καὶ τὸν ἄριστον ἀνδρῶν ἐκ τύχης μετασχεῖν. Οὐ μὴν οὐδ' Ἔφορος ὑγιαίνει τὸν Φίλιστον ἐγκωμιάζων, ὃς, καίπερ ὢν δεινότατος ἀδικοῦς πράγμασι καὶ πονηροῖς ἤθεσιν εὐσχήμονας αἰτίας περιβαλεῖν, καὶ λόγους ἔχοντας κόσμον ἐξευρεῖν, αὐτὸς αὑτὸν οὐ δύναται πάντα μηχανώμενος ἐξελέσθαι τῆς γραφῆς, ὡς οὐ φιλοτυραννότατος ἀνθρώπων γένοιτο, καὶ μάλιστα πάντων ἀεὶ ζηλώσας καὶ θαυμάσας τρυφὴν καὶ δύναμιν καὶ πλούτους καὶ γάμους τοὺς τῶν τυράννων. Ἀλλὰ γὰρ Φιλίστου μὲν ὁ μὴτε τὰς πράξεις ἐπαινῶν, μήτε τὰς τύχας ὀνειδίζων, ἐμμελέστατος.

XXXVII. Μετὰ δὲ τὴν Φιλίστου τελευτὴν Διονύσιος ἔπεμπε πρὸς Δίωνα, τὴν μὲν ἀκρόπολιν ἐκείνῳ παραδιδοὺς, καὶ τὰ ὅπλα, καὶ τοὺς μισθοφόρους, καὶ πέντε μηνῶν ἐκτελῆ τούτοις μισθόν· αὐτὸς δ' ἀξιῶν ὑποσπονδος εἰς Ἰταλίαν ἀπελθεῖν, κἀκεῖ κατοικῶν καρποῦσθαι τῆς Συρακουσίας τὴν καλουμένην Γύαλα, πολλὴν καὶ ἀγαθὴν χώραν, ἀνήκουσαν ἀπὸ θαλάττης εἰς τὴν μεσόγειον. Οὐ προϋδεξαμένου δὲ τοῦ Δίωνος, ἀλλὰ δεῖσθαι τῶν Συ-

φάσκουσίαν πελεύσαντος, οἱ μὲν Συρακούσιοι ζῶντα λήψεσθαι τὸν Διονύσιον ἐλπίσαντες, ἀπήλασαν τοὺς πρέσβεις· ἐκεῖνος δὲ τὴν μὲν ἄκραν Ἀπολλοκράτει, τῷ πρεσβυτέρῳ τῶν παίδων, παρέδωκεν, αὐτὸς δὲ πνεῦμα τηρήσας ἐπίφορον, καὶ τὰ τιμιώτατα τῶν σωμάτων καὶ τῶν χρημάτων ἐνθέμενος εἰς τὰς ναῦς, λαθὼν τὸν ναύαρχον, Ἡρακλείδην, ἐξέπλευσεν. Ὁ δὲ κακῶς ἀκούων, καὶ θορυβούμενος ὑπὸ τῶν πολιτῶν, Ἱππωνά τινα τῶν δημαγωγῶν καθίησι προκαλεῖσθαι τὸν δῆμον ἐπὶ γῆς ἀναβασμόν, ὡς ἐλευθερίας ἀρχὴν οὖσαν τὴν ἰσότητα, δουλείας δὲ, τὴν κτῆσιν τοῖς ἀκτήμοσι. Συνηγορῶν δὲ τούτῳ, καὶ τὸν Λίωνα κατασκώπτων ἐναντιούμενον, ἔπεισε τοὺς Συρακουσίους ταῦτα ψηφίσασθαι, καὶ τῶν ξένων τὸν μισθὸν ἀποστερεῖν, καὶ στρατηγοὺς ἑτέρους ἑλέσθαι τῆς ἐκείνου βαρύτητος ἀπαλλαγέντας. Οἱ δ', ὥσπερ ἐκ μακρᾶς ἀρρωστίας τῆς τυραννίδος εὐθὺς ἐπιχειροῦντες ἐξανίστασθαι, καὶ πράττειν τὰ τῶν αὐτονομουμένων παρὰ καιρὸν, ἐσφάλλοντο μὲν αὐ- 975
τοὶ ταῖς πράξεσιν, ἐμίσουν δὲ τὸν Λίωνα, βουλόμενον, ὥσπερ ἰατρὸν, ἐν ἀκμῇ καὶ σωφρονούσῃ διαίτῃ κατασχεῖν τὴν πόλιν.

XXXVIII. Ἐκκλησιάζουσι δ' αὐτοῖς ἐπὶ νέαις ἀρχαῖς, θέρους μεσοῦντος, ἐξαίσιοι βρονταὶ καὶ διασημεῖαι πονηραὶ συνέβαινον ἐφ' ἡμέρας δεκαπέντε συνεχῶς, ἀνιστᾶσαι τὸν δῆμον, ἀπὸ δεισιδαιμονίας κωλυόμενον ἑτέρους ἀποδεῖξαι στρατηγούς. Ἐπεὶ δὲ φυλάξαντες εὐδίαν σταθερὰν οἱ δημαγωγοὶ, συνετέλουν τὰς ἀρχαιρεσίας, βοῦς ἀμαξεὺς οὐκ ἀήθης οὐδ' ἄπειρος ὄχλων, ἄλλως δέ πως τότε πρὸς τὸν ἐλαύνοντα θυμωθεὶς, καὶ φυγὼν ἀπὸ τοῦ ζυγοῦ, δρόμῳ πρὸς τὸ θέατρον ὥρμησε· καὶ τὸν μὲν δῆμον εὐθὺς ἀνέστησε καὶ διεσκέδασεν οὐδενὶ κόσμῳ φεύγοντα, τῆς δ' ἄλλης πόλεως ἐπέδραμε σκιρτῶν καὶ ταράττων, ὅσον ὕστερον οἱ πολέμιοι κατέσχον. Οὐ μὴν ἀλλὰ ταῦτα χαίρειν ἐάσαντες οἱ Συρακούσιοι, πέντε καὶ εἴκοσι στρατηγοὺς ἐχειροτόνησαν, ὧν εἷς ἦν Ἡρακλείδης· καὶ τοὺς ξένους, ὑποπέμποντες κρύφα,

τοῦ Δίωνος ἀφιστάσαν, καὶ μετεκάλουν πρὸς αὑτούς, ἐπαγγελλόμενοι καὶ τῆς πολιτείας ἰσομοιρίαν. Οἱ δὲ ταῦτα μὲν οὐ προσεδέξαντο, τὸν δὲ Δίωνα πιστῶς καὶ προθύμως μετὰ τῶν ὅπλων ἀναλαβόντες καὶ συμφράξαντες, ὑπῆγον ἐκ τῆς πόλεως· ἀδικοῦντες μὲν οὐδένα, πολλὰ δὲ τοὺς ἐντυγχάνοντας εἰς ἀχαριστίαν καὶ μοχθηρίαν ὀνειδίζοντες. Οἱ δὲ τῆς ὀλιγότητος αὐτῶν καὶ τοῦ μὴ προεπιχειρεῖν καταφρονήσαντες, καὶ γενόμενοι πολὺ πλείους ἐκείνων, ἐφώρμησαν, ὡς ῥᾳδίως ἐπικρατήσοντες ἐν τῇ πόλει, καὶ πάντας αὐτοὺς κατακτενοῦντες.

XXXIX. Ἐν τούτῳ δὲ γεγονὼς ἀνάγκης καὶ τύχης ὁ Δίων, ἢ μάχεσθαι τοῖς πολίταις, ἢ μετὰ τῶν ξένων ἀποθανεῖν, πολλὰ μὲν ἱκέτευσεν, ὀρέγων τὰς χεῖρας τοῖς Συρακουσίοις, καὶ τὴν ἀκρόπολιν, περίπλεων πολεμίων οὖσαν, ὑπερφαινομένων τὰ τείχη, καὶ τὰ γινόμενα καθορώντων, ἐπιδεικνύμενος· ὡς δ' ἦν ἀπαραίτητος ἡ τῶν πολλῶν φορὰ, καὶ κατεῖχεν, ὥσπερ ἐν πελάγει, τὸ τῶν δημαγωγῶν πνεῦμα τὴν πόλιν, ἐμβολῆς μὲν ἀποσχέσθαι τοῖς ξένοις προσέταξεν· ὅσον δ' ἐπιδραμόντων μετὰ βοῆς καὶ τοῖς ὅπλοις τινὰ ξαμένων, οὐδεὶς ἔμεινε τῶν Συρακουσίων, ἀλλ' ᾤχοντο φεύγοντες ἀνὰ τὰς ἀγυιὰς, οὐδενὸς ἐπιδιώκοντος· εὐθὺς γὰρ ἀπέστρεψεν ὁ Δίων τοὺς ξένους, καὶ προῆγεν εἰς Λεοντίνους. Οἱ δ' ἄρχοντες τῶν Συρακουσίων, καταγέλαστοι γεγονότες ὑπὸ τῶν γυναικῶν, καὶ τὴν αἰσχύνην ἀναλαβεῖν ζητοῦντες, αὖθις ὁπλίσαντες τοὺς πολίτας, ἐδίωκον τὸν Δίωνα. Καὶ κατέλαβον μὲν ἐπὶ διαβάσει τινὸς ποταμοῦ, καὶ προσίππευσαν ἀψιμαχοῦντες· ὡς δ' ἑώρων οὐκ ἔτι πρᾴως, οὐδὲ πατρικῶς, ὑπομένοντα τὰς ἁμαρτίας αὐτῶν, ἀλλὰ θυμῷ τοὺς ξένους ἐπιστρέφοντα καὶ παρατεττόμενον, αἰσχίονα φυγὴν τῆς προτέρας φυγόντες ὑπεχώρησαν εἰς τὴν πόλιν, οὐ πολλῶν ἀποθανόντων.

XL. Δίωνα δὲ Λεοντῖνοι λαμπραῖς ἐδέχοντο τιμαῖς, καὶ τοὺς ξένους ἀνελάμβανον μισθοῖς καὶ πολιτείαις· πρὸς δὲ τοὺς Συρακουσίους ἐπρέσβευον,

ἀξιοῦντες τὰ δίκαια τοῖς ξένοις ποιεῖν. Οἱ δὲ πρίσβεις ἔπεμψαν κατηγορήσοντας Δίωνος. Τῶν δὲ συμμάχων ἁπάντων εἰς Λεοντίνους ἀθροισθέντων, καὶ γενομένων λόγων ἐν αὐτοῖς, ἔδοξαν ἀδικεῖν οἱ Συρακούσιοι· τοῖς δὲ κριθεῖσιν ὑπὸ τῶν συμμάχων οὐκ ἐνέμειναν, τρυφῶντες ἤδη καὶ μεγαλοφρονοῦντες ἐπὶ τῷ μηδενὸς ἀκούειν, ἀλλὰ χρῆσθαι δουλεύουσι καὶ φοβουμένοις τὸν δῆμον στρατηγοῖς.

XLI. Ἐκ τούτων καταπλέουσιν εἰς τὴν πόλιν παρὰ Διονυσίου τριήρεις, Νύψιον ἄγουσαι, τὸν 976
Νεαπολίτην, σῖτον καὶ χρήματα κομίζοντα τοῖς πολιορκουμένοις. Γενομένης δὲ ναυμαχίας, ἐνίκων μὲν οἱ Συρακούσιοι καὶ τέσσαρας τῶν τυραννικῶν νεῶν ἔλαβον· ὑβρίσαντες δὲ τῇ νίκῃ, καὶ δι' ἀναρχίαν τὸ καιρὸν εἰς πότους καὶ συνουσίας μανιακὰς τρέψαντες, οὕτω τῶν χρησίμων ἠμέλησαν, ὥστε τὴν ἀκρόπολιν ἔχειν δοκοῦντες ἤδη, καὶ τὴν πόλιν προσαπέβαλον. Ὁ γὰρ Νύψιος, ὁρῶν οὐδὲν ὑγιαῖνον ἔν τῇ πόλει μέρος, ἀλλὰ τὸν μὲν ὄχλον αὐλήμασι καὶ μέθαις εἰς νύκτα βαθεῖαν ἀφ' ἡμέρας κατεχόμενον, τοὺς δὲ στρατηγοὺς ἐπιτερπομένους τε τούτῳ τῷ πανηγυρισμῷ, καὶ προσάγειν ἀνάγκην μεθύουσιν ἀνθρώποις οἰνοῦντας, ἄριστα τῷ καιρῷ χρησάμενος, ἐπεχείρησε τῷ τειχίσματι καὶ κρατήσας καὶ διαθρύψας, ἐφῆκε τοὺς βαρβάρους, κελεύσας χρῆσθαι τοῖς προστυγχάνουσιν, ὡς βούλονται καὶ δύνανται. Ταχέως μὲν οὖν οἱ Συρακούσιοι τὸ κακὸν ᾔσθοντο, βραδέως δὲ καὶ χαλεπῶς συνεβοήθουν ἐκπεπληγμένοι. Πόρθησις γὰρ ἦν τὰ γινόμενα τῆς πόλεως, τῶν μὲν ἀνδρῶν φονευομένων, τῶν δὲ τειχῶν κατασκαπτομένων, γυναικῶν δὲ καὶ παίδων ἀγομένων εἰς τὴν ἀκρόπολιν μετ' οἰμωγῆς, ἀπεγνωκότων δὲ τὰ πράγματα τῶν στρατηγῶν, καὶ χρῆσθαι μὴ δυναμένων τοῖς πολίταις πρὸς τοὺς πολεμίους, ἀναπεφυρμένους καὶ συμμεμιγμένους αὐτοῖς πανταχόθεν.

XLII. Οὕτω δὲ τῶν κατὰ τὴν πόλιν ἐχόντων, καὶ τοῦ κινδύνου πρὸς τὴν Ἀχραδινὴν πλησιάζον-

τος, εἰς ὃν μόνον ἦν καὶ λοιπὸν ἀπερείσασθαι τὴν ἐλπίδα, πάντες μὲν ἐφρόνουν, ἔλεγε δ' οὐδείς, αἰσχυνόμενοι τὴν ἀχαριστίαν καὶ τὴν ἀβουλίαν τὴν πρὸς Δίωνα. Πλὴν γε δὴ τῆς ἀνάγκης ἐκβιαζομένης, παρὰ τῶν συμμάχων καὶ τῶν ἱππέων γίνεται φωνὴ, καλεῖν Δίωνα, καὶ μεταπέμπεσθαι τοὺς Πελοποννησίους ἐκ Λεοντίνων. Ὡς δὲ πρῶτον ἠκούσθη καὶ ἀπετολμήθη τοῦτο, κραυγὴ καὶ χαρὰ καὶ δάκρυα τοὺς Συρακουσίους κατεῖχεν, εὐχομένους ἐπιφανῆναι τὸν ἄνδρα, καὶ ποθοῦντας τὴν ὄψιν αὐτοῦ, καὶ μεμνημένους τῆς παρὰ τὰ δεινὰ ῥώμης καὶ προθυμίας· ὡς οὐ μόνον αὐτὸς ἦν ἀνέκπληκτος, ἀλλὰ καὶ ἐκείνους παρεῖχε θαρροῦντας, καὶ ἀδεῶς τοῖς πολεμίοις συμφερομένους. Εὐθὺς οὖν ἐκπέμπουσι πρὸς αὐτὸν ἀπὸ μὲν τῶν συμμάχων Ἀρχωνίδην καὶ Τελεσίδην, ἀπὸ δὲ τῶν ἱππέων πέντε, ἐν οἷς τοὺς περὶ Ἑλλάνικον. Οὗτοι διελάσαντες τὴν ὁδὸν ἵπποις ἀπὸ ῥυτῆρος, ἦκον εἰς Λεοντίνους, τῆς ἡμέρας ἤδη καταφερομένης. Ἀποπηδήσαντες δὲ τῶν ἵππων, καὶ τῷ Δίωνι πρώτῳ προσπεσόντες δεδακρυμένοι, τὰς συμφορὰς τῶν Συρακουσίων ἔφραζον. Ἦδη δὲ καὶ τῶν Λεοντίνων τινὲς ἀπήντων, καὶ τῶν Πελοποννησίων ἠθροίζοντο πρὸς τὸν Δίωνα πολλοὶ, τῇ σπουδῇ καὶ τῇ δεήσει τῶν ἀνδρῶν ὑπονοοῦντες, εἶναί τε καινότερον. Εὐθὺς οὖν ἠγεῖτο πρὸς τὴν ἐκκλησίαν αὐτοῖς, καὶ συνδραμόντων προθύμως, οἱ περὶ τὸν Ἀρχωνίδην καὶ τὸν Ἑλλάνικον εἰσελθόντες ἐξήγγειλάν τε βραχέως τὸ μέγεθος τῶν κακῶν, καὶ παρεκάλουν τοὺς ξένους, ἐπαμῦναι τοῖς Συρακουσίοις, τὸ μνησικακεῖν ἀφέντας, ὡς μείζονα δίκην δεδωκότων αὐτῶν, ἢ λαβεῖν ἂν οἱ κακῶς πεπονθότες ἠξίωσαν.

XLIII. Παυσαμένων δὲ τούτων, σιγὴ μὲν εἶχε πολλὴ τὸ θέατρον· ἀναστάντος δὲ τοῦ Δίωνος, καὶ λέγειν ἀρξαμένου, πολλὰ τῶν δακρύων ἐκπίπτοντα τὴν φωνὴν ἐπέσχεν· οἱ δὲ ξένοι παρεκάλουν θαρρεῖν καὶ συνήχθοντο. Μικρὸν οὖν ἀναλαβὼν ἐκ τοῦ πάθους ἑαυτὸν ὁ Δίων, „Ἄνδρες, ἔφη, Πε-

λοποννήσιοι καὶ σύμμαχοι, βουλευσομένους ὑμᾶς ἐνταῦθα περὶ ὑμῶν αὐτῶν συνήγαγον. Ἐμοὶ δὲ περὶ ἐμαυτοῦ βουλεύεσθαι καλῶς οὐκ ἔχει, Συρακουσῶν ἀπολλυμένων· ἀλλ' εἰ σῶσαι μὴ δυναίμην, 977 ἄπειμι τῷ πυρὶ καὶ τῷ πτώματι τῆς πατρίδος ἐνταφησόμενος. Ὑμεῖς δὲ βουλόμενοι μὲν ἔτι καὶ νῦν βοηθεῖν τοῖς ἀβουλοτάτοις ἡμῖν καὶ δυστυχεστάτοις, ὑμέτερον ἔργον οὖσαν ὀρθοῦτε τὴν Συρακουσίων πόλιν· εἰ δὲ μεμφόμενοι Συρακουσίοις ὑπερόψεσθε, τῆς γε πρότερον ἀρετῆς καὶ προθυμίας περὶ ἐμὲ χάριν ἀξίαν κομίζοισθε παρὰ τῶν θεῶν· μεμνημένοι Δίωνος, ὡς οὔθ' ὑμᾶς ἀδικουμένους πρότερον, οὔθ' ὕστερον τοὺς πολίτας δυστυχοῦντας ἐγκαταλιπόντος." Ἔτι δ' αὐτοῦ λέγοντος, οἱ μὲν ξένοι μετὰ κραυγῆς ἀνεπήδησαν, ἄγειν καὶ βοηθεῖν κατὰ τάχος κελεύοντες· οἱ δὲ πρέσβεις τῶν Συρακουσίων περιβαλόντες ἠσπάσαντο, πολλὰ μὲν ἐκείνῳ, πολλὰ δὲ τοῖς ξένοις ἀγαθὰ παρὰ τῶν θεῶν εὐχόμενοι. Καταστάντος δὲ τοῦ θορύβου, παρήγγειλεν ὁ Δίων εὐθὺς ἀπιόντας παρασκευάζεσθαι, καὶ δειπνήσαντες ἥκειν μετὰ τῶν ὅπλων εἰς αὐτὸν ἐκεῖνον τὸν τόπον, ἐγνωκὼς διὰ νυκτὸς βοηθεῖν.

XLIV. Ἐν δὲ ταῖς Συρακούσαις τῶν Διονυσίου στρατηγῶν, ἄχρι μὲν ἦν ἡμέρα, πολλὰ κακὰ τὴν πόλιν ἐργασαμένων, γενομένης δὲ νυκτὸς ἀναχωρησάντων εἰς τὴν ἀκρόπολιν, καί τινας ἐξ ἑαυτῶν ὀλίγους ἀποβαλόντων, ἀναθαρρήσαντες οἱ δημαγωγοὶ τῶν Συρακουσίων, καὶ τοὺς πολεμίους ἐλπίσαντες ἀτρεμήσειν ἐπὶ τοῖς διαπεπραγμένοις, παρεκάλουν τοὺς πολίτας αὖθις ἐᾷν Δίωνα· κἂν προσίῃ μετὰ τῶν ξένων, μὴ δέχεσθαι, μηδὲ παραχωρεῖν τῆς ἀρετῆς ἐκείνοις, ὡς κρείττοσιν, ἀλλὰ σώζειν τὴν πόλιν καὶ τὴν ἐλευθερίαν αὐτοὺς δι' ἑαυτῶν. Πάλιν οὖν ἐπέμποντο πρὸς τὸν Δίωνα, παρὰ μὲν τῶν στρατηγῶν ἀποτρέποντες, παρὰ δὲ τῶν ἱππέων καὶ τῶν γνωρίμων πολιτῶν ἐπισπεύδοντες τὴν πορείαν. Καὶ διὰ τοῦτο βραδέως ἅμα καὶ κατὰ σχολὴν πορευόμενος προσῄει. Τῆς δὲ νυκτὸς προελθούσης, οἱ μὲν

μισοῦντες τὸν Δίωνα κατεῖχον τὰς πύλας, ὡς ἀποκλείσοντες αὐτόν· ὁ δὲ Νύψιος, ἐκ τῆς ἄκρας αὖθις πολλῷ προθυμοτέρους γεγονότας καὶ πλείονας ἐφιεὶς τοὺς μισθοφόρους, τὸ μὲν προτείχισμα πᾶν εὐθὺς κατέκαπτε, τὴν δὲ πόλιν κατέτρεχε καὶ διήρπαζεν. Ἦν δὲ φόνος μὲν οὐκ ἔτι μόνον ἀνδρῶν, ἀλλὰ καὶ γυναικῶν καὶ παίδων, ἁρπαγαὶ δ' ὀλίγαι, φθόρος δὲ πάντων πολύς. Ἀπεγνωκότος γὰρ ἤδη τὰ πράγματα τοῦ Διονυσίου, καὶ τοὺς Συρακουσίους δεινῶς μεμισηκότος, ὥσπερ ἐπαφιὼσαι τὴν τυραννίδα τῇ πόλει πίπτουσαν ἐβούλετο. Καὶ τοῦ Δίωνος προκαταλαμβάνοντες τὴν βοήθειαν, ἐπὶ τὸν ὀξύτατον διὰ πυρὸς πάντων ὄλεθρον καὶ ἀφανισμὸν ἐχώρησαν, τὰ μὲν ἐγγὺς ἀπὸ χειρῶν θασὶ καὶ λαμπάσιν ὑποπιμπράντες, εἰς δὲ τὰ πρόσω διασπείροντες ἀπὸ τόξων πυροβόλους. Φευγόντων δὲ τῶν Συρακουσίων, οἱ μὲν ἐν ταῖς ὁδοῖς ἐφονεύοντο καταλαμβανόμενοι· τὸ δ' εἰς τὰς οἰκίας καταδυόμενον αὖθις ὑπὸ τοῦ πυρὸς ἐξέπιπτε, πολλῶν ἤδη φλεγομένων καὶ καταφερομένων ἐπὶ τοὺς διαθέοντας.

XLV. Τοῦτο τὸ πάθος μάλιστα τὴν πόλιν ἀνέωξε Δίωνι, πάντων συμφωνησάντων. Ἔτυχε μὲν γὰρ οὐκ ἔτι σπουδῇ πορευόμενος, ὡς ἤκουσεν εἰς τὴν ἀκρόπολιν κατακεκλεῖσθαι τοὺς πολεμίους. Προϊούσης δὲ τῆς ἡμέρας, πρῶτον ἱππεῖς ἀπήντησαν αὐτῷ, τὴν δευτέραν κατάληψιν ἀπαγγέλλοντες· ἔπειτα καὶ τῶν ὑπεναντιουμένων ἔνιοι παρῆσαν, ἐπείγεσθαι δεόμενοι. Συντείνοντος δὲ τοῦ κακοῦ μᾶλλον, Ἡρακλείδης τὸν ἀδελφὸν ἐξέπεμψεν, εἶτα Θεοδότην, τὸν θεῖον, ἱκετεύων ἀρήγειν, ὡς μηδενὸς ἀντέχοντος τοῖς πολεμίοις, αὐτοῦ δὲ τετρωμένου, τῆς δὲ πόλεως μικρὸν ἀπεχούσης ἀνατετράφθαι καὶ καταπεπρῆσθαι. Τοιούτων ἀγγελμάτων τῷ Δίωνι προσπεσόντων, ἔτι μὲν ἑξήκοντα σταδίους τῶν πυλῶν ἀπεῖχε· φράσας δὲ τὸν κίνδυνον τοῖς ξένοις καὶ παρα-
978 κελευσάμενος, οὐκ ἔτι βάδην ἦγεν, ἀλλὰ δρόμῳ, τὸ στράτευμα πρὸς τὴν πόλιν, ἄλλων ἐπ' ἄλλους ἀντιαζόντων, καὶ δεομένων ἐπείγεσθαι. Χρησάμενος δὲ

θαυμαστῷ τάχει καὶ προθυμίᾳ τῶν ξένων, εἰσβαλὼν διὰ τῶν πυλῶν εἰς τὴν Ἑκατόμπεδον λεγομένην· καὶ τοὺς μὲν ἐλαφροὺς εὐθὺς ἀφῆκεν ἐλθεῖν πρὸς τοὺς πολεμίους, ὡς ἰδοῦσι θαρσῆσαι τοῖς Συρακουσίοις ἐγγένοιτο· τοὺς δ' ὁπλίτας αὐτὸς συνέταττε, καὶ τῶν πολιτῶν τοὺς ἐπιῤῥέοντας καὶ συνισταμένους, ὀρθίους λόχους ποιῶν, καὶ διαιρῶν τὰς ἡγεμονίας, ὅπως ὁμοῦ πολλαχόθεν ἅμα προσφέροιτο φοβερώτερον.

XLVI. Ἐπεὶ δὲ ταῦτα παρασκευασάμενος, καὶ τοῖς θεοῖς προσευξάμενος, ὥρμη διὰ τῆς πόλεως ἄγων ἐπὶ τοὺς πολεμίους, κραυγῇ, καὶ χαρᾷ, καὶ πολλῇ ἀλαλαγμοῦ εὐχαῖς ὁμοῦ καὶ παρακλήσεσι μεμιγμένος ἐγίνετο παρὰ τῶν Συρακουσίων τὸν μὲν Δία σωτῆρα καὶ θεὸν ἀποκαλούντων, τοὺς δὲ ξένους ἀδελφοὺς καὶ πολίτας. Οὐδεὶς δὲ φίλαυτος οὕτως ἦν καὶ φιλόψυχος παρὰ τὸν τότε καιρὸν, ὃς οὐ μᾶλλον ὑπὲρ μόνου Δίωνος, ἢ τῶν ἄλλων ἁπάντων, ἀγωνιῶν ἐφαίνετο, πρώτου πρὸς τὸν κίνδυνον πορευομένου δι' αἵματος καὶ πυρὸς καὶ νεκρῶν πολλῶν κειμένων ἐν ταῖς πλατείαις. Ἦν μὲν οὖν καὶ τὰ παρὰ τῶν πολεμίων φοβερὰ, παντάπασιν ἀπηγριωμένων, καὶ παρατεταγμένων παρὰ τὸ τείχισμα χαλεπὴν ἔχων καὶ δυσεκβίαστον τὴν πρόσοδον· ὃ δ' ἐκ τοῦ πυρὸς κίνδυνος ἐτάραττε μᾶλλον τοὺς ξένους, καὶ δύσεργον ἐποίει τὴν πορείαν. Κύκλῳ γὰρ ὑπὸ τῆς φλογὸς περιελύμποντο, τὰς αἰχμὰς περινεμομένης· καὶ διαπύροις ἐπιβαίνοντες ἐρειπίοις, καὶ καταφερομένοις ἀπορῥήγμασι μεγάλοις ὑποτρέχοντες ἐπισφαλῶς, καὶ πολὺν ὁμοῦ καπνῷ διαπορευόμενοι κονιορτὸν, ἐπειρῶντο συνέχειν καὶ μὴ διασπᾶν τὴν τάξιν. Ὡς δὲ προσέμιξαν τοῖς πολεμίοις, ἐν χερσὶ μὲν ὀλίγων πρὸς ὀλίγους ἐγίνετο ἡ μάχη, διὰ τὴν στενότητα καὶ τὴν ἀνωμαλίαν τοῦ τόπου· κραυγῇ δὲ καὶ προθυμίᾳ τῶν Συρακουσίων ἐπιῤῥωσάντων, ἐβιάσθησαν οἱ περὶ τὸν Νύψιον. Καὶ τὸ μὲν πλεῖστον αὐτῶν εἰς τὴν ἀκρόπολιν ἐγγὺς οὖσαν ἀναφεύγον ἐσώζετο· τοὺς δ' ἐναπολειφθέντας ἔξω καὶ διασπαρέντας ἀνῄρουν οἱ ξέν-

τὸν διώκοντες. Ἀπέλαυσαν δὲ τῆς νίκης ἐν τῷ παραυτίκα, καὶ χαρὰν καὶ περιβολὰς ἔργῳ τηλικούτῳ πρεπούσας οὐ παρέσχεν ὁ καιρὸς, ἐπὶ τὰς οἰκίας τρεπομένων τῶν Συρακουσίων, καὶ τὸ πῦρ μόλις ἐν ἐκείνῃ νυκτὶ κατασβεσάντων.

XLVII. Ἡμέρᾳ δ' ὡς ἦν, τῶν μὲν ἄλλων οὐδεὶς ὑπέμεινε δημαγωγῶν, ἀλλὰ καταγνόντες αὐτῶν ἔφυγον. Ἡρακλείδης δὲ καὶ Θεοδότης αὐτοὶ προέμενοι ἑαυτοὺς τῷ Δίωνι παρέδωκαν ἀδικεῖν ὁμολογοῦντες, καὶ δεόμενοι βελτίονος ἐκείνου τυχεῖν, ἢ γεγόνασιν αὐτοὶ περὶ ἐκεῖνον· πρέπειν δὲ Δίωνι, τὴν ἄλλην ἅπασαν ἀρετὴν ἀσύγκριτον ἔχοντι, καὶ πρὸς ὀργὴν κρείττονι φανῆναι τῶν ἡγωμονηκότων, οἳ περὶ οὗ πρότερον ἐστασίασαν πρὸς αὐτὸν, νῦν ἡκουσιν ἡττᾶσθαι τῆς ἀρετῆς ὁμολογοῦντες. Ταῦτα τῶν περὶ τὸν Ἡρακλείδην διομένων, οἱ μὲν φίλοι παρεμελεύοντο τῷ Δίωνι, μὴ φείδεσθαι κακῶν καὶ βασκάνων ἀνθρώπων, ἀλλὰ καὶ τοῖς στρατιώταις χαρίσασθαι τὸν Ἡρακλείδην, καὶ τοῦ πολιτεύματος ἐξελεῖν δημοκοπίαν, ἐπιμανὲς νόσημα, τυραννίδος οὐκ ἔλαττον. Ὁ δὲ Δίων παραμυθούμενος αὐτοὺς, ἔλεγεν, ὡς τοῖς μὲν ἄλλοις στρατηγοῖς πρὸς ὅπλα καὶ πόλεμον ἡ πλείστη τῆς ἀσκήσεώς ἐστιν, αὐτῷ δὲ πολὺν χρόνον ἐν Ἀκαδημίᾳ μεμελέτηται θυμοῦ περιεῖναι καὶ φθόνου καὶ φιλοκερδείας πάσης· ὧν ἐπίδειξίς ἐστιν οὐχ ἡ πρὸς φίλους καὶ χρηστοὺς μετριότης, ἀλλ' εἴ τις ἀδικούμενος εὐπαραίτητος εἴη καὶ πρᾷος
979 τοῖς ἁμαρτάνουσι βούλεσθαι δ' Ἡρακλείδου μὴ τοσοῦτον δυνάμει καὶ φρονήσει κρατῶν, ὅσον χρηστότητι καὶ δικαιοσύνῃ φανῆναι. Τὸ γὰρ ἀληθῶς βέλτιον ἐν τούτοις· εἰ δὲ τοῦ πολέμου κατορθώσεις, εἰ καὶ ἀνθρώπων μηδένα, τήν γε τύχην διαμφισβητοῦσαν ἔχουσιν. Εἰ δ' Ἡρακλείδης ἄπιστος καὶ κακὸς διὰ φθόνον, οὔ τι καὶ Δίωνα δεῖν θυμῷ διαφθεῖραι τὴν ἀρετήν· τὸ γὰρ ἀντιτιμωρεῖσθαι τοῦ προαδικεῖν νόμῳ δικαιότερον ὥρισθαι, φύσει γινόμενον ἀπὸ μιᾶς ἀσθενείας. Ἀνθρώπου δὲ κακίαν, εἰ καὶ χαλεπόν ἐστιν, οὐχ οὕτως ἄγριον εἶναι παντά-

παρὰ καὶ θαυμαζόμενον, ὥστε μὴ μεταβάλλειν χώραν ὑπὸ τῶν πολλάκις εὖ ποιούντων.

XLVIII. Τοιούτοις χρησάμενος λογισμοῖς ὁ Δίων, ἀφῆκε τοὺς περὶ τὸν Ἡρακλείδην. Τραπόμενος δὲ πρὸς τὸ διατείχισμα, τῶν μὲν Συρακουσίων ἕκαστον ἐκέλευσεν ἕνα κάψαντας σταυρὸν ἐγγὺς καταβάλλειν· τοὺς δὲ ξένους ἐπιστήσας, διὰ νυκτὸς, ἀναπαυομένων τῶν Συρακουσίων, ἔλαθεν ἀποσταυρώσας τὴν ἀκρόπολιν· ὥστε μεθ' ἡμέραν τὸ τάχος καὶ τὴν ἐργασίαν θεασαμένους ὁμοίως θαυμάζειν τοὺς πολίτας καὶ τοὺς πολεμίους. Θάψας δὲ τοὺς τεθνηκότας τῶν Συρακουσίων, καὶ λυσάμενος τοὺς ἑαλωκότας δισχιλίων οὐκ ἐλάττονας ὄντας, ἐκκλησίαν συνήγαγε. Καὶ παρελθὼν Ἡρακλείδης εἰσηγήσατο γνώμην, αὐτοκράτορα στρατηγὸν ἑλέσθαι Δίωνα κατὰ γῆν καὶ θάλασσαν. Ἀποδεξαμένων δὲ τῶν ἀρίστων, καὶ χειροτονεῖν καλευόντων, ἐθορύβησαν οἱ ναυτικοὶ ὄχλος καὶ βάναυσος, ἀχθόμενος ἐπιπτοντα τῆς ναυαρχίας τῷ Ἡρακλείδῃ, καὶ νομίζων, αὐτὸν, εἰ καὶ τἆλλα μηδενὸς ἄξιός ἐστι, δημοτικώτερόν γε πάντως εἶναι τοῦ Δίωνος, καὶ μᾶλλον ὑπὸ χεῖρα τοῖς πολλοῖς. Ὁ δὲ Δίων τοῦτο μὲν ἐφῆκεν αὐτοῖς, καὶ τὴν κατὰ θάλατταν ἀρχὴν ἀπέδωκε τῷ Ἡρακλείδῃ, πρὸς δὲ τῆς γῆς καὶ τῶν οἰκείων τὸν ἀναδασμὸν ὠρμημένοις ἐναντιωθείς, καὶ πρὸ πράτερον ψηφισθέντα περὶ τούτων ἀκυρώσας ἐλύπησεν. Ὅθεν εὐθὺς ἑτέραν ἀρχὴν λαβὼν ὁ Ἡρακλείδης, τοὺς συνεκπλεύσαντας μετ' αὐτοῦ στρατιώτας καὶ ναύτας ἐν Μεσσήνῃ καθημένος ἐθηρεύγωγει καὶ παρώξυνε κατὰ τοῦ Δίωνος, ὡς τυραννεῖν μέλλοντος· αὐτὸς δὲ πρὸς Διονύσιον ἐποιεῖτο συνθήκας κρύφα διὰ Φάραχος τοῦ Σπαρτιάτου. Καὶ τοῦτο τῶν γνωριμωτάτων Συρακουσίων ὑπονοησάντων, στάσις ἦν ἐν τῷ στρατοπέδῳ, καὶ δι' αὐτὴν ἀπορία καὶ σπάνις ἐν ταῖς Συρακούσαις· ὥστε πανταπασιν ἀμηχανεῖν τὸν Δίωνα, καὶ κακῶς ἀκούειν ὑπὸ τῶν φίλων, οὕτω δυσμεταχείριστον ἄνθρωπον καὶ διεφθαρμένον

ὑπὸ φθόνου καὶ πονηρίας αὐξήσαντα κἀθ' αὑτοῦ, τὸν Ἡρακλείδην.

XLIX. Φάραξος δὲ πρὸς Νεαπόλει τῆς Ἀκραγαντίνης στρατοπεδεύοντος, ἐξαγαγὼν τοὺς Συρακουσίους, ἐβούλετο μὲν ἐν ἑτέρῳ καιρῷ διαγωνίσασθαι πρὸς αὐτόν. Ἡρακλείδου δὲ καὶ τῶν ναυτῶν καταβοώντων, ὡς οὐ βούλεται μάχῃ κρῖναι τὸν πόλεμον Δίων, ἀλλ' ἀεὶ μένοντος ἄρχειν, ἀναγκασθεὶς συνέβαλε καὶ ἡττήθη. Γενομένης δὲ τῆς τροπῆς οὐ βαρείας, ἀλλὰ μᾶλλον ὑφ' ἑαυτῶν καὶ τοῦ στασιάζειν ταραχθέντων, αὖθις ὁ Δίων παρεσκευάζετο μάχεσθαι, καὶ συνέταττε πείθων καὶ παραθαρρύνων. Τῆς δὲ νυκτὸς ἀρχομένης, ἀγγέλλεται πρὸς αὐτὸν, Ἡρακλείδην ἅπαντα τὸν στόλον πλεῖν ἐπὶ Συρακουσῶν, ἐγνωκότα τὴν πόλιν καταλαβεῖν, κἀκεῖνον ἀποπλεῖσαι μετὰ τοῦ στρατεύματος. Εὐθὺς οὖν ἀναλαβὼν τοὺς δυνατωτάτους καὶ προθυμοτάτους, ἐπέσπασατο διὰ τῆς νυκτὸς καὶ περὶ τρίτην ὥραν τῆς ἡμέρας πρὸς ταῖς πύλαις ἦν, σταδίους κατηνυκὼς ἑπτακοσίους. Ἡρακλείδης δὲ ταῖς ναυσὶν ὡς ἀμιλ-
980 λώμενος ὑστέρησεν, ἀποπλεύσας, καὶ πλανώμενος ἐν ταῖς πρώξεσιν ἀσκόπως, ἐπιτυγχάνει Γαισύλῳ, τῷ Σπαρτιάτῃ, φάσκοντι πλεῖν ἐφ' ἡγεμονίᾳ Σικελιωτῶν ἐκ Λακεδαίμονος, ὡς πρότερόν ποτε Γύλιππος. Ἄσμενος οὖν ἀναλαβὼν τοῦτον τὸν ἄνδρα, καὶ περιαψάμενος ὥσπερ ἀλεξιφάρμακον τοῦ Δίωνος, ἐπεδείκνυτο τοῖς συμμάχοις· καὶ κήρυκα πέμπων εἰς τὰς Συρακούσας, ἐκέλευε δέχεσθαι τὸν Σπαρτιάτην ἄρχοντα τοὺς πολίτας. Ἀποριναμένου δὲ τοῦ Δίωνος, ὡς εἰσὶν ἄρχοντες ἱκανοὶ τοῖς Συρακουσίοις, εἰ δὲ πάντως δέοι καὶ Σπαρτιάτου τοῖς πράγμασιν, αὐτὸς οὗτος εἶναι, κατὰ ποίησιν γεγονὼς Σπαρτιάτης· τὴν μὲν ἀρχὴν ὁ Γαίσυλος ἀπέγνω, πλεύσας δὲ πρὸς τὸν Δίωνα διήλλαξε τὸν Ἡρακλείδην, ὅρκους ὄντα καὶ πίστεις τὰς μεγίστας, αἷς αὐτὸς ὁ Γαίσυλος ὤμοσε τιμωρὸς ἔσεσθαι Δίωνι, καὶ κολάστης Ἡρακλείδου κακοπραγμονοῦντος.

L. Ἐπ τούτου κατέλωσαν μὲν οἱ Συρακούσιοι τὸ ναυτικόν· οὐδὲν γὰρ ἦν ἔργον αὐτοῦ, μεγάλαι δὲ δαπάναι τῶς πλέρυσι, καὶ στάσεως ἀφορμαὶ τοῖς ἄρχουσι· τὴν δ' ἄκραν ἐπολιόρκουν, ἐξοικοδομήσαντες τὸ περιτείχισμα. Μηδενὸς δὲ τοῖς πολιορκουμένοις βοηθοῦντος, ἐπιλιπόντος δὲ σίτου, τῶν δὲ μισθοφόρων γινομένων πονηρῶν, ἀπογνοὺς ὁ υἱὸς τοῦ Διονυσίου τὰ πράγματα, καὶ σπεισάμενος πρὸς τὸν Δίωνα, τὴν μὲν ἄκραν ἐκείνῳ μετὰ τῶν ὅπλων καὶ τῆς ἄλλης κατασκευῆς παρέδωκεν, αὐτὸς δὲ τὴν μητέρα καὶ τὰς ἀδελφὰς ἀναλαβών, καὶ πέντε πληρωσάμενος τριήρεις, ἐξέπλει πρὸς τὸν πατέρα τοῦ Δίωνος ἀσφαλῶς μὲν ἐκπέμποντος, οὐδενὸς δὲ τῶν ἐν Συρακούσαις ἀπολιπόντος ἐκείνην τὴν ὄψιν· ἀλλὰ καὶ τοὺς μὴ παρόντας ἐπιβοωμένων, ὅτι τὴν ἡμέραν ταύτην καὶ τὸν ἥλιον ἐλευθέραις ἀνίσχοντα ταῖς Συρακούσαις οὐκ ἐφορῶσιν. Ὅπου γὰρ ἔτι νῦν τῶν λεγομένων κατὰ τῆς τύχης παραδειγμάτων ἐμφανέστατόν ἐστι καὶ μέγιστον ἡ Διονυσίου φυγή, τίνα χρὴ δοκεῖν αὐτῶν ἐκείνων τὴν τότε χαρὰν γενέσθαι, καὶ πηλίκον φρονῆσαι τοὺς τὴν μεγίστην τῶν πώποτε τυραννίδων καθελόντας ἐλαχίσταις ἀφορμαῖς;

LI. Ἐκπλεύσαντος δὲ τοῦ Ἀπολλοκράτους, καὶ τοῦ Δίωνος εἰς τὴν ἀκρόπολιν βαδίζοντος, οὐκ ἐκαρτέρησαν αἱ γυναῖκες, οὐδ' ἀνέμειναν εἰσελθεῖν αὐτὸν, ἀλλ' ἐπὶ τὰς θύρας ἐξέδραμον· ἡ μὲν Ἀριστομάχη τὸν υἱὸν ἄγουσα τοῦ Δίωνος· ἡ δ' Ἀρετὴ κατόπιν εἵπετο δακρύουσα, καὶ διαποροῦσα, πῶς ἀσπάσηται καὶ προσείπῃ τὸν ἄνδρα, κοινωνίας αὐτῇ πρὸς τὸν ἕτερον γεγενημένης. Ἀσπασαμένου δ' αὐτοῦ πρώτην τὴν ἀδελφὴν, εἶτα τὸ παιδίον, ἡ Ἀριστομάχη προσαγαγοῦσα τὴν Ἀρετὴν, „Ἠτυχοῦμεν, ἔφη, ὦ Δίων, σοῦ φεύγοντος· ἥκων δὲ καὶ νεκῶν ἀφῄρηκας ἡμῶν ἁπάντων τὰς κατηφείας, πλὴν μόνης ταυτησὶ, ἣν ἐπεῖδον ἡ δυστυχὴς ἐγὼ, σοῦ ζῶντος, ἑτέρῳ συνελθεῖν βιασθεῖσαν. Ὅτε οὖν σε κύριον ἡμῶν ἡ τύχη πεποίηκεν, πῶς αὐτῇ διαιτᾷς ἐκείνην τὴν ἀνάγ-

μην; Πότερον ὡς θεῖον, ἢ καὶ ὡς ἄνδρα σε ἀσπάσεται; " Τοιαῦτα τῆς Ἀριστομάχης λεγούσης, ὁ Δίων ἐκδακρύσας, προσηγάγετο φιλοστόργως τὴν γυναῖκα· καὶ παραδοὺς αὐτῇ τὸν υἱόν, ἐκέλευσεν εἰς τὴν οἰκίαν τὴν αὐτοῦ βαδίζειν, ὅπου καὶ αὐτὸς διῃτᾶτο, τὴν ἄκραν ἐπὶ τοῖς Συρακουσίοις ποιησάμενος.

LII. Οὕτω δὲ τῶν πραγμάτων αὐτῷ προκεχωρηκότων, οὐδὲν ἀπολαῦσαι πρότερον ἠξίωσε τῆς παρούσης εὐτυχίας, ἢ καὶ τὸ φίλοις χάριτας, καὶ συμμάχοις δωρεας, μάλιστα δὲ τοῖς ἐν ἄστει συνήθεσι καὶ ξένοις ἀπονεῖμαί τινα φιλανθρωπίας καὶ τιμῆς μερίδα, τῇ μεγαλοψυχίᾳ τὴν δύναμιν ὑπερβαλλόμενος. Ἑαυτὸν δὲ λιτῶς καὶ σωφρόνως ἐν τῶν τυχόντων διῳκει· θαυμαζόμενος, ὅτι, μὴ μόνον Σκελίας τε
981 καὶ Καρχηδόνος, ἀλλὰ καὶ τῆς Ἑλλάδος ὅλης ἀποβλεπούσης πρὸς αὐτὸν εὐημεροῦντα, καὶ μηδὲν οὕτω μέγα τῶν τότε νομιζόντων, μηδ' ἐπιφανεστέρας περὶ ἄλλον ἡγεμόνα τόλμης καὶ τύχης γεγονέναι δοκούσης, οὕτω παρεῖχεν ἑαυτὸν ἐσθῆτι καὶ θεραπείᾳ καὶ τραπέζῃ μέτριον, ὥσπερ ἐν Ἀκαδημίᾳ συσσιτῶν μετὰ Πλάτωνος, οὐκ ἐν ξεναγοῖς καὶ μισθοφόροις διαιτώμενος, οἷς αἱ καθ' ἑκάστην ἡμέραν πλησμοναὶ καὶ ἀπολαύσεις παραμυθία τῶν πόνων καὶ τῶν κινδύνων εἰσίν. Ἀλλ' ἐκείνῳ μὲν Πλάτων ἔγραφεν, ὡς πρὸς ἕνα νῦν τῆς οἰκουμένης τοῦτον ἅπαντες ἀποβλέπουσιν· αὐτὸς δ' ἐκεῖνος, ὡς ἔοικεν, ἀφετέρα πρὸς ἓν χωρίον μιᾶς πόλεως, τὴν Ἀκαδημίαν, καὶ τοὺς αὐτόθι καὶ θεατὰς καὶ δικαστὰς ἐγίνωσκεν οὔτε πρᾶξιν, οὔτε τόλμαν, οὔτε νίκην τινὰ θαυμάζοντας, ἀλλὰ μόνον, εἰ κοσμίως καὶ σωφρόνως τῇ τύχῃ χρῆται, καὶ παρέχει μέτριον ἑαυτὸν ἐν πράγμασι μεγάλοις, ἀποσκοποῦντας. Τοῦ μέντοι περὶ τὰς ὁμιλίας ὄγκου καὶ τοῦ πρὸς τὸν δῆμον ἀτενοῦς ἐφιλονείκει μηδὲν ὑφελεῖν, μηδὲ χαλάσαι· καίτοι τῶν πραγμάτων αὐτῷ χάριτος ἐνδεῶν ὄντων, καὶ Πλάτωνος ἐπιτιμῶντος, ὡς εἰρήκαμεν, καὶ γράφοντος, ὅτι ἡ αὐθάδεια ἐρημία συνοικὸς ἐστιν. Ἀλ-

λὰ φύσει τε φαίνεται πρὸς τὸ πιθανὸν δυσμεράστως κεχρημένος, ἀντισπᾷν τε τοὺς Συρακουσίους ἄγαν ἀνειμένους καὶ διατεθρυμμένους προθυμούμενος.

LIII. Ὁ γὰρ Ἡρακλείδης αὖθις ἐπέκειτο· καὶ πρῶτον μὲν εἰς συνέδριον παρακαλούμενος, οὐκ ἐβούλετο βαδίζειν· ἰδιώτης γὰρ ὢν, μετὰ τῶν ἄλλων ἐκκλησιάζειν πολιτῶν. Ἔπειτα κατηγόρει τοῦ Δίωνος, ὅτι τὴν ἄκραν οὐ κατέσκαψεν, καὶ τῷ δήμῳ, τὸν Διονυσίου τάφον ὥρμημένῳ λῦσαι, καὶ τὸν νεκρὸν ἐκβαλεῖν, οὐκ ἐπέτρεψε· μεταπέμπεται δ' ἐκ Κορίνθου συμβούλους καὶ συνάρχοντας, ἀπαξιῶν τοὺς πολίτας. Τῷ δ' ὄντι μετεπέμπετο τοὺς Κορινθίους ὁ Δίων, ἣν ἐπενόει πολιτείαν ῥᾷον ἐλπίζων καταστήσειν, ἐκείνων παραγενομένων. Ἐπενόει δὲ, τὴν μὲν ἄκρατον δημοκρατίαν, ὡς οὐ πολιτείαν, ἀλλὰ παντοπώλιον οὖσαν πολιτειῶν, κατὰ τὸν Πλάτωνα, κωλύειν· Λακωνικὸν δέ τι καὶ Κρητικὸν σχῆμα μιξάμενος ἐκ δήμου καὶ βασιλείας, ἀριστοκρατίαν ἔχον τὴν ἐπιστατοῦσαν καὶ βραβεύουσαν τὰ μέγιστα, καθιστάναι καὶ κοσμεῖν· ὁρῶν καὶ τοὺς Κορινθίους ὀλιγαρχικώτερόν τε πολιτευομένους, καὶ μὴ πολλὰ τῶν κοινῶν ἐν τῷ δήμῳ πράττοντας. Ὡς οὖν μάλιστα πρὸς ταῦτα τὸν Ἡρακλείδην ἐναντιώσεσθαι προσεδόκα, καὶ τἄλλα ταραχώδης καὶ εὐμετάθετος καὶ στασιαστικὸς ἦν, οὓς παλαι βουλομένους αὐτὸν ἐκβάλλειν ἀνελεῖν, τούτοις ἐπέτρεψε τότε· καὶ παρελθόντες εἰς τὴν οἰκίαν ἀποκτιννύουσιν αὐτόν. Ἐλύπησε δὲ σφόδρα τοὺς Συρακουσίους ἀποθανών. Ὅμως δὲ τοῦ Δίωνος ταφάς τε λαμπρὰς παρασκευάσαντος, καὶ μετὰ τοῦ στρατεύματος ἑπομένου προπέμψαντος τὸν νεκρὸν, εἶτα διαλεχθέντος αὐτοῖς, συνέγνωσαν, ὡς οὐ δυνατὸν ἦν, ταρασσομένην παύσασθαι τὴν πόλιν, Ἡρακλείδου καὶ Δίωνος ἅμα πολιτευομένων.

LIV. Ἦν δέ τις ἑταῖρος τοῦ Δίωνος ἐξ Ἀθηνῶν, Κάλλιππος, ὃν φησιν ὁ Πλάτων οὐκ ἀπὸ παιδείας, ἀλλ' ἐκ μυσταγωγῶν καὶ τῆς παρατυχούσης ἑταιρείας, γνώριμον αὐτῷ γενέσθαι καὶ συνηθη-

μετασχὼν δὲ τῆς στρατείας, καὶ τιμώμενος; ὥστε καὶ συνεισελθεῖν τὰς Συρακούσας πρῶτος τῶν ἑταίρων ἁπάντων ἐστεφανωμένος, καὶ λαμπρὸς ἐν τοῖς ἀγῶσι καὶ διάσημος. Ἐπεὶ δὲ, τῶν πρώτων καὶ βελτίστων φίλων τοῦ Δίωνος ἀνηλωμένων ὑπὸ τοῦ πολέμου, καὶ τεθνηκότος Ἡρακλείδου, τόν τε δῆμον
982 ἑώρα τῶν Συρακουσίων ἔρημον ἡγεμόνος ὄντα, καὶ τοὺς στρατιώτας, τοὺς μετὰ Δίωνος προσέχοντας αὐτῷ μάλιστα, μιαρώτατος ἀνθρώπων γενόμενος, καὶ παντάπασιν ἐλπίσας Σικελίαν ἆθλον ἕξειν τῆς ξενοκτονίας, ὡς δέ φασιν ἔνιοι, καὶ τάλαντα προσλαβὼν εἴκοσι τοῦ φόνου μισθὸν παρὰ τῶν πολεμίων, διέφθειρε καὶ παρεσκεύασε τινας τῶν ξένων ἐπὶ τὸν Δίωνα, κακοηθεστάτην ἀρχὴν καὶ πανουργοτάτην ποιησάμενος. Ἀεὶ γάρ τινας φωνὰς τῶν στρατιωτῶν πρὸς ἐκεῖνον ἢ λελεγμένας ἀληθῶς ἀναφέρων, ἢ πεπλασμένας ὑφ' αὑτοῦ, τοιαύτην ἐξουσίαν ἔλαβε διὰ τὴν πίστιν, ὥστ' ἐντυγχάνειν κρύφα καὶ διαλέγεσθαι μετὰ παῤῥησίας, οἷς βούλοιτο, κατὰ τοῦ Δίωνος, αὐτοῦ κελεύοντος, ἵνα μηδ' εἷς λανθάνῃ τῶν ὑπούλως καὶ δυσμενῶς ἐχόντων. Ἐκ δὲ τούτων συνέβαινε τοὺς μὲν πονηροὺς καὶ νοσοῦντας εὑρίσκειν ταχὺ καὶ συνιστάναι τὸν Κάλλιππον· εἰ δέ τις ἀπωσάμενος τοὺς λόγους αὐτοῦ, καὶ τὴν πεῖραν ἐξείποι πρὸς τὸν Δίωνα, μὴ ταράττεσθαι, μηδὲ χαλεπαίνειν ἐκεῖνον, ὡς, ἃ προσέταττε, τοῦ Καλλίππου περαίνοντος.

LV. Συνεσταμένης δὲ τῆς ἐπιβουλῆς, φάσμα γίνεται τῷ Δίωνι μέγα καὶ τερατῶδες. Ἐτύγχανε μὲν γὰρ ὀψὲ τῆς ἡμέρας καθεζόμενος ἐν παστάδι τῆς οἰκίας, μόνος ὢν πρὸς ἑαυτὸν τὴν διάνοιαν· ἐξαίφνης δὲ ψόφου γενομένου πρὸς θατέρῳ πέρατι τῆς στοᾶς, ἀποβλέψας, ἔτι φωτὸς ὄντος, εἶδε γυναῖκα μεγάλην, στολῇ μὲν καὶ προσώπῳ μηδὲν Ἐρινύος τραγικῆς παραλλάττουσαν, σαίρουσαν δὲ καλλύντρῳ τινὶ τὴν οἰκίαν. Ἐκπλαγεὶς δὲ δεινῶς καὶ περίφοβος γενόμενος, μετεπέμψατο τοὺς φίλους, καὶ διηγεῖτο τὴν ὄψιν αὐτοῖς· καὶ παραμένειν ἐδεῖτο καὶ συννυ-

στρεύειν, παντάπασιν ἐκστατικῶς ἔχων, καὶ δεδοικὼς, μὴ πάλιν εἰς ὄψιν αὐτῷ μονωθέντι τὸ τέρας ἀφίκηται. Τοῦτο μὲν οὖν αὖθις οὐ συνέπεσε. Μεθ' ἡμέρας δ' ὀλίγας ὁ υἱὸς αὐτοῦ, σχεδὸν ἀντίπαις ὤν, ἔκ τινος λύπης καὶ ὀργῆς, μικρὰν καὶ παιδικὴν ἀρχὴν λαβούσης, ἔῤῥιψεν ἑαυτὸν ἀπὸ τοῦ στέγους ἐπὶ τὴν κεφαλὴν, καὶ διεφθάρη.

LVI. Ἐν τοιούτοις δὲ τοῦ Δίωνος ὄντος, ὁ Κάλλιππος ἔτι μᾶλλον εἴχετο τῆς ἐπιβουλῆς· καὶ λόγον εἰς τοὺς Συρακουσίους ἐξέδωκεν, ὡς ὁ Δίων, ἅπαις γεγονὼς, ἔγνωκε τὸν Διονυσίου καλεῖν Ἀπολλοκράτη, καὶ ποιεῖσθαι διάδοχον, ἀδελφιδοῦν μὲν ὄντα τῆς ἑαυτοῦ γυναικὸς, θυγατριδοῦν δὲ τῆς ἀδελφῆς. Ἦδη δὲ καὶ τὸν Δίωνα καὶ τὰς γυναῖκας ὑπόνοια τῶν πραττομένων εἶχε, καὶ μηνύσεις ἐῤῥύηντο πανταχόθεν. Ἀλλ' ὁ μὲν Δίων, ὡς ἔοικεν, ἐπὶ τοῖς κατὰ τὸν Ἡρακλείδην ἀχθόμενος, καὶ τὸν φόνον ἐκεῖνον, ὡς τινα τοῦ βίου καὶ τῶν πράξεων αὐτῷ κηλῖδα περικειμένην, δυσχεραίνων ἀεὶ καὶ βαρυνόμενος, εἶπεν, ὅτι πολλάκις ἤδη θνήσκειν ἕτοιμός ἐστι, καὶ παρέχειν τῷ βουλομένῳ σφάττειν αὐτὸν, εἰ ζῆν δήσει μὴ μόνον τοὺς ἐχθροὺς, ἀλλὰ καὶ τοὺς φίλους φυλαττόμενον. Τὰς δὲ γυναῖκας ὁρῶν ὁ Κάλλιππος ἐξεταζούσας ἀκριβῶς τὸ πρᾶγμα, καὶ φοβηθεὶς, ἦλθε πρὸς αὐτὰς ἀρνούμενος καὶ δακρύων, καὶ πίστιν, ἣν βούλονται, διδόναι βουλόμενος. Αἱ δ' ἠξίουν αὐτὸν ὀμόσαι τὸν μέγαν ὅρκον. Ἦν δὲ τοιοῦτος· καταβὰς εἰς τὸ τῶν Θεσμοφόρων τέμενος ὁ διδοὺς τὴν πίστιν, ἱερῶν τινων γενομένων, περιβάλλεται τὴν πορφυρίδα τῆς θεοῦ, καὶ λαβὼν δᾷδα καιομένην ἀπόμνυσι. Ταῦτα ποιήσας ὁ Κάλλιππος πάντα, καὶ τὸν ὅρκον ἀπομόσας, οὕτω κατεγέλασε τῶν θεῶν, ὥστε περιμείνας τὴν ἑορτὴν ἧς ὤμοσε θεοῦ, δρᾷ τὸν φόνον ἐν τοῖς Κουρείοις· οὐδὲν ἴσως τὸ περὶ τὴν ἡμέραν τῆς θεοῦ ποιησάμενος, ὡς ἀσεβουμένης πάντως, εἰ καὶ κατ' ἄλλον χρόνον ἔσφαττε τὸν μύστην αὐτῆς ὁ μυσταγωγός.

LVII. Ὄντων δὲ πλειόνων ἐν τῇ κοινωνίᾳ τῆς πράξεως, καὶ καθεζομένου Δίωνος ἐν οἰκήματι κλί-
983 νας τινὰς ἔχοντι μετὰ τῶν φίλων, οἱ μὲν ἔξω τὴν οἰκίαν περιέστησαν, οἱ δὲ πρὸς ταῖς θύραις τοῦ οἴκου καὶ ταῖς θυρίσιν ἦσαν. Αὐτοὶ δ' οἱ προσφέρειν τὰς χεῖρας μέλλοντες Ζακύνθιοι παρῆλθον ἄνευ ξιφῶν ἐν τοῖς χιτῶσιν. Ἅμα δ' οἱ μὲν ἔξω τὰς θύρας ἐπισπασάμενοι κατεῖχον· οἱ δὲ τῷ Δίωνι προσπεσόντες, κατέχειν ἐπειρῶντο καὶ συντρίβειν αὐτόν. Ὡς δ' οὐδὲν ἐπέραινον, ἤτουν ξίφος· οὐδεὶς δ' ἐτόλμα τὰς θύρας ἀνοῖξαι. Συχνοὶ γὰρ ἦσαν ἔνδον οἱ μετὰ τοῦ Δίωνος· ὧν ἕκαστος οἰόμενος, ἂν ἐκεῖνον πρόηται, διασώσειν ἑαυτὸν, οὐκ ἐτόλμα βοηθεῖν. Διατριβῆς δὲ γενομένης, Λύκων Συρακούσιος ὀρέγει τινὶ τῶν Ζακυνθίων διὰ τῆς θυρίδος ἐγχειρίδιον, ᾧ καθάπερ ἱερεῖον τὸν Δίωνα κρατούμενον πάλαι καὶ δεδιττόμενον ἀπέσφαξαν. Εὐθὺς δὲ καὶ τὴν ἀδελφὴν μετὰ τῆς γυναικὸς ἐγκύμονος οὔσης εἰς τὴν εἱρκτὴν ἐνέβαλον. Καὶ συνέβη τῇ γυναικὶ, τλημονέστατα λοχευθείσῃ, τεκεῖν ἐν τῷ δεσμωτηρίῳ παιδάριον ἄρρεν· ὅπερ καὶ θρέψαι μᾶλλον παρεβάλοντο, πείσασαι τοὺς φύλακας, ἤδη τοῦ Καλλίππου θορυβουμένου τοῖς πράγμασιν.

LVIII. Ἐν ἀρχῇ μὲν γὰρ ἀποκτείνας τὸν Δίωνα λαμπρὸς ἦν, καὶ κατεῖχε τὰς Συρακούσας· καὶ πρὸς τὴν Ἀθηναίων ἔγραψε πόλιν, ἣν μάλιστα μετὰ τοὺς θεοὺς ὤφειλεν αἰδεῖσθαι καὶ δεδιέναι, τηλικοῦτον μύσους ἀψάμενος. Ἀλλ' ἔοικεν ἀληθῶς λέγεσθαι τὸ τὴν πόλιν ἐκείνην φέρειν ἄνδρας ἀρετῇ τε τοὺς ἀγαθοὺς ἀρίστους, καὶ πανία τοὺς φαύλους πονηροτάτους· καθάπερ αὐτῶν καὶ ἡ χώρα κάλλιστον μέλι καὶ κώνειον ὠκυμορώτατον ἀναδίδωσιν. Οὐ μὴν πολὺν χρόνον ὁ Κάλλιππος ἔγκλημα τῆς τύχης καὶ τῶν θεῶν περιῆν, ὡς περιορώντων ἐξ ἀσεβήματος ἄνθρωπον τηλικούτου κτώμενον ἡγεμονίας καὶ πράγματα· ταχὺ δ' ἀξίαν δίκην ἔδωκεν. Ὁρμήσας μὲν γὰρ Κατάνην λαβεῖν, εὐθὺς ἀπέβαλε τὰς Συρακούσας· ὅτε καὶ φασὶν αὐτὸν εἰπεῖν, ὅτι πόλιν

ἀπολωλεκὼς, τυρόκνηστιν εἴληφεν. Ἐπιθέμενος δὲ Μεσσηνίοις, καὶ τοὺς πλείστους στρατιώτας ἀπολέσας, ἐν οἷς ἦσαν οἱ Δίωνα κατακτείναντες, οὐδεμιᾶς δὲ πόλεως αὐτὸν ἐν Σικελίᾳ προσδεχομένης, ἀλλὰ μισούντων ἁπάντων καὶ προβαλλομένων, Ῥήγιον κατέσχεν. Ἐκεῖ δὲ λυπρῶς πράττων, καὶ κακῶς διατρέφων τοὺς μισθοφόρους, ὑπὸ Λεπτίνου καὶ Πολυπέρχοντος ἀνῃρέθη, χρησαμένων ξιφιδίῳ κατὰ τύχην, ᾧ καὶ Δίωνα πληγῆναι φασίν. Ἐγνώσθη δὲ τῷ μεγέθει, (βραχὺ γὰρ ἦν, ὥσπερ τὰ Λακωνικὰ,) καὶ τῇ κατασκευῇ τῆς τέχνης, εἰργασμένον γλαφυρῶς καὶ περιττῶς. Τοιαύτην μὲν οὖν τίσιν Κάλλιππος ἔδωκε τὴν δ' Ἀριστομάχην καὶ τὴν Ἀρετὴν, ὡς ἀφείθησαν ἐκ τῆς εἱρκτῆς, ἀναλαβὼν Ἱκέτης ὁ Συρακούσιος, εἷς τῶν Δίωνος φίλων γεγονὼς, ἐδόκει πιστῶς καὶ καλῶς περιέπειν. Εἶτα συμπεισθεὶς ὑπὸ τῶν Δίωνος ἐχθρῶν, καὶ παρασκευάσας πλοῖον αὐταῖς, ὡς εἰς Πελοπόννησον ἀποσταλησομέναις, ἐκέλευσε κατὰ πλοῦν ἀποσφάξαντας ἐκβαλεῖν εἰς τὴν θάλασσαν. Οἱ δὲ ζώσας ἔτι καταποντισθῆναι λέγουσι, καὶ τὸ παιδίον μετ' αὐτῶν. Περιῆλθε δὲ καὶ τοῦτον ἀξία ποινὴ τῶν τετολμημένων. Αὐτός τε γὰρ ὑπὸ Τιμολέοντος ἁλοὺς ἀπέθανε, καὶ θυγατέρας δύο προσαπέκτειναν αὐτῷ Δίωνι τιμωροῦντες οἱ Συρακούσιοι· περὶ ὧν ἐν τῷ Τιμολέοντος βίῳ καθ' ἕκαστα γέγραπται.

ΒΡΟΥΤΟΣ.

984 Μάρκου δὲ Βρούτου πρόγονος ἦν Ἰούνιος Βροῦτος, ὃν ἀνέπτησαν ἐν Καπιτωλίῳ χαλκοῦν οἱ παλαιοὶ Ῥωμαῖοι, μέσον τῶν βασιλέων, ἐσπασμένον ξίφος, ὡς βεβαιότατα καταλύσαντα Ταρκυνίους. Ἀλλ' ἐκεῖνος μὲν, ὥσπερ τὰ ψυχρήλατα τῶν ξιφῶν, σκληρὸν ἐκ φύσεως καὶ οὐ μαλακὸν ἔχων ὑπὸ λόγου τὸ ἦθος, ἄχρι παιδοφονίας ἐξώκειλε τῷ θυμῷ τῷ κατὰ τῶν τυράννων· οὗτοσὶ δ', ὑπὲρ οὗ γράφεται ταῦτα, παιδείᾳ καὶ λόγῳ διὰ φιλοσοφίας καταμίξας τὸ ἦθος, καὶ τὴν φύσιν ἐμβριθῆ καὶ πραεῖαν οὖσαν ἐπεγείρας ταῖς πρακτικαῖς ὁρμαῖς, ἐμμελέστατα δοκεῖ πραθῆναι πρὸς τὸ καλόν· ὥστε καὶ τοὺς ἀπεχθανομένους αὐτῷ διὰ τὴν ἐπὶ Καίσαρα συνωμοσίαν, εἰ μέν τι γενναῖον ἢ πρᾶξις ἤνεγκε, Βρούτῳ προσάπτειν, τὰ δυσχερέστατα δὲ τῶν γεγονότων τρέπειν εἰς Κάσσιον, οἰκεῖον μὲν ὄντα Βρούτου καὶ φίλον, ἁπλοῦν δὲ τῷ τρόπῳ καὶ καθαρὸν οὐχ ὁμοίως. Σερβιλία δὲ, ἡ μήτηρ, ἀνέφερε τὸ γένος εἰς Ἄλαν Σερβίλιον, ὃς, Μαλλίου Σπορίου τυραννίδα κατασκευαζομένου, καὶ ταράττοντος τὸν δῆμον, ἐγχειρίδιον λαβὼν ὑπὸ μάλης προῆλθεν εἰς ἀγοράν· καὶ παραστὰς τῷ ἀνδρὶ πλησίον, ὡς ἐντυγχάνειν τι μέλλων καὶ διαλέγεσθαι, προσνεύσαντα πατάξας ἀπέκτεινε. Τοῦτο μὲν οὖν ὁμολογούμενόν ἐστι· τὸ δὲ πατρῷον γένος, οἱ διὰ τὸν Καίσαρος φόνον ἔχθραν τινὰ καὶ δυσμένειαν ἀπο-

δεικνύμενοι πρὸς Βροῦτον, οὔ φασιν εἰς τὸν ἐκβαλόντα Ταρκυνίους ἀνήκειν· οὐδὲν γὰρ ἐκείνῳ λειφθῆναι γένος ἀνελόντι τοὺς υἱούς· ἀλλὰ δημότην τοῦτον οἰκονόμου υἱὸν ὄντα Βρούτου, ἄρτι καὶ πρώην εἰς ἄρχοντα προελθεῖν. Ποσειδώνιος δ' ὁ φιλόσοφος τοὺς μὲν ἐνηλίκους φησὶν ἀπολέσθαι τοῦ Βρούτου παῖδας, ὡς ἱστόρηται· τρίτον δὲ λειφθῆναι νήπιον, ἀφ' οὗ τὸ γένος ὡρμῆσθαι· καὶ τῶν γε καθ' αὑτὸν ἐκ τῆς οἰκίας γεγονότων ἐπιφανῶν ἀνδρῶν ἀναφέρειν ἐνίους πρὸς τὸν ἀνδριάντα τοῦ Βρούτου τὴν ὁμοιότητα τῆς ἰδέας. Περὶ μὲν οὖν τούτων τοσαῦτα.

II. Σερβιλίας δὲ, τῆς Βρούτου μητρὸς, ἀδελφὸς ἦν Κάτων, ὁ φιλόσοφος, ὃν μάλιστα Ῥωμαίων ἐζήλωσεν οὗτος, θεῖον ὄντα, καὶ πενθερὸν ὕστερον γενόμενον. Τῶν δ' Ἑλληνικῶν φιλοσόφων οὐδενὸς μὲν, ὡς ἁπλῶς εἰπεῖν, ἀνήκοος ἦν, οὐδ' ἀλλότριος· διαφερόντως δ' ἐσπουδάκει πρὸς τοὺς ἀπὸ Πλάτωνος· καὶ τὴν νέαν καὶ μέσην λεγομένην Ἀκαδημίαν οὐ πάνυ προσιέμενος, ἐξήρτητο τῆς παλαιᾶς· καὶ διετέλει θαυμάζων μὲν Ἀντίοχον τὸν Ἀσκαλωνίτην, φίλον δὲ καὶ συμβιωτὴν τὸν ἀδελφὸν αὐτοῦ πεποιημένος, Ἀρίστωνα, ἄνδρα τῇ μὲν ἐν λόγοις ἕξει πολλῶν φιλοσόφων λειπόμενον, εὐταξίᾳ δὲ καὶ πρᾳότητι τοῖς πρώτοις ἐναμίλλον. Ὁ δ' Ἔμπυλος, οὗ καὶ αὐτὸς ἐν ταῖς ἐπιστολαῖς καὶ οἱ φίλοι μέμνηνται πολλάκις, ὡς συμβιοῦντος αὐτῷ, ῥήτωρ μὲν ἦν, καὶ καταλέλοιπε μικρὸν μὲν, οὐ φαῦλον δὲ σύγγραμμα περὶ τῆς Καίσαρος ἀναιρέσεως, ὃ Βροῦτος ἐπιγέγραπται. Ῥωμαϊστὶ μὲν οὖν ἤσκητο πρὸς τὰς διεξόδους καὶ τοὺς ἀγῶνας ἱκανῶς ὁ Βροῦτος· Ἑλλη- 985
νιστὶ δὲ τὴν ἀποφθεγματικὴν καὶ Λακωνικὴν ἐπιτηδεύων βραχυλογίαν ἐν ταῖς ἐπιστολαῖς ἐνιαχοῦ παράσημός ἐστιν. Οἷον ἤδη καθεστηκὼς εἰς τὸν πόλεμον γράφει Περγαμηνοῖς· „Ἀκούω ὑμᾶς Δολοβέλλᾳ δεδωκέναι χρήματα· τὰ εἰ μὲν ἑκόντες ἔδοτε, ὁμολογεῖτε ἀδικεῖν· εἰ δ' ἄκοντες, ἀποδείξατε τῷ ἐμοὶ ἑκόντες δοῦναι." Πάλιν Σαμίοις· „Αἱ βουλαὶ ὑ-

μῶν ὀλίγωροι, αἱ ὑπουργίαι βραδεῖαι. Τί τούτων τέλος ἐννοεῖσθε;" Καὶ περὶ Παταρέων ἑτέραν· „Ξάνθιοι τὴν ἐμὴν εὐεργεσίαν ὑπεριδόντες, τάφον ἀπονοίας ἐσχήκασι τὴν πατρίδα· Παταρεῖς δὲ πιστεύσαντες ἑαυτοὺς ἐμοὶ, οὐδὲν ἐλλείπουσι διοικοῦντες τὰ καθ' ἕκαστα τῆς ἐλευθερίας. Ἐξὸν οὖν καὶ ὑμῖν, ἢ τὴν Παταρέων κρίσιν, ἢ τὴν Ξανθίων τύχην ἕλεσθε." Τὸ μὲν οὖν τῶν παρασήμων γένος ἐπιστολίων τοιοῦτόν ἐστιν.

III. Ἔτι δὲ μειράκιον ὢν Κάτωνι, τῷ θείῳ, συναπεδήμησεν εἰς Κύπρον ἐπὶ Πτολεμαῖον ἀποσταλέντι. Πτολεμαίου δὲ διαφθείραντος ἑαυτὸν, ὁ Κάτων αὐτὸς ἐν Ῥόδῳ διατριβὴν ἔχων ἀναγκαίαν, ἔτυχε μὲν ἤδη τινὰ τῶν φίλων, Κανίνιον, ἐπὶ τὴν τῶν χρημάτων φυλακὴν ἀπεσταλκώς· δείσας δ' ἐκεῖνον, ὡς οὐκ ἀφεξόμενον κλοπῆς, ἔγραψε τῷ Βρούτῳ, πλεῖν τὴν ταχίστην εἰς Κύπρον ἐκ Παμφυλίας· ἐκεῖ γὰρ ἑαυτὸν ἀναλαμβάνων ἔκ τινος ἀσθενείας διῆγεν. Ὁ δὲ καὶ μάλ' ἄκων ἔπλευσεν, τόν τε Κανίνιον αἰδούμενος, ὡς ἀτίμως ἀπερρίμμενον ὑπὸ τοῦ Κάτωνος, καὶ ὅλως τὴν τοιαύτην ἐπιμέλειαν καὶ διοίκησιν, ἅτε δὴ νέος καὶ σχολαστὴς, οὐκ ἐλευθέριον, οὐδ' ἑαυτοῦ ποιούμενος. Οὐ μὴν ἀλλὰ καὶ περὶ ταῦτα συντείνας ἑαυτὸν, ὑπὸ τοῦ Κάτωνος ἐπῃνέθη· καὶ τῆς οὐσίας ἐξαργυρισθείσης, ἀναλαβὼν τὰ πλεῖστα τῶν χρημάτων εἰς Ῥώμην ἔπλευσεν.

IV. Ἐπεὶ δὲ τὰ πράγματα διέστη, Πομπηΐου καὶ Καίσαρος ἐξενεγκαμένων τὰ ὅπλα, καὶ τῆς ἡγεμονίας ταραχθείσης, ἐπίδοξος μὲν ἦν αἱρήσεσθαι τὰ Καίσαρος· ὁ γὰρ πατὴρ αὐτοῦ διὰ τὸν Πομπήϊον ἐτεθνήκει πρότερον· ἀξιῶν δὲ τὰ κοινὰ τῶν ἰδίων ἐπίπροσθεν ποιεῖσθαι, καὶ τὴν Πομπηΐου νομίζων ὑπόθεσιν βελτίονα πρὸς τὸν πόλεμον εἶναι τῆς τοῦ Καίσαρος, ἐκείνῳ προσέθετο. Καίτοι πρότερον, ἀπαντήσας, οὐδὲ προσεῖπε τὸν Πομπήϊον, ἄγος ἡγούμενος μέγα, πατρὸς φονεῖ διαλέγεσθαι· τότε δ' ὡς ἄρχοντι τῆς πατρίδος ὑποτάξας ἑαυτὸν, εἰς Σικελίαν

ἔπλευσε πρεσβευτὴς μετὰ Σηστίου τοῦ λαχόντος τὴν ἐπαρχίαν. Ὡς δ' ἐκεῖ πράττειν οὐδὲν ἦν μέγα, καὶ συνῄεσαν εἰς ταὐτὸ ἤδη Πομπήϊος καὶ Καῖσαρ ἀγωνιζόμενοι περὶ τῶν ὅλων, ἧκεν εἰς Μακεδονίαν ἐθελοντὴς τοῦ κινδύνου μεθέξων· ὅτε καί φασι Πομπήϊον ἡσθέντα καὶ θαυμάσαντα, προσιόντος αὐτοῦ καθεζόμενον ἐξαναστῆναι, καὶ περιβαλεῖν ὡς κρείττονα, πάντων ὁρώντων. Ἐν δὲ τῇ στρατείᾳ, τῆς ἡμέρας, ὅσα μὴ Πομπηΐῳ συνῆν, περὶ λόγους καὶ βιβλία διέτριβεν, οὐ μόνον τὸν ἄλλον χρόνον, ἀλλὰ καὶ πρὸ τῆς μεγάλης μάχης. Ἦν μὲν ἀκμὴ θέρους, καὶ καῦμα πολὺ, πρὸς ἑλώδεσι χωρίοις στρατοπεδευόντων· τῷ δὲ Βρούτῳ οὐ ταχέως ἧκον οἱ τὴν σκηνὴν κομίζοντες. Ἐκπονηθεὶς δὲ περὶ ταῦτα, μεσημβρίας μόλις ἀλειψάμενος καὶ φαγὼν ὀλίγα, τῶν ἄλλων ἢ καθευδόντων, ἢ πρὸς ἐπινοίᾳ καὶ φροντίδι τοῦ μέλλοντος ὄντων, αὐτὸς ἄχρι τῆς ἑσπέρας ἔγραφε συντάττων ἐπιτομὴν Πολυβίου.

V. Λέγεται δὲ Καῖσαρ οὐκ ἀμελεῖν τοῦ ἀνδρὸς, ἀλλὰ καὶ προειπεῖν τοῖς ὑφ' ἑαυτὸν ἡγεμόσιν, ἐν τῇ μάχῃ μὴ κτείνειν Βροῦτον, ἀλλὰ φείδεσθαι, καὶ παρασχόντα μὲν ἑκουσίως, ἄγειν· εἰ δὲ ἀπομάχοιτο πρὸς τὴν σύλληψιν, ἐᾷν, καὶ μὴ βιάζεσθαι· καὶ ταῦτα 986
ποιεῖν, τῇ μητρὶ τοῦ Βρούτου, Σερβιλίᾳ, χαριζόμενος. Ἐγνώκει γὰρ, ὡς ἔοικε, νεανίας ὢν ἔτι, τὴν Σερβιλίαν ἐπιμανεῖσαν αὐτῷ· καὶ καθ' οὓς μάλιστα χρόνους ὁ ἔρως ἐπέφλεγε, γενόμενον τὸν Βροῦτον, ἐπέπειστό πως ἐξ ἑαυτοῦ γεγονέναι. Λέγεται δὲ, τῶν περὶ Κατιλίναν πραγμάτων μεγάλων ἐμπεπτωκότων εἰς τὴν σύγκλητον, ἃ μικρὸν ἐδέησεν ἀνατρέψαι τὴν πόλιν, ἑστάναι μὲν ὁμοῦ Κάτωνα καὶ Καίσαρα, διαφερομένους περὶ γνώμης. Ἐν τούτῳ δὲ γραμματιδίου μικροῦ προσδοθέντος ἔξωθεν Καίσαρι, τὸν μὲν ἀναγινώσκειν σιωπῇ, Κάτωνα δὲ βοᾷν, ὡς δεινὰ ποιεῖ Καῖσαρ, ἐντεύξεις καὶ γράμματα παρὰ τῶν πολεμίων προσδεχόμενος. Θορυβησάντων δὲ πολλῶν, καὶ τοῦ Καίσαρος τὸ δελτάριον, ὡς εἶχε, τῷ

Κάτωνι προσδόντος, ἀναγνόντα Σερβιλίας τῆς ἀδελφῆς, ἀκόλαστον ἐπιστόλιον, ἐκεῖνο μὲν δεῖψαι πρὸς τὸν Καίσαρα, καὶ εἰπεῖν· „Κράτει, μέθυε" πρὸς δὲ τὴν γνώμην καὶ τὸν λόγον αὖθις ἐξ ἀρχῆς τραπέσθαι. Οὕτω μὲν ἦν ὁ πρὸς Καίσαρα Σερβιλίας ἔρως περιβόητος.

VI. Γενομένης δὲ τῆς κατὰ Φάρσαλον ἥττης, καὶ Πομπηΐου μὲν ἐπὶ θάλασσαν διεκπεσόντος, πολεμουμένου δὲ τοῦ χάρακος, ἔλαθεν ὁ Βροῦτος καὶ τὰ πύλας ἔρχεσθαι πρὸς τόπον ἐλώδη καὶ μεστὸν ὑδάτων καὶ καλάμου φερούσας. Ἐξελθὼν δέ, καὶ διὰ νυκτὸς ἀποσωθεὶς εἰς Λάρισσαν, ἐκεῖθεν δὲ γράψαντος αὐτοῦ, Καῖσαρ ἤσθη τε σωζομένῳ, καὶ κελεύσας πρὸς αὐτὸν ἐλθεῖν, οὐ μόνον ἀφῆκε τῆς αἰτίας, ἀλλὰ καὶ τιμώμενον ἐν τοῖς μάλιστα περὶ αὐτὸν εἶχεν. Οὐδενὸς δ', ὅπη φεύγοι Πομπήϊος, εἰπεῖν ἔχοντος, ἀλλ' ἀπορίας οὔσης, ὁδόν τινα σὺν τῷ Βρούτῳ βαδίζων μόνος, ἀπεπειρᾶτο τῆς γνώμης. Καὶ δόξαντος ἔκ τινων διαλογισμῶν ἄριστα περὶ τῆς Πομπηΐου τεκμαίρεσθαι φυγῆς, ἀφεὶς τἄλλα, τὴν ἐπ' Αἴγυπτου συνέτεινεν. Ἀλλὰ Πομπήϊον μέν, ὥσπερ εἶπαν Βροῦτος, Αἴγυπτῳ προσβαλόντα τὸ πεπρωμένον ἐδέξατο· Καίσαρα δὲ καὶ πρὸς Κάσσιον ἐπράϋνε Βροῦτος. Καὶ δὴ καὶ τῷ τῶν Λιβύων βασιλεῖ πραγμάτων μὲν ἥττατο τοῦ μεγέθους τῶν κατηγοριῶν δεόμενος δὲ καὶ παραιτούμενος περὶ τούτου, πολλὴν αὐτῷ δίεσωσε τῆς ἀρχῆς. Λέγεται δὲ Καῖσαρ, ὅτε πρῶτον ἤκουσεν αὐτοῦ λέγοντος, εἰπεῖν πρὸς τοὺς φίλους· „Οὗτος ὁ νεανίας οὐκ οἶδα μὲν ὃ βούλεται· πᾶν δ', ὃ βούλεται, σφόδρα βούλεται." Τὸ γὰρ ἐμβριθὲς αὐτοῦ, καὶ μὴ ῥᾳδίως, μηδὲ παντὸς ὑπήκοον τοῦ δεσμένου πρὸς χάριν, ἀλλ' ἐκ λογισμοῦ καὶ προαιρέσεως τῶν καλῶν πρακτικὸν, ὅπου τρέψειεν, ἐσχυραῖς ἐχρῆτο ταῖς ὁρμαῖς καὶ τελεσιουργοῖς. Πρὸς δὲ τὰς ἀδίκους δεήσεις ἀκολάκευτος ἦν, καὶ τὴν ἀπὸ τῶν ἀναισχύντως λιπαρούντων ἥτταν, ἣν ἔθος δυσωπεῖσθαι καλοῦσιν, αἰσχίστην ἀνδρὶ μεγάλου ποιούμενος, εἰώθει λέγειν, ὡς οἱ μηδὲν ἀρνεῖσθαι δυ-

νάμενος δοκοῦσιν αὐτῷ μὴ καλῶς τὴν ὥραν διατεθεῖσθαι. Μέλλων δὲ διαβαίνειν εἰς Λιβύην Καῖσαρ ἐπὶ Κάτωνα καὶ Σκιπίωνα, Βρούτῳ τὴν ἐντὸς Ἄλπεων Γαλατίαν ἐπέτρεψεν, εὐτυχίᾳ τινὶ τῆς ἐπαρχίας· τὰς γὰρ ἄλλας ὕβρει καὶ πλεονεξίᾳ τῶν πεπολεμημένων, ὥσπερ αἰχμαλώτους, διαφορούντων, ἐκείνοις καὶ τῶν πρόσθεν ἀτυχημάτων παῦλα καὶ πραότης Βροῦτος ἦν, καὶ τὴν χάριν εἰς Καίσαρα πάντων ἀνῆπτεν· ὡς αὐτῷ μετὰ τὴν ἐπάνοδον περιϊόντι τὴν Ἰταλίαν ἥδιστον θέαμα τὰς ὑπὸ Βρούτου πόλεις γενέσθαι, καὶ Βροῦτον αὐτὰς αὔξοντα τὴν ἐκείνου τιμήν, καὶ συνόντα μεχαρισμένως.

VII. Ἐπεὶ δὲ πλειόνων στρατηγιῶν οὐσῶν, τὴν μέγιστον ἔχουσαν ἀξίωμα, καλουμένην δὲ πολιτικήν, ἐπίδοξος ἦν ἡ Βροῦτος ἕξειν, ἢ Κάσσιος· οἱ μὲν αὐτοὺς λέγουσιν, ἐξ αἰτιῶν προτέρων ἡσυχῇ διαφερομένους, ἔτι μᾶλλον ὑπὲρ τούτου διαστασιάσαι, καίπερ οἰκείους ὄντας· Ἰουνία γὰρ, ἀδελφὴ Βρούτου, συνῴκει Κασσίῳ. Οἱ δὲ, Καίσαρος ἔρωτα γενέσθαι τὴν φιλονεικίαν ταύτην, ἑκατέρου κρύφα δὲ ἐλπίσαντος ἐνδιδόντος ἑαυτόν· ἄχρις οὗ προαχθέντες οὕτω καὶ παροξυνθέντες εἰς ἀγῶνα κατέστησαν. Ἠγωνίζετο δὲ Βροῦτος εὐκλείᾳ καὶ ἀρετῇ πρὸς πολλὰ τοῦ Κασσίου, καὶ λαμπρὰ τὰ Παρθικὰ νεανεύματα. Καῖσαρ δ' ἀκούσας, καὶ βουλευόμενος ἐν τοῖς φίλοις, εἶπε· „Δικαιότερα μὲν λέγει Κάσσιος, Βρούτῳ δὲ τὴν πρώτην δοτέον." Ἀπεδείχθη δὲ Κάσσιος ἐφ' ἑτέρᾳ στρατηγός, οὐ τοσοῦτον εὐνοίας ἔχων, δι' ἣν ἔλαβεν, ὅσον ἀρχῆς, ὧν ἀπέτυχε. Βροῦτος δὲ καὶ τἄλλα μετεῖχε τῆς Καίσαρος δυνάμεως, ὅσον ἐβούλετο. Βουλομένῳ γὰρ ὑπῆρχεν εἶναι τῶν φίλων πρῶτος, καὶ δύνασθαι πλεῖστον· ἀλλ' εἶλκεν αὐτὸν ἡ περὶ Κασσίου ἑταιρεία, καὶ ἀπέστρεφεν, αὐτῷ μὲν οὐκ ἐπιμιγνυμένου, διαλλαγμένου δὲ ἐκείνης τῆς φιλοτιμίας, ἀκούοντα δὲ τῶν φίλων διακελευομένων, μὴ περιορᾶν αὐτὸν ὑπὸ Καίσαρος μαλασσόμενον καὶ κηλούμενον, ἀλλὰ φεύγειν τὰς τυραννικὰς φιλοφρο-

συνας καὶ χάριτας, εἰς οὐ τιμῶντα τὴν ἀρετὴν, ἀλλ' ἐκτέμνοντα τὴν ἀλκὴν, καὶ τὸν θυμὸν ὑπερέπουτα χρῆσθαι πρὸς αὐτόν.

VIII. Οὐ μὴν οὐδὲ Καίσαρ ἀνύποπτος ἦν πάμπαν, οὐδ' ἀβάσκλητος πρὸς αὐτόν· ἀλλὰ τὸ μὲν φρόνημα καὶ τὸ ἀξίωμα καὶ τοὺς φίλους ἐβεδίει τοῦ ἀνδρὸς, ἐπίστευε δὲ τῷ ἤθει. Καὶ πρῶτον μὲν Ἀντωνίου καὶ Δολοβέλλα λεγομένων νεωτερίζειν, θύκ ἔφη τοὺς παχεῖς καὶ κομήτας ἐνοχλεῖν; ἀλλὰ τοὺς ὠχροὺς καὶ λοιγνοὺς ἐκείνους Βροῦτον λέγων καὶ Κάσσιον. Ἔπειτα τὸν Βροῦτον τινῶν βαβαλλόντων, καὶ φυλάττεσθαι παρακελευομένων, τῇ χειρὶ τοῦ σώματος ἁπτόμενος εἶπε· „Τί δ' οὐκ ἂν ὑμῖν δοκεῖ Βροῦτος ἀναμεῖναι τοῦτί τὸ σαρκίον;“ ὡς οὐδενὶ προσῆκον ἄλλῳ μεθ' ἑαυτὸν, ἢ Βρούτῳ, δύνασθαι τοσοῦτον. Καὶ μέντοι δοκεῖ πρῶτος ἂν ἐν τῇ πόλει γενέσθαι βεβαίως, ὀλίγον χρόνον ἀνασχόμενος Καίσαρι δευτερεῦσαι, καὶ παραιμάσαι τὴν δύναμιν αὐτοῦ, καὶ παρανθῆναι τὴν ἐπὶ τοῖς κατορθώμασιν ἐώσας δόξαν. Ἀλλὰ Κάσσιος, ἀνὴρ θυμοειδὴς, καὶ μᾶλλον ἐξ μισοπατρίας, ἢ κοινῆ μισοτύραννος, ἐξέκαυσε καὶ κατήπειξε. Λέγεται δὲ Βροῦτος μὲν τὴν ἀρχὴν βαρύνεσθαι, Κάσσιος δὲ τὸν ἄρχοντα μισεῖν ἄλλα τε κατ' αὐτοῦ ποιούμενος ἐγκλήματα, καὶ λεόντων ἀφαίρεσιν, οὓς Κάσσιος μὲν ἀγορανομεῖν μέλλων παρεσκευάσατο, Καῖσαρ δὲ καταληφθέντας ἐν Μεγάροις, ὅθ' ἡ πόλις ἥλω διὰ Καληνοῦ, κατέσχε. Ταῦτα τὰ θηρία συμφορὰν λέγεται μεγάλην γενέσθαι Μεγαρεῦσιν. Οἱ μὲν γὰρ, ἤδη τῆς πόλεως καταλαμβανομένης, διέσπασαν τὰ κλεῖθρα, καὶ τοὺς δεσμοὺς ἀνῆκαν, ὡς ἐμποδὼν εἴη τὰ θηρία τοῖς ἐπιφερομένοις· τὰ δ' ὥρουσεν εἰς αὐτοὺς ἐκείνους, καὶ διαθέοντας ἀνόπλους ἤραζεν, ὥστε καὶ τοῖς πολεμίοις τὴν ὄψιν οἰκτρὰν γενέσθαι.

IX. Τῷ δ' οὖν Καίσαρι ταύτην μάλιστα φασιν αἰτίαν ὑπάρξαι τῆς ἐπιβουλῆς, οὐκ ὀρθῶς λέγοντες. Ἐξ ἀρχῆς γὰρ ἦν τῇ φύσει τοῦ Κασσίου δυσμενείας τις καὶ χαλεπότης πρὸς τὸ γένος τῶν τυράννων, ὡς

ἐδήλωσεν ἔτι παῖς ὢν, βαδίζων εἰς ταὐτὸ τῷ τοῦ Σύλλα παιδὶ, Φαύστῳ, διδασκαλεῖον. Ὁ μὲν γὰρ ἐν τοῖς παισὶ μεγαληγορῶν, τὴν τοῦ πατρὸς ἐπήνει μοναρχίαν· ὁ δὲ Κάσσιος ἐπαναστὰς κονδύλους ἐνέτριβεν αὐτῷ. Βουλομένων δὲ τῶν ἐπιτρόπων τοῦ Φαύστου καὶ οἰκείων ἐπεξιέναι καὶ δικάζεσθαι, Πομπήϊος ἐκώλυσε, καὶ συναγαγὼν εἰς ταὐτὸ τοὺς παῖδας ἀμφοτέρους, ἀνέκρινε περὶ τοῦ πράγματος. Ἔνθα δὴ λέγεται τὸν Κάσσιον εἰπεῖν· „Ἄγε δὴ, ὦ Φαῦστε, τόλμησον ἐναντίον τούτου φθέγξασθαι τὸν λόγον ἐκεῖνον, ἐφ' ᾧ παρωξύνθην, ἵνα σοῦ πάλιν ἐγὼ συντρίψω τὸ στόμα." Τοιοῦτος μὲν ὁ Κάσσιος· Βροῦτον δὲ πολλοὶ μὲν λόγοι παρὰ τῶν συνήθων, πολλαῖς δὲ φήμαις καὶ γράμμασιν ἐξεκαλοῦντο καὶ παρώρμων ἐπὶ τὴν πρᾶξιν οἱ πολῖται. Τῷ μὲν γὰρ ἀνδριάντι τοῦ προπάτορος Βρούτου, τοῦ καὶ καταλύσαντος τὴν τῶν βασιλέων ἀρχὴν, ἐπέγραφον· Εἴθε νῦν ἦν Βροῦτος· καὶ Ὤφελε νῦν ζῆν Βροῦτος. Τὸ δ' αὐτοῦ Βρούτου βῆμα στρατηγοῦντος εὑρίσκετο μεθ' ἡμέραν ἀνάπλεων γραμμάτων τοιούτων· Βροῦτε, καθεύδεις; καί· Οὐκ εἶ Βροῦτος ἀληθῶς. Αἴτιοι δὲ τούτων οἱ Καίσαρος κόλακες, ἄλλας τε τιμὰς ἐπιφθόνους ἀνευρίσκοντες αὐτῷ, καὶ διάδημα τοῖς ἀνδριάσι νύκτωρ ἐπιτιθέντες, ὡς τοὺς πολλοὺς ὑπαξόμενοι βασιλέα προσειπεῖν ἀντὶ δικτάτωρος. Τοὐναντίον δ' ἀπήντησεν, ὡς ἐν τοῖς περὶ Καίσαρος ἀκριβῶς γέγραπται.

X. Κασσίῳ δὲ πειρῶντι τοὺς φίλους ἐπὶ Καίσαρα πάντες ὡμολόγουν, εἰ Βροῦτος ἡγοῖτο· δεῖσθαι γὰρ οὐ χειρῶν οὐδὲ τόλμης τὴν πρᾶξιν, ἀλλὰ δόξης ἀνδρὸς, οἷος οὗτός ἐστιν, ὥσπερ καταρχομένου, καὶ βεβαιοῦντος αὐτῷ τῷ παρεῖναι τὸ δίκαιον· εἰ δὲ μὴ, ναὶ δρῶντας ἀθυμοτέρους ἔσεσθαι, καὶ δράσαντας ὑποπτοτέρους· ὡς οὐκ ἂν ἐκείνου τὸ ἔργον, εἰ καλὴν αἰτίαν εἶχεν, ἀπειπαμένου. Ταῦτα συμφρονήσας, ἐνέτυχε Βρούτῳ πρότερος ἐκ τῆς διαφορᾶς ἐκείνης. Καὶ μετὰ τὰς διαλύσεις καὶ φιλοφροσύνας ἠρώτησεν, εἰ τῇ νουμηνίᾳ τοῦ Μαρτίου μηνὸς ἔγνωκεν εἰς

σύγκλητον παρεῖναι· συνθάνεσθαι γὰρ, ὡς λόγον ὑπὲρ βασιλείας Καίσαρος οἱ φίλοι τότε καθήσοιεν. Φήσαντος δὲ τοῦ Βρούτου, μὴ παριέναι· „Τί οὖν, εἶπεν ὁ Κάσσιος, ἂν καλῶσιν ἡμᾶς;“ „Ἐμὸν ἔργον, ἔφη ὁ Βροῦτος, ἤδη τὸ μὴ σιωπᾶν, ἀλλ' ἀμύνειν, καὶ προαποθνήσκειν τῆς ἐλευθερίας.“ Καὶ ὁ Κάσσιος ἐπαρθεὶς, „Τίς δ', εἶπε, Ῥωμαίων ἀνέξεται σοῦ προαποθνήσκοντος; Ἆρ' ἀγνοεῖς, ὦ Βροῦτε, σεαυτόν; ἢ τὸ βῆμά σου δοκεῖς καταγράφειν τοὺς ὑφάντας καὶ τοὺς καπήλους, οὐχὶ τοὺς πρώτους καὶ κρατίστους ταῦτα ποιεῖν, παρὰ μὲν τῶν ἄλλων στρατηγῶν ἐπιδόσεις καὶ θέας καὶ μονομάχους, παρὰ σοῦ δ', ὡς ὄφλημα πατρικὸν, τὴν κατάλυσιν τῆς τυραννίδος ἀπαιτοῦντας; αὐτοὺς δ' ὑπὲρ σοῦ πάντα πάσχειν προθύμους ὄντας, οἷον ἀξιοῦσι καὶ προσδέχονται, φανέντος;“ Ἐκ τούτου περιβαλὼν τὸν Βροῦτον ἠσπάζετο, καὶ διαλυθέντες οὕτως ἐτρέποντο πρὸς τοὺς φίλους.

XI. Ἦν δέ τις Γάϊος Λιγάριος, τῶν Πομπηΐου φίλων, ὃν ἐπὶ τούτῳ κατηγορηθέντα Καῖσαρ ἀπέλυσεν. Οὗτος οὐχ ἧς ἀφείθη δίκης χάριν ἔχων, ἀλλὰ δι' ἣν ἐκινδύνευσεν ἀρχὴν βαρυνόμενος, ἐχθρὸς ἦν Καίσαρι, τῶν δὲ περὶ Βροῦτον ἐν τοῖς μάλιστα συνήθης. Πρὸς τοῦτον ἀσθενοῦντα Βροῦτος εἰσελθὼν, „Ὦ Λιγάριε, εἶπεν, ἐν οἵῳ καιρῷ νοσεῖς!“ Κἀκεῖνος εὐθὺς εἰς ἀγκῶνα διαναστὰς, καὶ λαβόμενος αὐτοῦ τῆς δεξιᾶς, „Ἀλλ' εἴ τι, φησὶν, ὦ Βροῦτε, σεαυτοῦ φρονεῖς ἄξιον, ὑγιαίνω.“

XII. Ἐκ τούτου διαπειρώμενοι κρύφα τῶν γνωρίμων, οἷς ἐπίστευον, ἀνεκοινωνοῦντο, καὶ προσελάμβανον, οὐ μόνον τῶν συνήθων ποιούμενοι τὴν αἵρεσιν, ἀλλ' ὅσους ἠπίσταντο τολμητὰς ὄντας ἀγαθοὺς καὶ θανάτου καταφρονητάς. Διὸ καὶ Κικέρωνα, τοῦτο μὲν πίστεως, τοῦτο δ' εὐνοίας ἕνεκα πρῶτον ὄντα παρ' αὐτοῖς, ἀπεκρύψαντο, μὴ, τῷ φύσει τόλμης ἐνδεὴς εἶναι προσειληφὼς ὑπὸ χρόνου γεροντικὴν εὐλάβειαν, εἶτα πάντα καθ' ἕκαστον ἀ-

φάγων χαῖρ λαγισμοῖς εἰς ἄκραν ἀσφάλειαν, ἀμβλύνῃ 989
τὴν ἀκμὴν αὐτῶν τῆς προθυμίας, τάχους δεομένην.
Ἐπεὶ καὶ τῶν ἄλλων ἑταίρων ὁ Βροῦτος Στατιλίου
τε παρέλιπε, τὸν Ἐπικούρειον, καὶ Φαώνιον, ἐρα-
στὴν Κάτωνος, ὅτι πόρρωθεν αὐτοῖς τοιαύτην τινὰ
κύκλῳ περιβαλόντος ἐν τῷ διαλέγεσθαι καὶ συμφιλο-
σοφεῖν πεῖραν, ὁ μὲν Φαώνιος ἀπεκρίνατο, χεῖρον
εἶναι μοναρχίας παρανόμου πόλεμον ἐμφύλιον, ὁ δὲ
Στατίλιος ἔφη, τῷ σοφῷ καὶ νοῦν ἔχοντι διὰ φαύ-
λους καὶ ἀνοήτους κινδυνεύειν καὶ ταράττεσθαι μὴ
καθήκειν. Παρὼν δὲ Λαβεὼν ἀντεῖπεν ἀμφοτέ-
ροις. Καὶ ὁ Βροῦτος τότε μὲν, ὡς ἔχοντός τι τοῦ
λόγου χαλεπὸν καὶ δύσκριτον, ἀπεσιώπησεν· ὕστερον
δὲ Λαβεῶνι κοινοῦται τὸ βούλευμα. Λεξαρένου δὲ
προθύμως, τὸν δ' ἕτερον Βροῦτον, ἐπίκλησιν Ἀλ-
βῖνον, ἄλλως μὲν οὐκ ἄντα ῥέκτην, οὐδὲ θαρραλέον,
ἐρωμένον δὲ πλήθει μονομάχων, οὓς ἐπὶ θέᾳ Ῥω-
μαίων ἔτρεφε, καὶ παρὰ Καίσαρι πιστεύομενον, ἐδό-
κει προσάγεσθαι. Κασσίου δὲ καὶ Λαβέωνος αὐτῷ
διαλεγομένων, οὐδὲν ἀπεκρίνατο· Βρούτῳ δ' αὐτὸς
ἐντυχὼν ἰδίᾳ, καὶ μαθὼν, ὅτι τῆς πράξεως ἡγεμὼν
ἐστιν, ὡμολόγησε συμπράξειν προθύμως. Καὶ τῶν
ἄλλων δὲ τοὺς πλείστους καὶ τοὺς ἀρίστους ἡ δόξα
τοῦ Βρούτου προσήγετο. Καὶ μηθ' ὅρκον συνομό-
σαντες, μήτε πίστιν καθ' ἱερῶν λαβόντες, ἢ δόντες,
οὕτως ἅπαντες ἔσχον ἐν ἑαυτοῖς, καὶ κατεσιώπησαν,
καὶ συνδιήνεγκαν, ὥστε μαντείαις καὶ φάσμασι καὶ
ἱεροῖς ὑπὸ τῶν θεῶν προδεικνυμένην ἄπιστον γενέ-
σθαι τὴν πρᾶξιν.

XIII. Ὁ δὲ Βροῦτος, ἅτε δὴ τὰ πρῶτα τῆς
Ῥώμης φρονήματα καὶ γένη καὶ ἀρετὰς ἐξηρτημέ-
νος ἑαυτοῦ, καὶ περινοῶν πάντα τὸν κίνδυνον, ἔξω
μὲν ἐπειρᾶτο κατέχειν παρ' ἑαυτῷ καὶ κατακοσμεῖν
τὴν διάνοιαν· οἴκοι δὲ καὶ νυκτωρ οὐκ ἦν ὁ αὐτὸς,
ἀλλὰ τὰ μὲν ἄκοντα τῶν ὕπνων αὐτὴ ἡ φροντὶς ἔξέ-
φερε, τὰ δὲ μᾶλλον ἐνδυόμενος τῷ λογισμῷ, καὶ δια-
τρίβων ἐν ταῖς ἀπορίαις, οὐκ ἐλάνθανε τὴν γυναῖκα
συναναπαυομένην, ὅτι μεστός ἐστι ταραχῆς ἀήθους,

καὶ κυκλεῖ τι παρ' ἑαυτῷ δύσφορον βούλευμα καὶ δυσεξέλικτον. Ἡ δὲ Πορκία θυγάτηρ μὲν, ὥσπερ εἴρηται, Κάτωνος ἦν, εἶχε δ' αὐτὴν ὁ Βροῦτος, ἀνεψιὸς ὤν, οὐκ ἐκ παρθενίας, ἀλλὰ, τοῦ προτέρου τελευτήσαντος ἀνδρὸς, ἔλαβε κόρην οὖσαν ἔτι, καὶ παιδίον ἔχουσαν ἐξ ἐκείνου μικρὸν, ᾧ Βύβλος ἦν ὄνομα· καὶ τι βιβλίδιον μικρὸν ἀπομνημονευμάτων Βρούτου, γεγραμμένον ὑπ' αὐτοῦ, διασώζεται. Φιλόσοφος δ' ἡ Πορκία καὶ φίλανδρος οὖσα, καὶ μεστὴ φρονήματος νοῦν ἔχοντος, οὐ πρότερον ἐπεχείρησεν ἀνερέσθαι τὸν ἄνδρα περὶ τῶν ἀπορρήτων, ἢ λαβεῖν ἑαυτῆς τοιαύτην διάπειραν. Λαβοῦσα μαχαίριον, ᾧ τοὺς ὄνυχας οἱ κουρεῖς ἀφαιροῦσι, καὶ πάσας ἐξελάσασα τοῦ θαλάμου τὰς ὀπαδοὺς, τομὴν ἐνέβαλε τῷ μηρῷ βαθεῖαν, ὥστε ῥύσιν αἵματος πολλὴν γενέσθαι, καὶ μετὰ μικρὸν ὀδύνας τε νεανικὰς καὶ φρικώδεις πυρετοὺς ἐπιλαβεῖν ἐκ τοῦ τραύματος. Ἀγωνιῶντος δὲ τοῦ Βρούτου καὶ δυσφοροῦντος, ἐν ἀκμῇ τῆς ἀλγηδόνος οὖσα διελέχθη πρὸς αὐτὸν οὕτως· „Ἐγὼ, Βροῦτε, Κάτωνος οὖσα θυγάτηρ, εἰς τὸν σὸν ἐδόθην οἶκον, οὐχ, ὥσπερ αἱ παλλακευόμεναι, κοίτης μεθέξουσα καὶ τραπέζης μόνον, ἀλλὰ κοινωνὸς μὲν ἀγαθῶν εἶναι, κοινωνὸς δ' ἀνιαρῶν. Τὰ μὲν οὖν σὰ πάντη περὶ τὸν γάμον ἄμεμπτα· τῶν δὲ παρ' ἐμοῦ τίς ἀπόδειξις, ἢ χάρις, εἰ μήτε σοὶ πάθος ἀπόρρητον συνδιοίσω, μήτε φροντίδα πίστεως δεομένην; Οἶδ', ὅτι γυναικεία φύσις ἀσθενὴς δοκεῖ λόγον ἐνεγκεῖν ἀπόρρητον· ἀλλ' ἔστι τις, ὦ Βροῦτε, καὶ τροφῆς ἀγαθῆς καὶ ὁμιλίας χρηστῆς εἰς ἦθος ἰσχύς· ἐμοὶ δὲ καὶ τὸ Κάτωνος εἶναι θυγατέρα, καὶ τὸ Βρούτου γυναῖκα, πρόσεστιν οἷς πρότερον μὲν ἥττων ἐπεποίθειν, νῦν δ' ἐμαυτὴν ἔγνωκα καὶ πρὸς πόνον ἀήττητον εἶναι." Ταῦτ' εἰποῦσα δείκνυσιν αὐτῷ τὸ τραῦμα, καὶ διηγεῖται τὴν πεῖραν. Ὁ δ' ἐκπλαγείς, καὶ ἀνατείνας τὰς χεῖρας, ἐπεύξατο δοῦναι τοὺς θεοὺς αὐτῷ, κατορθοῦντα τὴν πρᾶξιν, ἀνδρὶ Πορκίας ἄξιῳ φανῆναι. Καὶ τότε μὲν ἀνελάμβανε τὴν γυναῖκα.

990

XIV. Προγραφείσης δὲ βουλῆς, εἰς ἣν ἐπίδοξος ἦν ἀφίξεσθαι Καῖσαρ, ἔγνωσαν ἐπιχειρεῖν. Καὶ γὰρ ἄθροοι μετ' ἀλλήλων ἀνυπόπτως ἔσεσθαι τότε, καὶ πάντας ἕξειν ὁμοῦ τοὺς ἀρίστους καὶ πρώτους ἄνδρας, ἔργου μεγάλου πραχθέντος, εὐθὺς ἀντιλαμβανομένους τῆς ἐλευθερίας. Ἔδοκει δὲ καὶ τὸ τοῦ τόπου θεῖον εἶναι καὶ πρὸς αὐτῶν. Στοὰ γὰρ ἦν, μία τῶν περὶ τὸ θέατρον, ἐξέδραν ἔχουσα, ἐν ᾗ Πομπηΐου τις εἰκὼν ἵστηκει, τῆς πόλεως στησαμένης, ὅτε ταῖς στοαῖς καὶ τῷ θεάτρῳ τὸν τόπον ἐκεῖνον ἐκόσμησεν. Εἰς ταύτην οὖν ἡ σύγκλητος ἐκαλεῖτο, τοῦ Μαρτίου μηνὸς μάλιστα μεσοῦντος· Εἰδοὺς Μαρτίας τὴν ἡμέραν Ῥωμαῖοι καλοῦσιν· ὥστε καὶ δαίμων τις ἔδοκει τὸν ἄνδρα τῇ Πομπηΐου δίκῃ προσάξειν. Ἐλθούσης δὲ τῆς ἡμέρας, Βροῦτος μὲν ὑποζωσάμενος ἐγχειρίδιον, μόνης συνειδυίας τῆς γυναικὸς, προῆλθεν· οἱ δ' ἄλλοι πρὸς Κάσσιον ἀθροισθέντες, τὸν υἱὸν αὐτοῦ, τὸ καλούμενον ἀνδρεῖον ἱμάτιον ἀναλαμβάνοντα, κατῆγον εἰς ἀγοράν. Ἐκεῖθεν δὲ πάντες εἰς τὴν Πομπηΐου στοὰν ἐμβάλοντες διέτριβον, ὡς αὐτίκα Καίσαρος ἀφιξομένου πρὸς τὴν σύγκλητον. Ἔνθα δὴ μάλιστα τῶν ἀνδρῶν τὸ ἀπαθὲς καὶ περὶ τὰ δεινὰ καθεστηκὸς ἐθαύμασεν ἄν τις, εἰδὼς τὸ μέλλον· ὅτι πολλοῖς διὰ τὸ στρατηγεῖν ἀναγκαζόμενοι χρηματίζειν, οὐ μόνον πρᾴως ἠκροῶντο τῶν ἐντυγχανόντων καὶ διαφερομένων, ὥσπερ σχολάζοντες, ἀλλὰ καὶ τὰς κρίσεις ἕκαστος ἀκριβεῖς καὶ μετὰ γνώμης ἐδίδοσαν, ἐπιμελῶς προσέχοντες. Ἐπεὶ δέ τις, μὴ βουλόμενος δίκην ὑποσχεῖν, ἐπεκαλεῖτο Καίσαρα, καὶ πολὺς ἦν βοῶν καὶ μαρτυρόμενος, ἀποβλέψας Βροῦτος εἰς τοὺς παρόντας, „Ἐμὲ Καῖσαρ, εἶπεν, οὔτε κωλύει ποιεῖν τὰ κατὰ τοὺς νόμους, οὔτε κωλύσει.“

XV. Καίτοι πολλὰ θορυβώδη κατὰ τύχην αὐτοῖς προσέπεσε πρῶτον μὲν καὶ μάλιστα, τὸ βραδύνειν τὸν Καίσαρα, τῆς ἡμέρας προηκούσης· καὶ δυσερούντα κατέχεσθαι μὲν ὑπὸ τῆς γυναικὸς οἰκοι,

κωλύεσθαι δὲ προσελθεῖν ὑπὸ τῶν μάντεων. Δεύτερον δὲ, Κάσκα, τῶν συνειδότων ἑνὶ, προσελθὼν τις, καὶ λαβόμενος τῆς δεξιᾶς, „Σὺ μὲν, εἶπεν, ἀπεκρύψω τὸ ἀπόῤῥητον, ὦ Κάσκα, πρὸς ἡμᾶς, Βροῦτος δέ μοι πάντα μεμήνυκεν.“ Ἐκπλαγέντος δὲ τοῦ Κάσκα, γελάσας ἐκεῖνος, „Πόθεν γ', ἔφη, ταχέως οὕτως, ὦ μακάριε, πεπλούτηκας, ὥστ' εἰς ἀγορανομίαν ἀποδύεσθαι;“ Παρὰ τοσοῦτον μὲν ὁ Κάσκας ἦλθε σφαλεὶς ἀμφιβολίᾳ προέσθαι τὸ ἀπόῤῥητον. Αὐτὸν δὲ Βροῦτον καὶ Κάσσιον ἀνὴρ βουλευτικὸς, Ποπίλιος Λαίνας, ἀσπασάμενος προθυμότερον, καὶ ψιθυρίσας ἠρέμα, „Συνεύχομαι, φησὶν, ὑμῖν ἐκτελεῖν, ἃ κατὰ νοῦν ἔχετε, καὶ παρακελεύομαι μὴ βραδύνειν· οὐ γὰρ σιωπᾶται τὸ πρᾶγμα.“ Καὶ ταῦτ' εἰπὼν ἀπέστη, πολλὴν ὑποψίαν ἐμβαλὼν τοῦ πεπύσθαι τὴν πρᾶξιν. Ἐν τούτῳ δέ τις οἴκοθεν ἔθει πρὸς τὸν Βροῦτον, ἀγγέλλων αὐτῷ τὴν γυναῖκα θνήσκειν. Ἡ γὰρ Πορκία πρὸς τὸ μέλλον ἐκπαθὴς οὖσα, καὶ τὸ μέγεθος μὴ φέρουσα τῆς φροντίδος, ἑαυτὴν τε μόλις οἴκοι κατεῖχε, καὶ πρὸς πάντα θόρυβον καὶ βοὴν, ὥσπερ αἱ κατάσχετοι τοῖς βακχικοῖς πάθεσιν, ἐξάττουσα, τῶν μὲν εἰσιόντων ἀπ' ἀγορᾶς ἕκαστον ἀνέκρινεν, ὅ τι πράττοι Βροῦτος, ἑ-
991 τέρους δὲ συνεχῶς ἐξέπεμπε. Τέλος δὲ, τοῦ χρόνου μῆκος λαμβάνοντος, οὐκέτ' ἀντεῖχεν ἡ τοῦ σώματος δύναμις, ἀλλ' ἐξελύθη καὶ κατεμαραίνετο, τῆς ψυχῆς ἀλυούσης διὰ τὴν ἀπορίαν· καὶ παρελθεῖν μὲν εἰς τὸ δωμάτιον οὐκ ἔφθη, περιΐστατο δ' αὐτὴν, ὥσπερ ἐτύγχανεν, ἐν μέσῳ καθεζομένην λειποθυμία καὶ θάμβος ἀμήχανον, ἥ τε χρόα μεταβολὴν ἐλάμβανε, καὶ τὴν φωνὴν ἐπέσχητο παντάπασιν. Αἱ δὲ θεράπαιναι πρὸς τὴν ὄψιν ἀνηλάλαξαν, καὶ τῶν γειτόνων συνδραμόντων ἐπὶ θύρας, ταχὺ προῆλθε φήμη, καὶ διεδόθη λόγος, ὡς τεθνηκυίας αὐτῆς. Οὐ μὴν ἀλλ' ἐκείνην μὲν ἀναλάμψασαν ἐν βραχεῖ καὶ παρ' ἑαυτῇ γενομένην αἱ γυναῖκες ἐθεράπευον, ὁ δὲ Βροῦτος ὑπὸ τοῦ λόγου προσπεσόντος αὐτῷ συνεταράχθη μὲν, ὡς εἰκὸς, οὐ μὴν δὲ κατέλιπε τὸ

καινὸν, οὐδ' ἔρρωτο πρὸς τὸ οἰκεῖον ὑπὸ τοῦ πάθους.

XVI. Ἤδη δὲ Καῖσαρ ἀπηγγέλλετο προσιὼν, ἐν φορείῳ κομιζόμενος. Ἐγνώκει γὰρ ἐπὶ τοῖς ἱεροῖς ἀθυμῶν μηδὲν ἐπικυροῦν τότε τῶν μειζόνων, ἀλλ' ὑπερβαλέσθαι, σκηψάμενος ἀσθένειαν. Ἐμβαίνοντι δ' αὐτῷ τοῦ φορείου προσρυεὶς Πόπιλιος Λαίνας, ἐκεῖνος ὁ μικρῷ πρόσθεν εὐξάμενος τοῖς περὶ Βροῦτον ἐπιτυγχάνειν καὶ κατορθοῦν, βελέγετο πλείω χρόνον ἐφισταμένῳ καὶ προσέχοντι τὸν νοῦν. Οἱ δὲ σύνωμόται, (λεγέσθω γὰρ οὕτως,) τῆς μὲν φωνῆς οὐκ ἐπαΐοντες αὐτοῦ, τεκμαιρόμενοι δ' ἀφ' ὧν ὑπενόουν, μήνυσιν εἶναι τῆς ἐπιβουλῆς τὴν κοινολογίαν, ἀνέπεσόν τε ταῖς γνώμαις, καὶ πρὸς ἀλλήλους ἔβλεψαν ἀνθομολογούμενοι διὰ τῶν προσώπων, ὡς χρὴ μὴ περιμένειν σύλληψιν, ἀλλ' εὐθὺς ἀποθνήσκειν δι' αὐτῶν. Κασσίου δ' ἤδη καί τινων ἄλλων τὰς χεῖρας ἐπιβεβληκότων ταῖς λαβαῖς ὑπὸ τὰ ἱμάτια, καὶ σπωμένων τὰ ἐγχειρίδια, Βροῦτος ἐγκατιδὼν τῷ τοῦ Λαίνα σχήματι δεομένου σπουδῆν, καὶ δύχι κατηγοροῦντος, ἐφθέγξατο μὲν οὐδὲν διὰ τὸ πολλοὺς ἀλλοτρίους ἀναμεμίχθαι, φαιδρῷ δὲ τῷ προσώπῳ τοὺς περὶ Κάσσιον ἐθάρρυνε. Καὶ μετὰ μικρὸν ὁ Λαίνας τὴν δεξιὰν τοῦ Καίσαρος καταφιλήσας ἀπέστη, φανερὸς γενόμενος, ὡς ὑπὲρ ἑαυτοῦ καὶ τῶν αὐτῷ τινος διαφερόντων ἐποιεῖτο τὴν ἔντευξιν.

XVII. Τῆς δὲ βουλῆς εἰς τὴν ἐξέδραν προεισελθούσης, οἱ μὲν ἄλλοι τὸν θίφρον τοῦ Καίσαρος περιέστησαν, ὡς ἐντυγχάνειν τι μέλλοντες αὐτῷ. Καὶ Κάσσιον μὲν λέγεται τρέποντα τὸ πρόσωπον εἰς τὴν εἰκόνα τοῦ Πομπηΐου, παρακαλεῖν ὥσπερ αἰσθανόμενον. Τρεβώνιος δὲ περὶ τὰς θύρας Ἀντώνιον ἐπισπασάμενος καὶ προσομιλῶν ἔξω κατέσχε. Καὶ ὅπως δ' εἰσιόντι μὲν ἡ σύγκλητος ὑπεξανέστη, καθεζόμενον δ' εὐθὺς ἐκεῖνοι περιέσχον ἀθρόοι, Τύλλιος Κίμβρον ἐξ ἑαυτῶν προβάλλοντες ὑπὲρ ἀδελφοῦ φυγάδος δεόμενον, καὶ συνεδέοντο πάντες) ἀπτόμενοι

ἐκ χειρῶν, καὶ στέρνα καὶ κεφαλὴν κατεῤῥίπτουν. Ἀποτριβομένου δὲ τὰς δεήσεις τὸ πρῶτον, εἶθ', ὡς οὐκ ἀνίεσαν, ἐξανισταμένου βίᾳ, Τύλλιος μὲν ἀμφοτέραις ταῖς χερσὶν ἐκ τῶν ὤμων κατέσπασε τὸ ἱμάτιον, Κάσκας δὲ πρῶτος (εἱστήκει γὰρ ὄπισθεν) ἀνασπάσας τὸ ξίφος δηλαύνει οὐκ εἰς βάθος παρὰ τὸν ὦμον. Ἀντιλαμβανομένου δὲ τῆς λαβῆς τοῦ Καίσαρος, καὶ μέγα Ῥωμαϊστὶ ἀνακραγόντος ,, Ἀνόσιε Κάσκα, τί ποιεῖς;" ἐκεῖνος Ἑλληνιστὶ τὸν ἀδελφὸν προσαχορεύσας, ἐκέλευσε βοηθεῖν. Ἰδὼν δὲ παιόμενος ὑπὸ πολλῶν, καὶ κύκλῳ περιβλέπων καὶ διώσασθαι βουλόμενος, ὡς εἶδε Βροῦτον ἑλκόμενον τὸ ξίφος ἐπ' αὐτὸν, τὴν χεῖρα τοῦ Κάσκα κρατῶν ἀφῆκε καὶ τῷ ἱματίῳ τὴν κεφαλὴν ἐγκαλυψάμενος, παρέῤῥωκε τὸ σῶμα ταῖς πληγαῖς. Οἱ δ' ἀφειδῶς ἀναπεπλεγμένοι πολλοῖς περὶ τὸ σῶμα χρώμενοι τοῖς ξίφεσιν, ἀλλήλους ἐτίτρωσκον, ὥστε καὶ
992 Βροῦτον εἰς τὴν χεῖρα πληγὴν λαβεῖν, τοῦ φόνου συνεφαπτομένου, πίμπλασθαι δὲ τοῦ αἵματος ἅπαντας.

XVIII. Οὕτω δ' ἀποθανόντος αὐτοῦ, Βροῦτος μὲν εἰς μέσον προελθὼν ἐβούλετο λέγειν, καὶ κατεῖχε θαῤῥύνων τὴν σύγκλητον· ἡ δ' ὑπὸ δέους ἔφευγεν ἀτάκτως, καὶ περὶ τὰς θύρας ὠθισμὸς ἦν καὶ ταραχος, οὐδενὸς διώκοντος, οὐδὲ κατεπείγοντος. Ἰσχυρῶς γὰρ ἐδέδοκτο μηδένα κτείνειν ἕτερον, ἀλλὰ πάντας ἐπὶ τὴν ἐλευθερίαν ἀνακαλεῖσθαι. Καὶ τοῖς μὲν ἄλλοις πᾶσιν, ὑπηνίκα διεσκοποῦντο τὴν πρᾶξιν, ἤρεσκεν Ἀντώνιον ἐπισφάττειν Καίσαρι, μοναρχικὸν ἄνδρα καὶ ὑβριστὴν, ἰσχύν τε πεποιημένον ὁμιλίᾳ καὶ συνηθείᾳ πρὸς τὸ στρατιωτικὸν καὶ μάλιστ' ὅτι τῷ φύσει σοβαρῷ καὶ μεγαλοπράγμονι προσειλήφει τὰ τῆς ὑπατείας ἀξίωμα τότε, Καίσαρι συνάρχων. Ἀλλὰ Βροῦτος ἐνέστη πρὸς τὸ βούλευμα, πρῶτον μὲν ἰσχυριζόμενος τῷ δικαίῳ, δεύτερον δ' ὑποθεὶς ἐλπίδα τῆς μεταβολῆς. Οὐ γὰρ ἀπεγίνωσκεν, εὐφυᾶ καὶ φιλότιμον ἄνδρα καὶ δόξης ἐραστὴν, τὸν Ἀντώνιον, ἐκποδὼν Καίσαρος γενομένου,

καὶ συνεκαίρεσθαι τῇ πατρίδι τῆς ἐλευθερίας, ἐκσπασθέντα τῷ ζήλῳ πρὸς τὸ καλὸν ὑπ' αὐτῶν. Οὕτω μὲν Ἀντώνιον Βροῦτος περιεποίησεν· ἐν δὲ τῷ πότε φόβῳ μεταλαβὼν ἐσθῆτα δημοτικὴν ἔφυγεν. Οἱ δὲ περὶ Βροῦτον εἰς τὸ Καπιτώλιον ἐχώρουν ἡμαγμένοι τὰς χεῖρας, καὶ τὰ ξίφη γυμνὰ δεικνύντες ἐπὶ τὴν ἐλευθερίαν παρεκάλουν τοὺς πολίτας. Τὸ μὲν οὖν πρῶτον ἦσαν ἀλαλαγμοί, καὶ διαδρομαὶ τῷ πάθει κατὰ τύχην ἐπιγινόμεναι πλείονα τὸν θόρυβον ἐποίησαν· ὡς δ' οὔτε φόνος ἄλλος, οὔθ' ἁρπαγή τινος ἐγίνετο τῶν κειμένων, θαῤῥοῦντες ἀνέβαινον οἵ τε βουλευταὶ καὶ τῶν δημοτῶν πολλοὶ πρὸς τοὺς ἄνδρας εἰς τὸ Καπιτώλιον. Ἀθροισθέντος δὲ τοῦ πλήθους, διελέχθη Βροῦτος ἐπαγωγὰ τοῦ δήμου, καὶ πρέποντα τοῖς πεπραγμένοις. Ἐπαινούντων δὲ καὶ κατιέναι βοώντων, θαῤῥοῦντες κατέβαινον εἰς ἀγοράν· οἱ μὲν ἄλλοι συνεπόμενοι μετ' ἀλλήλων· Βροῦτον δὲ πολλοὶ τῶν ἐπιφανῶν περιέποντες ἐν μέσῳ πάνυ λαμπρῶς κατῆγον ἀπὸ τῆς ἄκρας, καὶ κατέστησαν ἐπὶ τῶν ἐμβόλων. Πρὸς δὲ τὴν ὄψιν οἱ πολλοί, καίπερ μυριάδες ὄντες, καὶ παρεσκευασμένοι θορυβεῖν, ἐσίγησαν, καὶ τὸ μέλλον ἐδέχοντο κόσμῳ καὶ σιωπῇ. Προελθόντος δ' αὐτοῦ, πάντες ἡσυχίαν τῷ λόγῳ παρέσχον· ὅτι δ' οὐ πᾶσι πρὸς ἡδονὴν ἐγεγόνει τὸ ἔργον, ἐδήλωσαν, ἀρξαμένου λέγειν Κίννα καὶ κατηγορεῖν Καίσαρος, ἀναῤῥηγνύμενοι πρὸς ὀργήν, καὶ κακῶς τὸν Κίνναν λέγοντες· ὥστε πάλιν τοὺς ἄνδρας εἰς τὰ Καπιτώλιον ἀπελθεῖν. Ἔνθα δὴ δεδιὼς πολιορκίαν ὁ Βροῦτος, ἀπέπεμπε τοὺς ἀρίστους τῶν συναναβάντων· οὐκ ἀξιῶν τῆς αἰτίας μὴ μετέχοντας αὐτοὺς συνυποδύεσθαι τὸν κίνδυνον.

XIX. Οὐ μὴν ἀλλὰ τῇ ὑστεραίᾳ τῆς βουλῆς συνελθούσης εἰς τὸ τῆς Γῆς ἱερὸν, Ἀντωνίου δὲ καὶ Πλάγκου καὶ Δικέρωνος εἰπόντων περὶ ἀμνηστίας καὶ ὁμονοίας, ἔδοξε μὴ μόνον ἄφεσιν εἶναι τοῖς ἀνθρώποις, ἀλλὰ καὶ γνώμην ὑπὲρ τιμῶν προθεῖναι τοὺς ὑπατεύοντας. Καὶ ταῦτ' ἐπιψηφισάμενοι, διελύθησαν,

Ἀντωνίου δὲ τὸν υἱὸν εἰς τὸ Καπετώλιον ὁρμηθέντα πέμψαντος, κατῆλθον οἱ περὶ Βροῦτον· ἀσπασμοί τε καὶ δεξιώσεις ἐγένοντο πάντων ἀναμιχθέντων. Καὶ Κάσσιον μὲν Ἀντώνιος εἱστία παραλαβών, Βροῦτον δὲ Λέπιδος· τοὺς δ' ἄλλους, ὡς τις εἶχε πρὸς ἕκαστον ἢ συνηθείας, ἢ φιλοφροσύνης. Ἅμα δ' ἡμέρᾳ πάλιν συνελθόντες οἱ βουλευταί, πρῶτον μὲν Ἀντωνίῳ τιμὰς ἔδοσαν, ὡς καταπαύσαντι πολέμων ἐμφυλίων ἀρχήν· ἔπειτα τῶν περὶ Βροῦτον ἦσαν ἔπαινοι τῶν παρόντων, καὶ τέλος ἐπαρχιῶν
993 διανομαί. Βρούτῳ μὲν γὰρ ἐψηφίσαντο Κρήτην, Κασσίῳ Λιβύην, Τρεβωνίῳ δ' Ἀσίαν, καὶ Κίμβρῳ Βιθυνίαν, τῷ δ' ἑτέρῳ Βρούτῳ τὴν περὶ τὸν Ἠριδανὸν Γαλατίαν.

XX. Μετὰ δὲ ταῦτα περὶ τῶν Καίσαρος διαθηκῶν καὶ ταφῆς αὐτοῦ λόγων ἐμπεσόντων, καὶ τῶν περὶ τὸν Ἀντώνιον ἀξιούντων τάς τε διαθήκας ἀναγνωσθῆναι, καὶ τοῦ σώματος ἐκφορὰν γενέσθαι μὴ κεκρυμμένην, μηδ' ἄτιμον, ὡς μὴ καὶ τοῦτο παροξύνῃ τὸν δῆμον, Κάσσιος μὲν ἰσχυρῶς ἀντέλεγεν, εἶξε δὲ Βροῦτος καὶ συνεχώρησε, δεύτερον ἁμαρτεῖν τοῦτο δόξας. Καὶ γὰρ Ἀντωνίου φοβουμένου, αἰτίαν ἔσχεν, ἐπιτειχίσαι τῇ συνωμοσίᾳ βαρὺν καὶ δύσμαχον πολέμιον, καὶ τὰ περὶ τὴν ταφὴν ὧν Ἀντώνιος ἠξίου τρόπον ἐάσας γενέσθαι, τοῦ παντὸς σφαλῆναι. Πρῶτον μὲν γὰρ ἐν ταῖς διαθήκαις δεδομένων κατ' ἄνδρα Ῥωμαίοις πᾶσι δραχμῶν ἑβδομήκοντα πέντε, καὶ τῷ δήμῳ τῶν πέραν τοῦ ποταμοῦ κήπων ἀπολελειμμένων, οὗ νῦν ἐστι Τύχης ἱερὸν, εὔνοια θαυμαστὴ καὶ πόθος αὐτοῦ τοὺς πολίτας εἶλεν· ἔπειτα τοῦ σώματος εἰς τὴν ἀγορὰν κομισθέντος, Ἀντώνιος ἔπαινον, ὥσπερ ἔθος ἐστὶ, διεξελθὼν, καὶ τὰ πλήθη κινούμενα πρὸς τὸν λόγον ὁρῶν, εἰς οἶκτον μετέβαλε, καὶ τὴν ἐσθῆτα λαβὼν τὴν Καίσαρος ἡμαγμένην, ἀνέπτυξεν ἐπιδεικνύμενος τὰς διακοπὰς, καὶ τῶν τραυμάτων τὸ πλῆθος. Ἦν οὖν ἰδεῖν οὐδὲν ἔτι κόσμῳ γινόμενον· ἀλλ' οἱ μὲν ἐβόων τοὺς ἀνθροφόνους αἴρειν, οἱ δ', ὥσπερ ἐπὶ

Κλαδίου, τοῦ δημαγωγοῦ, πρότερον, ἀπὸ τῶν ἐργαστηρίων τὰ βάθρα καὶ τὰς τραπέζας ἀνασπῶντες, καὶ συγκομίζοντες εἰς ταὐτὸ, παμμεγέθη πυρὰν ἔνησαν· καὶ τὸν νεκρὸν ἐπιθέντες ἐν μέσῳ πολλῶν μὲν ἱερῶν, πολλῶν δ' ἀσύλων καὶ ἀβεβήλων τόπων καθηγίαζον. Ὡς δὲ τὸ πῦρ ἐξέλαμψεν, ἀλλαχόθεν ἄλλος προσφερόμενοι, καὶ δαλοὺς ἀνασπῶντες ἡμιφλέκτους, διέθεον ἐπὶ τὰς οἰκίας τῶν ἀνηρηκότων αὐτὸν, ὡς ἐμπρήσοντες. Ἀλλ' ἐκεῖνοι μὲν εὖ πεφραγμένοι πρότερον, ἀπεκρούσαντο τὸν κίνδυνον. Ἦν δέ τις Κίννας, ποιητικὸς ἀνὴρ, οὐδὲν τῆς αἰτίας μετέχων, ἀλλὰ καὶ φίλος Καίσαρος γεγονώς. Οὗτος ὄναρ ᾤετο καλούμενος ὑπὸ Καίσαρος ἐπὶ δεῖπνον, ἀρνεῖσθαι τὸν δὲ λιπαρεῖν καὶ βιάζεσθαι· τέλος δ' ἄγειν λαβόμενον τῆς χειρὸς εἰς ἀχανῆ τόπον καὶ σκοτεινόν· αὐτὸν δ' ἄκοντα καὶ τεθαμβημένον ἕπεσθαι. Ταύτην ἰδόντι τὴν ὄψιν αὐτῷ συνέβη πυρέττειν διὰ νυκτός· ὅμως δ' ἴωθεν ἐκκομιζομένου τοῦ σώματος, αἰδούμενος μὴ παρεῖναι, προῆλθεν εἰς τὸν ὄχλον ἤδη διαγριαινόμενον. Ὀφθεὶς δὲ, καὶ δόξας οὐχ ὅσπερ ἦν Κίννας ὀφθῆναι, ἀλλ' ἐκεῖνος ὁ Καίσαρα πρὸς τὴν ἐκκλησίαν ἔναγχος λοιδορήσας, διεσπάσθη.

XXI. Τοῦτο τὸ πάθος μάλιστα, μετά γε τὴν Ἀντωνίου μεταβολὴν, δείσαντες οἱ περὶ Βροῦτον, ἀνεχώρησαν ἐκ τῆς πόλεως· καὶ διέτριβον ἐν Ἀντίῳ τὸ πρῶτον, ὡς, ὅταν παρακμάσῃ καὶ μαρανθῇ τὸ τῆς ὀργῆς, αὖθις εἰς Ῥώμην κατιόντες. Ὃ ῥᾳδίως ἔσεσθαι προσεδόκων ἐν πλήθεσι φορὰς ἀσταθμήτους καὶ ταχείας φερομένοις, καὶ τὴν σύγκλητον εὔνουν ἔχοντες, ἢ τοὺς Κίνναν διασπασαμένους χαίρειν ἐάσασα, τοὺς ἐπὶ τὰς οἰκίας τὰς ἐκείνων ἐπελθόντας ἀνεζήτει καὶ συνελάμβανεν. Ἤδη δὲ καὶ ὁ δῆμος ἀχθόμενος, Ἀντωνίου σχεδὸν εἰς μοναρχίαν καθισταμένου, Βροῦτον ἐπόθει, καὶ προσεδοκᾶτο τὰς θέας ἄξειν παρὼν αὐτὸς, ἃς ὤφειλε στρατηγῶν παρασχεῖν. Αἰσθόμενος δὲ, πολλοὺς τῶν ὑπὸ Καίσαρος ἐστρατευμένων, καὶ γῆν καὶ πόλεις παρ' ἐκείνου

λαβόντων, ἐπιβουλεύοντας αὐτῷ, καὶ κατ' ὀλίγους παρεισρέοντας εἰς τὴν πόλιν, οὐκ ἐθαρρήσεν ἐλθεῖν
994 αὖθις· ὁ δῆμος ἐθεᾶτο, μὴ παόντος ἐκείνου, τὰς θέας ἀφειδῶς πάνυ χορηγουμένας καὶ περιττῶς. Θηρία τε γὰρ πάμπολλα συνεωνημένος, ἐκέλευσε μηδὲν ἀποδόσθαι, μηδ' ὑπολιπεῖν, ἀλλὰ πᾶσι καταχρήσασθαι· καὶ τῶν περὶ τὸν Διόνυσον τεχνιτῶν αὐτὸς εἰς Νέαν πόλιν καταβὰς ἐπέτυχε πλείστοις· περὶ δὲ Καννουτίου τινὸς εὐημεροῦντος ἐν τοῖς θεάτροις ἔγραφε πρὸς τοὺς φίλους, ὅπως πείσαντες αὐτὸν εἰσαγάγωσιν· Ἑλλήνων γὰρ οὐδένα βιασθῆναι προσιέναι. Ἔγραφε δὲ καὶ Κικέρωνι, πάντως παρατυχεῖν ταῖς θέαις δεόμενος.

XXII. Ἐν τοιαύτῃ δὲ καταστάσει τῶν πραγμάτων ὄντων, ἑτέρα γίνεται μεταβολὴ, τοῦ νέου Καίσαρος ἐπελθόντος. Οὗτος ἦν μὲν ἐξ ἀδελφιδῆς Καίσαρος, γράμματι δὲ παῖς ὑπ' αὐτοῦ καὶ κληρονόμος ἀπολελειμμένος. Ἐν δ' Ἀπολλωνίᾳ διέτριβεν, ὅτε Καῖσαρ ἀνῃρέθη, σχολάζων περὶ λόγους, κἀκεῖνον ἐπὶ Πάρθους ἐλαύνειν εὐθὺς ἐγνωκότα προσμένων. Ἅμα δὲ τῷ πυθέσθαι τὸ πάθος, ἦλθεν εἰς Ῥώμην· καὶ δημαγωγίας ἀρχὴν τοὔνομα Καίσαρος θέμενος ἑαυτῷ, καὶ διανέμων τὸ καταλειφθὲν ἀργύριον τοῖς πολίταις, Ἀντώνιόν τε κατεστασίασε, καὶ χρήματα διαδοὺς, συνίστη καὶ συνῆγε πολλοὺς τῶν ὑπὸ Καίσαρος ἐστρατευμένων. Ἐπεὶ δὲ Κικέρων τῷ πρὸς Ἀντώνιον μίσει τὰ Καίσαρος ἔπραττε, τούτῳ μὲν ὁ Βροῦτος ἐπέπληττεν ἰσχυρῶς, γράφων, ὡς οὐ δεσπότην βαρύνοιτο Κικέρων, ἀλλὰ μισοῦντα δεσπότην φοβοῖτο, καὶ πολιτεύοιτο δουλείας αἵρεσιν φιλανθρώπου, γράφων καὶ λέγων, ὡς χρηστός ἐστι Καῖσαρ. Οἱ δὲ πρόγονοι, φησὶν, ἡμῶν οὐδὲ πρίους δεσπότας ὑπέμενον. Αὐτῷ δ' εἰς τοῦτο καιροῦ μήτε πολεμεῖν βεβαίως δεδόχθαι, μήτε ἡσυχάζειν· ἀλλ' ἓν μόνον εἶναι βεβουλευμένον, τὸ μὴ δουλεύειν· θαυμάζειν δὲ Κικέρωνα, εἰ πόλεμον μὲν ἐμφύλιον καὶ κινδυνώδη δέδοικεν, αἰσχρὰν δὲ καὶ ἄδοξον εἰρήνην οὐ φοβεῖται· τοῦ δ' Ἀντώνιον ἐκβαλεῖν τῆς

τύραννίδος μισθὸν αἰτεῖ τὸ Καίσαρα κατακτῆναι τύραννον.

XXIII. Ἐν μὲν οὖν ταῖς πρώταις ἐπιστολαῖς τοιοῦτος ὁ Βροῦτος· ἤδη δὲ τῶν μὲν ὡς Καίσαρος, τῶν δ' ὡς Ἀντωνίου διϊσταμένων, ὠνίων δὲ τῶν στρατοπέδων, ὥσπερ ὑπὸ κήρυκι, προσιθεμένων τῷ πλέον διδόντι, παντάπασι καταγνοὺς τῶν πραγμάτων, ἔγνω καταλιπεῖν Ἰταλίαν, καὶ πεζῇ διὰ Λευκανίας εἰς Ἐλέαν ἐπὶ θάλασσαν ἦκεν. Ὅθεν ἡ Πορκία μέλλουσα πάλιν εἰς Ῥώμην ἀποστρέπεσθαι, λανθάνειν μὲν ἐπειρᾶτο περιπαθῶς ἔχουσα· γραφὴ δέ τις αὐτὴν προὔδωκε, τἄλλα γενναίαν οὖσαν. Ἦν γὰρ ἐκ τῶν Ἑλληνικῶν διαθέσεως, προπεμπόμενος Ἕκτωρ ὑπ' Ἀνδρομάχης, κομιζομένης παρ' αὐτοῦ τὸ παιδίον, ἐκείνῳ δὲ προσβλέπούσης. Ταῦτα θεωμένη τὴν Πορκίαν ἡ τοῦ πάθους εἰκὼν ἐξέτηξεν εἰς δάκρυα· καὶ πολλάκις φανεῖσα τῆς ἡμέρας ἔκλαιεν. Ἀκιλίου δέ τινος τῶν Βρούτου φίλων τὰ πρὸς Ἕκτορα τῆς Ἀνδρομάχης ἔπη διελθόντος·

Ἕκτορ, ἄτιμ' σύ μοι ἐσσὶ πατὴρ, καὶ πότνια μήτηρ,
Ἠδὲ κασίγνητος, σὺ δέ μοι θαλερὸς παρακοίτης.

μειδιάσας ὁ Βροῦτος· „Ἀλλ' οὐκ ἐμοί γ', εἶπε, πρὸς Πορκίαν ἔπεισι φάναι τὰ τοῦ Ἕκτορος·

Ἴστόν τ' ἠλακάτην τε καὶ ἀμφιπόλοισι κέλευε

σώματος γὰρ ἀπολείπεται φύσει τῶν ἴσων ἀνδραγαθημάτων, γνώμῃ δ' ὑπὲρ τῆς πατρίδος, ὥσπερ ἡμεῖς, ἀριστεύσει." Ταῦτα μὲν ὁ τῆς Πορκίας υἱὸς ἱστόρηκε, Βύβλος.

XXIV. Ἀναχθεὶς δ' ὁ Βροῦτος ἐκεῖθεν ἐπ' Ἀθηνῶν ἔπλει. Δεξαμένου δὲ τοῦ δήμου προθύμως αὐτὸν εὐφημίαις καὶ ψηφίσμασι, διῃτᾶτο μὲν παρὰ ξένῳ τινί· Θεομνήστου δ' ἀκροωμένος, τοῦ Ἀναθημαϊκοῦ, καὶ Κρατίππου, τοῦ Περιπατητικοῦ, καὶ συμφιλοσοφῶν, ἐδόκει παντάπασιν ὑγιεῖν καὶ σχολάζειν· Ἐπραττε δὲ τὰ πρὸς τὸν πόλεμον ἀνυ- 995
πτόπτως. Καὶ γὰρ εἰς Μακεδονίαν ἔπεμψεν Ἡρό-

στρατον, οἰκειούμενος τοὺς ἐπὶ τῶν ἐκεῖ στρατοπέδων, καὶ τοὺς σχολάζοντας ἀπὸ Ῥώμης ἐν ἄστει νέους ἀνελάμβανε καὶ συνεῖχεν. Ὢν ἦν καὶ Κικέρωνος υἱός, ὃν ἐπαινεῖ διαφερόντως, καὶ φησιν, εἴτ' ἐγρήγορεν, εἴτ' ἐνυπνιάζεται, θαυμάζειν οὕτω γενναῖον ὄντα καὶ μισοτύραννον. Ἀρξάμενος δὲ τῶν πραγμάτων ἀναφανδὸν ἅπτεσθαι, καὶ συνθόμενος, πλοῖα Ῥωμαϊκὰ μεστὰ χρημάτων ἐξ Ἀσίας προσφέρεσθαι, καὶ στρατηγὸν ἐπιπλεῖν, ἄνδρα χαρίεντα καὶ γνώριμον, ἀπήντησεν αὐτῷ περὶ Κάρυστον· ἐντυχὼν δὲ καὶ πείσας, καὶ παραλαβὼν τὰ πλοῖα, λαμπροτέραν ὑποδοχὴν ἐποιεῖτο. Καὶ γὰρ ἦν ἡμέρα, καθ' ἣν ἐγεγόνει πρῶτον ὁ Βροῦτος. Ὡς οὖν ἐλθόντες εἰς τὸ πίνειν, ἐπιχύσεις ἐποιοῦντο νίκης τε Βρούτου καὶ Ῥωμαίων ἐλευθερίας, ἔτι μᾶλλον αὐτοὺς ῥῶσαι βουλόμενος, ἤτησε ποτήριον μεῖζον· καὶ λαβὼν, ἀπ' οὐδεμιᾶς προφάσεως ἀνεφώνησε τὸν στίχον τοῦτον·

Ἀλλά μι μοῖρ' ὀλοὴ καὶ Λητοῦς ἔκτανεν υἱός.

Ἔτι δὲ πρὸς τούτοις ἱστοροῦσιν, ὅτε τὴν τελευταίαν ἐν Φιλίπποις μαχούμενος ἐξῄει μάχην, σύνθημα παρ' αὐτοῦ τοῖς στρατιώταις Ἀπόλλωνα δοθῆναι. Διὸ καὶ τῆς συμφορᾶς τίθενται σημεῖον ἐκείνην τὴν ἀναφώνησιν.

XXV. Ἐκ τούτου πεντήκοντα μὲν αὐτῷ μυριάδας Ἀντίστιος, ἀφ' ὧν ἦγε καὶ αὐτὸς εἰς Ἰταλίαν χρημάτων, δίδωσιν. Ὅσοι δὲ περὶ Θεσσαλίαν ἔτι τῆς Πομπηΐου στρατιᾶς ἐπλανῶντο, συνέῤῥεον ἀσμένως πρὸς αὐτόν· ἱππεῖς τε πεντακοσίους ἀφείλετο Κίννα πρὸς Δολοβέλλαν ἄγοντος εἰς Ἀσίαν. Ἐπιπλεύσας τε Δημητριάδι, πολλῶν ὅπλων ἐξαγομένων πρὸς Ἀντώνιον, ἃ, Καίσαρος τοῦ πρότερου κελεύσαντος, ἐπὶ τὸν Παρθικὸν ἐποιήθη πόλεμον, ἐκράτησεν. Ὀρτησίου δὲ τοῦ στρατηγοῦ παραδόντος αὐτῷ Μακεδονίαν, καὶ τῶν ἐν κύκλῳ βασιλέων καὶ δυναστῶν συνισταμένων καὶ προστιθεμένων, ἀγγέλλεται Γάϊος, ὁ Ἀντωνίου ἀδελφὸς, ἐξ Ἰταλίας διαβεβηκὼς, βαδίζειν εὐθὺς ἐπὶ τὰς δυνάμεις, ἃς ἐν Ἐπιδάμνῳ

καὶ Ἀπολλωνίᾳ Γαβίνιος συνέῖχε. Βουλόμενος οὖν φθάσαι καὶ προλαβεῖν ὁ Βροῦτος, ἐξαίφνης ἀναστήσας τοὺς σὺν αὐτῷ, διὰ χωρίων χαλεπῶν νιφόμενος ἐπορεύετο· καὶ πολὺ προῆλθε τοὺς κομίζοντας τὸ ἄριστον. Ἐγγὺς οὖν Ἐπιδάμνου γενόμενος, διὰ κόπον καὶ ψύχος ἐβουλιμίασε. Συμπίπτει δὲ μάλιστα τὸ πάθος χιόνος οὔσης πονοῦσι καὶ κτήνεσι καὶ ἀνθρώποις· εἴτε τοῦ θερμοῦ διὰ περίψυξιν καὶ πύκνωσιν, ὅταν ἐντὸς ἅπαν καθεσχηθῇ, τὴν τροφὴν ἀθρόου ἀναλίσκοντος· εἴτε δριμεῖα καὶ λεπτὴ τῆς χιόνος διαθυομένης ἰοῦσα πνοὴ τέμνει τὸ σῶμα, καὶ διαφθείρει τὸ θερμὸν ἐξ αὐτοῦ θύραζε διασπειρόμενον· Τὰς γὰρ ἐφιδρώσεις παρέχειν δοκεῖ τὸ θερμὸν, ἀπαντῶντι τῷ ψυχρῷ περὶ τὴν ἐπιφάνειαν σβεννύμενον. Ὑπὲρ ὧν ἐν ἑτέροις μᾶλλον ἠπόρηται.

XXVI. Λειποθυμοῦντος δὲ τοῦ Βρούτου, καὶ μηδενὸς ἔχοντος ἐν τῷ στρατοπέδῳ μηδὲν ἐδώδιμον, ἠναγκάσθησαν οἱ περὶ αὐτὸν ἐπὶ τοὺς πολεμίους καταφυγεῖν· καὶ ταῖς πύλαις προσελθόντες, ἄρτον ἤτουν τοὺς φύλακας. Οἱ δὲ, διακούσαντες τὸ σύμπτωμα τοῦ Βρούτου, παρῆσαν αὐτοῖ καὶ σιτία καὶ ποτὰ κομίζοντες. Ἀνθ' ὧν ὁ Βροῦτος, ὡς τὴν πόλιν παρέλαβεν, οὐ μόνον τούτοις, ἀλλὰ καὶ πᾶσι διὰ τούτους φιλανθρώπως ἐχρήσατο. Γάϊος δ' Ἀντώνιος, Ἀπολλωνίᾳ προσβαλὼν, ἐκεῖ τοὺς ἐγγὺς ὄντας ἐκάλει στρατιώτας. Ἐπεὶ δ' οὗτοί τε πρὸς Βροῦτον ᾤχοντο, καὶ τοὺς Ἀπολλωνιάτας ἤσθετο τὰ Βρούτου φρονοῦντας, ἐκλιπὼν τὴν πόλιν εἰς Βου- 996
θρωτὸν ἐβάδιζεν. Καὶ πρῶτον μὲν ἀπάλλυσι τρεῖς σπείρας καθ' ὁδὸν ὑπὸ Βρούτου καταπεπεισας· ἔπειτα τοὺς περὶ τὴν Βυλλίδα τόπους προκαταλειφθέντας ἐπιχειρῶν ἐκβιάζεσθαι, καὶ μάχην συνάψας Κικέρωνι, νικᾶται. Τούτῳ γὰρ ὁ Βροῦτος ἐχρῆτο στρατηγῷ, καὶ πολλὰ δι' αὐτοῦ κατώρθωσε. Λαβὼν δὲ τὸν Γάϊον ἐν χωρίοις ἑλώδεσι μακρὰν διεσπασμένον, οὐκ εἴασεν ἐμβαλεῖν, ἀλλὰ περιῆππευσε, φείδεσθαι κελεύων, ὡς μετὰ μικρὸν ἰδίαν ἐσομένων. Ὃ καὶ

συνέβη. Παρέδοσαν γὰρ ἑαυτοὺς καὶ τὸν στρατηγὸν, ὥστε μεγάλην ἤδη περὶ τὸν Βροῦτον δύναμιν εἶναι. Χρόνον μὲν οὖν πολὺν ἐν τιμῇ τὸν Γάϊον ἦγε, καὶ τὸ παράσημα τῆς ἀρχῆς οὐκ ἀφῆρε, καίπερ, ὡς φασιν, ἄλλων τε πολλῶν καὶ Κικέρωνος ἀπὸ Ῥώμης γραφόντων καὶ κελευόντων ἀναιρεῖν. Ἀρξάμενος δὲ κρύφα τοῖς ἡγεμόσι διαλέγεσθαι, καὶ ποιησάντα νεωτερισμὸν, ἐνθέμενος εἰς νοῦν ἐφύλαττε. Τῶν δὲ διαφθαρέντων στρατιωτῶν εἰς Ἀπολλωνίαν ἀποστάντων, καὶ καλούντων ἐκεῖ τὸν Βροῦτον, οὐκ ἔφη τοῦτο πάτρων εἶναι Ῥωμαίοις, ἀλλ' ἐκείνους πρὸς τὸν ἄρχοντα χρῆναι βαδίζοντας αὐτοὺς παραιτεῖσθαι τὴν ἐπὶ τοῖς ἡμαρτημένοις ὀργήν. Ἐλθοῦσι δὲ καὶ δεομένοις συγγνώμην ἔδωκε.

XXVII. Μέλλοντι δ' αὐτῷ διαβαίνειν εἰς τὴν Ἀσίαν ἦκεν ἀγγελία περὶ τῆς ἐν Ῥώμῃ μεταβολῆς. Ὁ γὰρ νέος Καῖσαρ ηὐξήθη μὲν ὑπὸ τῆς βουλῆς ἐπ' Ἀντώνιον ἐμβαλὼν δὲ τῆς Ἰταλίας ἐκεῖνον, αὐτὸς ἤδη φοβερὸς ἦν, ὑπατείαν τε μὴ μένων παρὰ νόμον, καὶ στρατεύματα τρέφων μεγάλα, τῆς πόλεως οὐδὲν δεομένης. Ὁρῶν δὲ καὶ ταῦτα τὴν βουλὴν βαρυνομένην, καὶ πρὸς τὸν Βροῦτον ἀφορῶσαν ἔξω, καὶ ψηφιζομένην ἐκείνῳ καὶ βεβαιοῦσαν τὰς ἐπαρχίας, ἔδεισε. Καὶ τὸν μὲν Ἀντώνιον πέμπων εἰς φυλίαν προὐπαλεῖτο, τὰς δὲ δυνάμεις τῇ πόλει περιστήσας, ὑπατείαν ἔλαβεν οὔπω πάνυ μειράκιον ὤν, ἀλλ' εἰκοστὸν ἄγων ἔτος, ὡς αὐτὸς ἐν τοῖς ὑπομνήμασιν εἴρηκεν. Εὐθὺς δὲ δίκας φόνου κατὰ τῶν περὶ τὸν Βροῦτον εἰσῆγεν, ὡς ἄνδρα πρῶτον ἐν ἀρχαῖς ταῖς μεγίσταις ἀπρηκότων ἄριστον· καὶ κατηγόρων ἐπέστησε, Βρούτου μὲν Λεύκιον Κορνιφίκιον, Κάσσιου δὲ Μάρκον Ἀγρίππαν. Ὠφλίσκανον οὖν τὰς δίκας ἐρήμας, ἀναγκαζομένων φέρειν ψῆφον τῶν δικαστῶν. Λέγεται δὲ, τοῦ κήρυκος, ὥσπερ εἴωθεν, ἀπὸ τοῦ βήματος τὸν Βροῦτον ἐπὶ τὴν δίκην καλοῦντος, τὸ μὲν πλῆθος ἐπιδήλως στενάξαι, τοὺς δ' ἀρίστους κύψαντας εἰς γῆν ἡσυχίαν ἄγειν·

Πόπλιον δὲ Σιλλαῖον ὀφθῆναι θαυμάσαντα, καὶ διὰ τὴν αἰτίαν ταύτην ὀλίγον ὕστερον ἕνα τῶν προγραφέντων ἐπὶ θανάτῳ γενέσθαι. Μετὰ ταῦτα διαλλαγέντες οἱ τρεῖς, Καῖσαρ, Ἀντώνιος, Λέπιδος, διενείμαντο τὰς ἐπαρχίας, φυγάς τε καὶ προγραφὰς ἀνδρῶν ἑξακοσίων ἐποίησαν, ἐν οἷς καὶ Κικέρων ἀπέθανε.

XXVIII. Τούτων οὖν εἰς Μακεδονίαν ἀπαγγελθέντων, ἐκβιασθεὶς ὁ Βροῦτος ἔγραψεν Ὀρτήσιᾳ κτεῖναι Γάϊον Ἀντώνιον, ὡς δὴ Βρούτῳ τε καὶ Κικέρωνι τιμαρῶν, τῷ μὲν ὄντι φίλῳ, τῷ δὲ καὶ κατὰ γένος προσήκοντι. Διὰ ταῦθ' ὕστερον Ἀντώνιος Ὀρτήσιον ἐν Φιλίπποις λαβών, τῷ μνήματι τοῦ ἀδελφοῦ προσέσφαξε. Βροῦτος δὲ τῆς Κικέρωνος τελευτῆς τῇ αἰτίᾳ φησὶν αἰσχύνεσθαι μᾶλλον, ἢ τῷ πάθει συναλγεῖν· ἐγκαλεῖν δὲ τοῖς ἐπὶ Ῥώμης φίλοις, δουλεύειν γὰρ αὐτῶν αἰτίᾳ μᾶλλον, ἢ τῶν τυραννούντων, καὶ καρτερεῖν ὁρῶντας καὶ παρόντας, ἃ μηδ' ἀκούειν αὐτοῖς ἀνεκτὸν ἦν. Περαιώσας δὲ τὸν στρατὸν εἰς Ἀσίαν ἤδη λαμπρὸν ὄντα, ναυτικὸν μὲν ἐξηρτύετο στόλον ἐν Βιθυνίᾳ καὶ περὶ Κύζικον· πεζῇ δ' αὐτὸς ἐπιὼν καθίστατο τὰς πόλεις, καὶ τοῖς δυνάστοις ἐχρημάτιζε, καὶ πρὸς Κάσσιον ἔπεμπεν εἰς Συρίαν ἀπ' Αἰγύπτου μετακαλῶν· οὐ 997
γὰρ ἀρχὴν κτωμένους αὐτοὺς, ἀλλ' ἐλευθεροῦντας τὴν πατρίδα, τὴν δύναμιν, ἣ καταλύουσι τοὺς τυράννους, συναίροντας πλανᾶσθαι δεῖν οὖν μεμνημένους καὶ φυλάττοντας τὴν ὑπόθεσιν, μὴ μακρὰν ἀπηρτῆσθαι τῆς Ἰταλίας, ἀλλ' ἐκεῖσε σπεύδειν, καὶ βοηθεῖν τοῖς πολίταις. Ὑπακούσαντος δὲ τοῦ Κασσίου, καὶ καταβαίνοντος, ἀπήντα· καὶ περὶ Σμύρναν ἀλλήλοις ἐνετύγχανον, ἀφ' οὗ πρῶτον ἐν Πειραιεῖ χωρισθέντες ὥρμησαν, ὁ μὲν εἰς Συρίαν, ὁ δ' εἰς Μακεδονίαν. Ἦν οὖν ἡδονή τε μεγάλη καὶ θάρσος αὐτοῖς ἐκ τῆς παρούσης ἑκατέρου δυνάμεως. Ὁρμήσαντες γὰρ ἐκ τῆς Ἰταλίας ὁμοια φυγάδων τοῖς ἀτιμοτάτοις, ἀχρήματοι, καὶ ἄοπλοι, μὴ ναῦν ἐνήρη, μὴ στρατιώτην ἕνα, μὴ πόλιν ἔχοντες, οὐ πολλοῦ

πάνυ χρόνου διαγενομένου, συνῆλθον εἰς ταὐτό, καὶ ναυσὶ καὶ πεζῷ καὶ ἵπποις καὶ χρήμασιν ἀξιόμαχοι διαγωνίσασθαι περὶ τῆς Ῥωμαίων ἡγεμονίας ὄντες.

XXIX. Ἐβούλετο μὲν οὖν ἴσον ἔχειν τιμῆς καὶ παρέχειν ὁ Καῖσαρ· ἔφθανε δ' ὁ Βροῦτος ὡς τὰ πολλὰ φοιτῶν πρὸς αὐτὸν, ἡλικία τε προὔχοντα, καὶ σώματι πανεῖν ὁμοίως μὴ δυναμένῳ χρώμενον. Ἦν δὲ δόξα, Κάσσιον μὲν εἶναι δεινὸν ἐν τοῖς πολεμικοῖς, ὀργῇ δὲ τραχὺν, καὶ φόβῳ μᾶλλον ἔχοντα πρὸς δὲ τοὺς συνήθεις ὑγρότερον τῇ κελεύσει, καὶ φιλοπώπτην. Βροῦτον δὲ λέγουσι δι' ἀρετὴν φιλεῖσθαι μὲν ὑπὸ τῶν πολλῶν, ἐρᾶσθαι δ' ὑπὸ τῶν φίλων, θαυμάζεσθαι δ' ὑπὸ τῶν ἀρίστων, μισεῖσθαι δὲ μηδ' ὑπὸ τῶν πολεμίων· ὅτι πρῶτος ὁ ἀνὴρ διαφερόντως, καὶ μεγαλόφρων, καὶ πρὸς ὀργὴν καὶ ἡδονὴν καὶ πλεονεξίαν ἀπαθὴς, ὄρθιον δὲ τὴν γνώμην καὶ ἄκαμπτον ἐστῶσαν ὑπὲρ τοῦ καλοῦ καὶ δικαίου διαφυλάττων. Καὶ μέγιστον ὑπῆρχεν αὐτῷ πρὸς εὔνοιαν καὶ δόξαν ἡ τῆς προαιρέσεως πίστις. Οὔτε γὰρ ἐκεῖνος ὁ μέγας Πομπήϊος, εἰ Καίσαρα καθέλοι, ἠλπίζετο βεβαίως προήσεσθαι τοῖς νόμοις τὴν δύναμιν, ἀλλ' ἀεὶ τὰ πράγματα καθέξειν, ὑπατείας ὀνόματι καὶ δικτατωρίας ἤ τινος ἄλλης μαλακωτέρας ἀρχῆς παραμυθούμενος τὸν δῆμον· Κάσσιον δὲ τοῦτον, ἀφοδρὸν ἄνδρα καὶ θυμοειδῆ, καὶ πολλαχοῦ πρὸς τὸ κερδαλέον ἐκφερόμενον τοῦ δικαίου, παντὸς μᾶλλον φοντο πολεμεῖν καὶ πλανᾶσθαι καὶ κινδυνεύειν, αὐτῷ τινα δυναστείαν κατασκευαζόμενον, οὐκ ἐλευθερίαν τοῖς πολίταις. Τὰ μὲν γὰρ ἔτι τούτων πρεσβύτερα, Κίννας, καὶ Μάριοι, καὶ Κάρβωνες, ἤθλον ἐν μέσῳ καὶ λείαν προθέμενοι τὴν πατρίδα, μαχόμενοι ῥητῶς ὑπὲρ τυραννίδος ἐπολέμησαν. Βροῦτου δὲ λέγουσι μηδὲ τοὺς ἐχθροὺς προσβάλλειν τοιαύτην μεταβολήν· ἀλλ' Ἀντωνίου γε καὶ πολλοὺς ἀκοῦσαι λέγοντος, ὡς μόνου οἴοιτο Βροῦτον ἐπιθέσθαι Καίσαρι προαχθέντα τῇ λαμπρότητι καὶ τῷ φαινομένῳ καλῷ τῆς

πράξεως, τοὺς δ' ἄλλους ἐπὶ τὸν ἄνδρα συστῆναι μισοῦντας καὶ φθονοῦντας. Ὅθεν Βροῦτος οὐ τῇ δυνάμει τοσοῦτον, ὅσον τῇ ἀρετῇ, δῆλός ἐστιν ἐξ ὧν γράφει πεποιθώς. Γράφει δὲ πρὸς Ἀττικὸν ἤδη τῷ κινδύνῳ πλησιάζων, ἐν τῷ καλλίστῳ τῆς τύχης εἶναι τὰ καθ' αὑτόν· ἢ γὰρ νικήσας, ἐλευθερώσειν τὸν Ῥωμαίων δῆμον, ἢ δουλείας ἀποθανὼν ἀπαλλαγήσεσθαι· καὶ τῶν ἄλλων ἀσφαλῶς αὐτοῖς καὶ βεβαίως ἐχόντων, ἐτ' ἄδηλον εἶναι, πότερον βιώσονται μετ' ἐλευθερίας, ἢ τεθνήξονται. Μάρκον δ' Ἀντώνιον ἀξίαν φησὶ τῆς ἀνοίας δεδόναι δίκην, ὃς ἐν Βρούτοις καὶ Κασσίοις καὶ Κάτωσι συναριθμεῖσθαι δυναμένους, προσθήκην ἑαυτὸν Ὀκταβίῳ δέδωκε· κἂν μὴ νῦν ἡττηθῇ μετ' ἐκείνου, μικρὸν ὕστερον ἐκείνῳ μαχεῖται. Ταῦτα μὲν οὖν ἀποθεσπίσαι καλῶς πρὸς τὸ μέλλον ἔοικεν.

XXX. Ἐν δὲ τῇ Σμύρνῃ τότε τῶν χρημάτων, 998
ἃ πολλὰ συνειλόχει Κάσσιος, ἠξίου μεταλαβεῖν· τὰ γὰρ ὄντα καταυηλωκέναι, ναυπηγούμενος στόλον τοσοῦτον, ᾧ πᾶσαν ὑφ' ἑαυτοῖς ἕξουσι τὴν ἐντὸς θάλασσαν. Οὐκ εἴων μὲν οὖν τὸν Κάσσιον οἱ φίλοι διδόναι, λέγοντες, ὡς οὐ δίκαιον, ἃ σὺ φειδόμενος διαφυλάττεις, καὶ φθόνῳ συνάγεις, ἐκεῖνον λαβόντα δημαγωγεῖν καὶ χαρίζεσθαι τοῖς στρατιώταις. Οὐ μὴν ἀλλ' ἔδωκεν αὐτῷ τρίτον μέρος ἁπάντων. Καὶ πάλιν διαστάντες ἐπὶ τὰς προσηκούσας ἑκατέρῳ πράξεις, Κάσσιος μὲν ἐλῶν Ῥόδου, οὐκ ἀπεικῶς ἐχρῆτο τοῖς πράγμασι· καὶ ταῦτα, περὶ τὴν εἴσοδον τοῖς προσαγορεύουσιν αὐτὸν βασιλέα καὶ κύριον ἀποκρινάμενος· „Οὔτε βασιλεὺς, οὔτε κύριος, τοῦ δὲ κυρίου καὶ βασιλέως φονεὺς καὶ κολαστής.“ Βροῦτος δὲ Λυκίους ἤτει χρήματα καὶ στρατόν· ἐπεὶ δὲ Ναυκράτης, ὁ δημαγωγὸς, ἀνέπεισε τὰς πόλεις ἀφίστασθαι, καὶ λόφους τινὰς, ὡς εἴρξοντες παρόδου τὸν Βροῦτον, κατελάβοντο, πρῶτον μὲν ἀριστοποιουμένοις αὐτοῖς ἔπεμψεν ἱππεῖς, ὑφ' ὧν ἐξαίφνιοι διεφθάρησαν· ἔπειτα τὰ χωρία καὶ

πολίχνας λαμβάνων, ἄπειλεν ἄνευ λύτρων ἅπαντας, ὡς προσαξόμενος εὐνοίᾳ τὸ ἔθνος. Οἱ δ' ἦσαν αὐτοθάδεις, ἃ μὲν ἐβλάπτοντο, πρὸς ὀργὴν τιθέμενοι, τῆς δ' ἐπιεικείας καὶ φιλανθρωπίας καταφρονοῦντες· ἄχρις οὗ συνελάσας εἰς Ξάνθον αὐτῶν τοὺς μαχιμωτάτους ἐπολιόρκει. Τοῦ δὲ ποταμοῦ παρὰ τὴν πόλιν παραρρέοντος, ὑπονηχόμενοι διεῴδρασκον. Ἡλίσκοντο δὲ δικτύων διὰ πόρου καθειμένων εἰς βυθὸν, ὧν τὰ ἄκρα κώδωσι προσηρτημένοις διεσήμαινεν εὐθὺς τὸν ἐνσχεθέντα. Μηχαναῖς δέ τισι τῶν Ξανθίων νύκτωρ ἐπιβαμόντων, καὶ πῦρ ἐμβαλόντων, ὡς ἀπεκλείσθησαν, αἰσθομένων τῶν Ῥωμαίων, πρὸς τὸ τεῖχος, καὶ πνεῦμα λαμπρὸν ἀνερρίπιζεν ἐπὶ τὰς ἐπάλξεις τὴν φλόγα τῶν ἐγγὺς οἰκιῶν ἀντιλαμβανομένην, δείσας ὁ Βροῦτος ὑπὲρ τῆς πόλεως, ἐκέλευσε κατασβεννύναι καὶ βοηθεῖν.

XXXI. Τοὺς δὲ Λυκίους δεινή τις ἐξαίφνης πρὸς ἀπόνοιαν ὁρμὴ καὶ λόγου κρείσσων κατέσχεν, ἣν ἄν τις ἔρωτι θανάτου μάλιστα προσεικάσειεν· οἵ γε μετὰ παίδων καὶ γυναικῶν, ἐλεύθεροί τε καὶ δοῦλοι, καὶ πᾶσα ἡλικία, τοὺς μὲν πολεμίους πρὸς τὴν φλόγα βοηθοῦντας ἀπὸ τῶν τειχῶν ἔβαλλον, αὐτοὶ δὲ κάλαμον καὶ ξύλα καὶ πᾶν ὑπέκαυμα προσφέροντες, ἦγον ἐπὶ τὴν πόλιν τὸ πῦρ, ὀρέγοντες αὐτῷ πᾶσαν ὕλην, καὶ πάντα τρόπον ἐξερεθίζοντες καὶ συνεκτρέφοντες. Ὡς δ' ἡ φλὸξ ὑρεῖσα, καὶ διαζώσασα πανταχόθεν τὴν πόλιν, διέλαμψε πολλὴ, περιπαθῶν ἐπὶ τοῖς γινομένοις ὁ Βροῦτος, ἔξωθεν παρίππευε, προθυμούμενος βοηθεῖν, καὶ τὰς χεῖρας ὀρέγων τοῖς Ξανθίοις ἐδᾶτο φείδεσθαι καὶ σώζειν τὴν πόλιν, οὐδενὸς αὐτῷ προσέχοντος, ἀλλὰ πάντα τρόπον ἑαυτοὺς ἀπολλύντων, οὐ μόνον ἀνδρῶν τε καὶ γυναικῶν, ἀλλὰ καὶ τὰ παιδία τὰ μικρὰ μετὰ κραυγῆς καὶ ἀλαλαγμοῦ τὰ μὲν εἰς τὸ πῦρ ἤλλετο, τὰ δ' ἄνωθεν ἀπὸ τῶν τειχῶν ἐξετραχήλιζεν αὐτὰ, τὰ δὲ τοῖς ξίφεσι τῶν πατέρων ὑπέβαλλε τὰς σφαγὰς γυμνοῦντα καὶ κελεύοντα παίειν. Ὤφθη δὲ, τῆς

πόλεως διαφθαρείσης, γυνὴ κρεμαμένη μὲν ἐξ ἀγχόνης, παιδίον δὲ νεκρὸν ἐξηρτημένη τοῦ τραχήλου, λαμπάδι δὲ καιομένη τὴν οἰκίαν ὑφάπτουσα. Καὶ τοῦ θεάματος τραγικοῦ φανέντος, ἰδεῖν μὲν οὐχ ὑπέμεινεν ὁ Βροῦτος, ἐδάκρυσε δ' ἀκούσας· καὶ γέρας ἐκήρυξε τῶν στρατιωτῶν, ὅστις ἂν δυνηθῇ Λύκιον ἄνδρα περισῶσαι. Φασὶ δὲ, μόνους ἑκατὸν πεντήκοντα γενέσθαι τοὺς μὴ διαφυγόντας τὸ σωθῆναι, Ξάνθιοι μὲν οὖν διὰ πολλῶν χρόνων ὥσπερ εἰ- 999
μαρμένην περίοδον διαφθορᾶς ἀποδιδόντες, τὴν τῶν προγόνων ἀνενεώσαντο τῇ τόλμῃ τύχην· καὶ γὰρ ἐκεῖνοι τὴν πόλιν ὁμοίως ἐπὶ τῶν Περσικῶν κατακαύσαντες ἑαυτοὺς διέφθειραν.

XXXII. Βροῦτος δὲ, τὴν Παταρέων πόλιν ὁρῶν ἀπισχυριζομένην πρὸς αὐτὸν, ὤκνει μὲν ἐπιχειρεῖν, καὶ διηπορεῖτο, τὴν αὐτὴν δεδιὼς ἀπόνοιαν· ἔχων δὲ γυναῖκας αὐτῶν αἰχμαλώτους, ἀφῆκεν ἄνευ λύτρων. Αἱ δ' ἀνδρῶν τε καὶ πατέρων ἐπιφανῶν οὖσαι, διηγούμεναι τὸν Βροῦτον, ὡς ἀνὴρ εἴη σωφρονέστατος καὶ δικαιότατος, ἔπεισαν εἶξαι καὶ παραδοῦναι τὴν πόλιν. Ἐκ δὲ τούτου καὶ πάντες οἱ λοιποὶ προσεχώρησαν, ἐπιτρέψαντες ἑαυτοὺς ἐκείνῳ, τυχόντες δὲ χρηστοῦ καὶ παρ' ἐλπίδας εὐγνώμονος· ὅς γε, Κασσίου Ῥοδίους ὑπὸ τὸν αὐτὸν χρόνον ἀναγκάσαντος ἰδίᾳ μὲν ὃν ἐκέκτητο χρυσὸν καὶ ἄργυρον εἰσενεγκεῖν ἅπαντας, (ἐξ οὗ συνηνέχθη περὶ ὀκτακισχίλια τάλαντα,) δημοσίᾳ δὲ τὴν πόλιν ἄλλοις πεντακοσίοις ζημιώσαντος, αὐτὸς ἑκατὸν καὶ πεντήκοντα τάλαντα Λυκίους πραξάμενος, ἄλλο δ' οὐδὲν ἀδικήσας, ἀνέζευξεν ἐπ' Ἰωνίας.

XXXIII. Πολλὰ μὲν οὖν ἄξια μνήμης ἔργα καὶ τιμαῖς ἀπεδείξατο καὶ πολάσεσι τῶν ἀξίων· ᾧ δ' αὐτὸς ἥσθη μάλιστα, καὶ Ῥωμαίων οἱ κράτιστοι, τοῦτο διηγήσομαι. Πομπηΐου Μάγνου προσβαλόντος Λιγύπτῳ καὶ Πηλουσίῳ, ὁπηνίκα τὴν μεγάλην ἀρχὴν ἀποβαλὼν ὑπὸ Καίσαρος ἔφυγεν, οἱ τοῦ βασιλέως ἔτι παιδὸς ὄντος ἐπιτροπεύοντες ἐν βουλῇ

μετὰ τῶν φίλων ἦσαν, οὐ κατὰ ταὐτὰ ταῖς γνώμαις φερόμενοι. Τοῖς μὲν γὰρ ἐδόκει δέχεσθαι, τοῖς δ' ἀπωθεῖν Αἰγύπτου τὸν ἄνδρα. Θεόδοτος δέ τις Χῖος, ἐπὶ μισθῷ ῥητορικῶν λόγων διδάσκαλος τῷ βασιλεῖ συνὼν, ἠξιωμένος δὲ τότε τοῦ συνεδρίου δι' ἐρημίαν ἀνδρῶν βελτιόνων, ἀμφοτέρους διαμαρτάνοντας ἀπέφαινε, καὶ τοὺς ἀναλαβεῖν καὶ τοὺς ἀφεῖναι κελεύοντας τὸν Πομπήϊον· ἓν γὰρ εἶναι συμφέρον ἐκ τῶν παρόντων, δεξαμένους ἀποκτεῖναι. Καὶ προσεπεῖπε τοῦ λόγου παυόμενος, ὅτι νεκρὸς οὐ δάκνει. Προσθεμένου δὲ τῇ γνώμῃ τοῦ συνεδρίου, παράδειγμα τῶν ἀπίστων καὶ ἀπροσδοκήτων ἔκειτο Πομπηΐου Μάγνος, τῆς Θεοδότου ῥητορείας καὶ δεινότητος ἔργον, ὡς αὐτὸς ὁ σοφιστὴς ἔλεγε μεγαλαυχούμενος. Ὀλίγῳ δ' ὕστερον ἐπελθόντος Καίσαρος, οἱ μὲν δίκας τινυόντες ἀπώλλυντο κακοὶ κακῶς· Θεόδοτος δὲ παρὰ τῆς τύχης χρόνον εἰς ἄδοξον καὶ ἄπορον καὶ πλάνητα βίον ἐπιδανεισάμενος, τότε Βροῦτον ἐπιόντα τὴν Ἀσίαν οὐκ ἔλαθεν, ἀλλ' ἀναχθεὶς καὶ κολασθεὶς, ὄνομα τοῦ θανάτου πλέον ἔσχεν, ἢ τοῦ βίου.

XXXIV. Κάσσιον δὲ Βροῦτος εἰς Σάρδεις ἐκάλει, καὶ προσιόντι μετὰ τῶν φίλων ἀπήντησε, καὶ πᾶς ὁ στρατὸς ὡπλισμένος αὐτοκράτορας ἀμφοτέρους προσηγόρευσεν. Οἷα δ' ἐν πράγμασι μεγάλοις καὶ φίλοις πολλοῖς καὶ ἡγεμόσιν, αἰτιῶν αὐτοῖς πρὸς ἀλλήλους ἐγγενομένων καὶ διαβολῶν, πρὶν ἕτερόν τι ποιεῖν, εὐθὺς ἐκ πορείας καθ' αὑτοὺς ἐν οἰκήματι γενόμενοι, κεκλεισμένων τῶν θυρῶν, καὶ μηδενὸς παρόντος, ἐχρῶντο μέμψεσι πρώτον, εἶτ' ἐλέγχοις καὶ κατηγορίαις. Ἐκ δὲ τούτου πρὸς δάκρυα καὶ παρρησίαν μετὰ πάθους ἐνφερομένων, θαυμάζοντες οἱ φίλοι τὴν πραχύτητα τῆς ὀργῆς καὶ τὸν τόνον, ἔδεισαν, μή τι ἐκ τούτου γένηται· προσελθεῖν δ' ἀπείρηντο. Μάρκος δὲ Φαώνιος, ἐραστὴς γεγονὼς Κάτωνος, οὐ λόγῳ μᾶλλον, ἢ φορᾷ τινι καὶ πάθει μανικῷ, φιλοσοφῶν, ἐβάδιζεν εἴσω πρὸς αὐτοὺς κωλυόμενος ὑπὸ τῶν θεικεσῶν, Ἀλλ' ἔργον ἦν

ἐπιλαβέσθαι Φαωνίου πρὸς ὅτιοῦν ὀρούσαντος. 1000
σφοδρὸς γὰρ ἦν ἐν πᾶσι καὶ πρόχειρος. Ἐπεὶ τό
γε βουλευτὴν εἶναι Ῥωμαίων ἑαυτὸν οὐδενὸς ἄξιον
ἡγεῖτο, τῷ δὲ κυνικῷ τῆς παῤῥησίας πολλάκις ἀφή-
ρει τὴν χαλεπότητα καὶ τὸ ἄκαιρον αὐτοῦ μετὰ
παιδιᾶς δεχομένων. Βίᾳ δὴ τότε τῶν παρόντων
διωσάμενος τὰς χεῖρας, εἰσῆλθε, μετὰ πλάσματος
φωνῆς ἔπη περαίνων, οἷς τὸν Νέστορα χρωμενον
Ὅμηρος ἐπεποιήκει·

Ἀλλὰ πίθεσθ'· ἄμφω δὲ νεωτέρω ἔστον ἐμεῖο,

καὶ τὰ ἑξῆς. Ἐφ' οἷς ὁ μὲν Κάσσιος ἐγέλασεν, ὁ
δὲ Βροῦτος ἐξέβαλεν αὐτὸν, ἁπλόκυνα καὶ ψευδό-
κυνα προσαγορεύων. Οὐ μὴν ἀλλὰ τότε τοῦτο τῆς
πρὸς ἀλλήλους διαφορᾶς ποιησάμενοι πέρας, εὐθὺς
διελύθησαν. Καὶ Κασσίου δεῖπνον παρέχοντος, ἐκά-
λει τοὺς φίλους Βροῦτος. Ἤδη δὲ κατακειμένων,
Φαώνιος ἦκε λελουμένος. Μαρτυρομένου δὲ Βρού-
του, μὴ κεκλημένον αὐτὸν ἥκειν, καὶ κελεύοντος
ἀπάγειν ἐπὶ τὴν ἀνωτάτω κλίνην, βίᾳ παρελθὼν
εἰς τὴν μέσην κατεκλίθη· καὶ παιδιὰν ὁ πότος ἔσχεν
οὐκ ἄχαριν, οὐδ' ἀφιλόσοφον.

XXXV. Τῇ δ. ὑστεραίᾳ Βροῦτος ἄνδρα Ῥω-
μαῖον ἐστρατηγηκότα, καὶ πεπιστευμένον ὑπ' αὐ-
τοῦ, Λεύκιον Πέλλαν, Σαρδιανῶν κατηγορούντων
ἐπὶ κλοπαῖς, δημοσίᾳ καταγνοὺς ἠτίμωσε· καὶ τὸ
πρᾶγμα Κάσσιον οὐ μετρίως ἐλύπησεν. Αὐτὸς γὰρ
ὀλίγαις ἡμέραις ἔμπροσθεν ἐπὶ τοῖς αὐτοῖς ἐλεγ-
χθέντας ἀδικήμασι δύο φίλους ἰδίᾳ νουθετήσας,
φανερῶς ἀφῆκε, καὶ διετέλει χρώμενος. Ὅθεν
ἠτιᾶτο τὸν Βροῦτον, ὡς ἄγαν ὄντα νόμιμον καὶ δί-
καιον ἐν καιρῷ πολιτείας δεομένῳ καὶ φιλανθρω-
πίας. Ὁ δὲ τῶν εἰδῶν τῶν Μαΐων ἐκέλευεν αὐ-
τὸν μνημονεύειν, ἐκείνων, ἐν αἷς Καίσαρα ἔκτειναν,
οὐκ αὐτὸν ἄγοντα καὶ φέροντα πάντας ἀνθρώπους,
ἀλλ' ἑτέρων δύναμιν ὄντα ταῦτα πρασσόντων· ὡς,
εἴ τις ἐστὶ πρόφασις καλὴ, μεθ' ἧς ἀμελεῖται τὸ δί-
καιον, ἄμεινον ἦν τοὺς Καίσαρος φίλους ὑπομένειν,

ἢ τοὺς ἑαυτῶν περιορᾶν ἀδικουῦντας. Ἐκείνοις μὲν γὰρ ἀνανδρείας, ἀδικίας δὲ δόξα μετὰ κινδύνων ἡμῖν καὶ πόνων πρόσεστι. Τοιαύτη μὲν ἡ τοῦ Βρούτου προαίρεσις ἦν.

XXXVI. Ἐπεὶ δὲ διαβαίνειν ἐξ Ἀσίας ἔμελλον, λέγεται τῷ Βρούτῳ μέγα σημεῖον γενέσθαι. Φύσει μὲν γὰρ ἦν ἐπεγρηγορὼς ὁ ἀνὴρ, καὶ τὸν ὕπνον εἰς ὀλίγου χρόνου μόριον ἀσκήσει καὶ σωφροσύνῃ συνῆγεν· ἡμέρας μὲν οὐδέποτε κοιμώμενος, νύκτωρ δὲ τοσοῦτον, ὅσον οὔτε τι πράττειν, οὔτε τῷ διαλέγεσθαι, πάντων ἀναπαυομένων, παρεῖχε. Τότε δὲ τοῦ πολέμου συνεστῶτος, ἐν χερσὶν ἔχων τὰς ὑπὲρ τῶν ὅλων πράξεις, καὶ τεταμένος τῇ φροντίδι πρὸς τὸ μέλλον, ὁπηνίκα πρῶτον ἀφ' ἑσπέρας ἐπινυστάξειε τοῖς σιτίοις, ἤδη τὸ λοιπὸν ἐχρῆτο τῇ νυκτὶ πρὸς τὰ κατεπείγοντα τῶν πραγμάτων. Εἰ δὲ συνέλοι καὶ κατοικονομήσειε τὴν περὶ ταῦτα χρείαν, ἀνεγίνωσκε βιβλίον μέχρι τρίτης φυλακῆς, καθ' ἣν εἰώθεσαν ἑκατοντάρχαι καὶ χιλίαρχοι φοιτᾶν πρὸς αὐτόν. Ὡς οὖν ἔμελλεν ἐξ Ἀσίας διαβιβάζειν τὸ στράτευμα, νὺξ μὲν ἦν ἡ βαθυτάτη, φῶς δ' εἶχεν οὐ πάνυ λαμπρὸν ἡ σκηνή· πᾶν δὲ τὸ στρατόπεδον σιωπὴ κατεῖχεν. Ὁ δὲ συλλογιζόμενός τι καὶ σκοπῶν πρὸς ἑαυτὸν, ἔδοξεν αἰσθέσθαι τινὸς εἰσιόντος. Ἀποβλέψας δὲ πρὸς τὴν εἴσοδον, ὁρᾷ δεινὴν καὶ ἀλλόκοτον ὄψιν ἐκφύλου σώματος καὶ φοβεροῦ, σιωπῇ παρεστῶτος αὐτῷ. Τολμήσας δ' ἐρέσθαι· „Τίς ποτ' ὢν, εἶπεν, ἀνθρώπων, ἢ θεῶν, ἢ τί βουλόμενος ἥκεις ὡς ἡμᾶς;" ὑποφθέγγεται δὴ αὐτῷ τὸ φάσμα· „Ὁ σός, ὦ Βροῦτε, δαίμων κακός· ὄψει δέ με περὶ Φιλίππους." καὶ ὁ Βροῦτος οὐ διαταρθαχεὶς, „Ὀψομαι," εἶπεν.

XXXVII. Ἀφανισθέντος δ' αὐτοῦ, τοὺς παῖ-
1001 δας ἐκάλει· καὶ μήτ' ἀκοῦσαι τινα φωνὴν, μήτ' ἰδεῖν ὄψιν φασκόντων, τότε μὲν ἐπηγρύπνησεν· ἅμα δ' ἡμέρᾳ τραπόμενος πρὸς Κάσσιον ἔφραζε τὴν ὄψιν. Ὁ δὲ, τοῖς Ἐπικούρου λόγοις χρώμενος, καὶ

περὶ τούτων ἔθος ἔχων διαφέρεσθαι πρὸς τὸν Βροῦτον· „Ἡμέτερος οὗτος, εἶπεν, ὦ Βροῦτε, λόγος, ὡς οὐ πάντα πάσχομεν ἀληθῶς, οὐδ' ὁρῶμεν, ἀλλ' ὑγρὸν μέν τι χρῆμα καὶ ἀπατηλὸν αἴσθησις· ἔτι δ' ὀξυτέρα ἡ διάνοια κινεῖν αὐτὸ καὶ μεταβάλλειν ἀπ' οὐδενὸς ὑπάρχοντος ἐπὶ πᾶσαν ἰδέαν. Κηρῷ μὲν γὰρ ἔοικεν ἡ τύπωσις, ψυχὴ δ' ἀνθρώπου, τὸ πλαττόμενον καὶ τὸ πλάττον ἔχούσῃ, τὸ αὐτὸ ῥᾷστα ποικίλλειν αὐτὴν καὶ σχηματίζειν δι' ἑαυτῆς ὑπάρχει. Δηλοῦσι δ' αἱ κατὰ τοὺς ὕπνους τροπαὶ τῶν ὀνείρων, ὃς τρέπεται τὸ φανταστικὸν ἐξ ἀρχῆς βραχείας, παντοδαπὰ καὶ παθη καὶ εἴδωλα γινόμενον. Κινεῖσθαι δ' ἀεὶ πέφυκεν· κίνησις δ' αὐτῷ, φαντασία τις καὶ νόησις. Σοὶ δὲ καὶ τὸ σῶμα ταλαιπωρούμενον φύσει τὴν διάνοιαν αἰωρεῖ καὶ παραφορεῖ. Δαίμονας δ' οὔτ' εἶναι πιθανὸν, οὔτ' ὄντας ἀνθρώπων ἔχειν εἶδος, ἢ φωνὴν, ἢ δύναμιν εἰς ἡμᾶς διήκουσαν· ὡς ἔγωγ' ἂν ἐβουλόμην, ἵνα μὴ μόνον ὅπλοις καὶ ἵπποις καὶ ναυσὶ τοσαύταις, ἀλλὰ καὶ θεῶν ἀρωγαῖς ἐπεθαρροῦμεν, ὁσιωτάτων ἔργων καὶ καλλίστων ἡγεμόνες ὄντες." Τοιούτοις μὲν ὁ Κάσσιος ἐπῴδα λόγοις τὸν Βροῦτον. Ἐμβαινόντων δὲ τῶν στρατιωτῶν, ἐπὶ τὰς πρώτας σημαίας ἄετοὶ δύο συγκατασκήψαντες ὁμοῦ, συνδιεκυμίζοντο καὶ παρηκολούθουν ὑπὸ τῶν στρατιωτῶν τρεφόμενοι μέχρι Φιλίππων. Ἐκεῖ δ' ἡμέρᾳ μιᾷ πρὸ τῆς μάχης ᾤχοντο ἀποπταμένοι.

XXXVIII. Τὰ μὲν οὖν πλεῖστα τῶν ἐν ποσὶν ἐθνῶν ἐτύγχανεν ὁ Βροῦτος ὑπήκοα πεποιημένος. Εἰ δέ τις ἢ πόλις ἢ δυνάστης παρεῖτο, τότε πάντας προσαγόμενοι, μέχρι τῆς κατὰ Θάσον θαλάσσης προῆλθον. Ἐκεῖ δὲ τῶν περὶ Νορβανὸν ἐν τοῖς Στενοῖς λεγομένοις καὶ περὶ τὸ Σύμβολον στρατοπεδευόντων, περιελθόντες αὐτοὺς ἠνάγκασαν ἀποστῆναι καὶ προέσθαι τὰ χωρία. Μικροῦ δὲ καὶ τὴν δύναμιν αὐτῶν λαβεῖν ἐδέησαν, ὑπολιπομένου διὰ νόσον Καίσαρος, εἰ μὴ προσβαθηθεὶς Ἀντω-

νιος, ὀξύτητι θαυμαστῇ χρησάμενος, ὥστ' ἀπιστεῖν τοὺς περὶ Βροῦτον. Ἦλθε δὲ Καῖσαρ ὕστερον ἡμέρας δέκα, καὶ κατεστρατοπέδευσεν ἐναντίον Βρούτου, Κασσίου δ' Ἀντώνιος. Τὰ δ' ἐν μέσῳ τῶν στρατοπέδων πεδία Ῥωμαῖοι κάμπους Φιλίππους καλοῦσι· καὶ μέγιστα τότε Ῥωμαίων δυνάμεις ἀλλήλαις συνεφέροντο. Πλήθει μὲν οὖν οὐ παρ' ὀλίγον ἐλείποντο τῶν περὶ Καίσαρα, κόσμῳ δ' ὅπλων καὶ λαμπρότητι θαυμαστὸν ἐξέφαινε τὸ Βρούτου στράτευμα. Χρυσὸς γὰρ ἦν αὐτοῖς τὰ πλεῖστα τῶν ὅπλων, καὶ ἄργυρος ἀφειδῶς καταχορηγηθείς· καίπερ εἰς τἆλλα τοῦ Βρούτου σώφρονι διαίτῃ καὶ κεκολασμένῃ χρῆσθαι τοὺς ἡγεμόνας ἐθίζοντος. Τὸν δ' ἐν χερσὶ καὶ περὶ τὸ σῶμα πλοῦτον ὤετό τι καὶ φρονήματος παρέχειν τοῖς φιλοτιμοτέρους· τοὺς δὲ φιλοκερδεῖς καὶ μαχιμωτέρους ποιεῖν ὥσπερ κτημάτων τῶν ὅπλων περιεχομένους.

XXXIX. Οἱ μὲν οὖν περὶ Καίσαρα καθαρμὸν ἐν τῷ χάρακι ποιησάμενοι, μικρόν τι σίτου καὶ δραχμὰς κατ' ἄνδρα πέντε διένειμαν εἰς θυσίαν· οἱ δὲ περὶ Βροῦτον, καταγνόντες αὐτῶν τῆς ἀπορίας, ἢ μικρολογίας, πρῶτον μὲν ἐν ὑπαίθρῳ τὸν στρατὸν, ὥσπερ ἔθος ἐστὶν, ἐκάθηραν, ἔπειθ' ἱερείων πλήθη κατὰ λόχους, καὶ δραχμὰς ἑκάστῳ πεντήκοντα διαδόντες, εὐνοίᾳ καὶ προθυμίᾳ τῆς δυνάμεως πλέον εἶχον. Οὐ μὴν ἀλλὰ σημεῖον ἐν τῷ καθαρμῷ μοχθηρὸν ἔδοξε Κασσίῳ γενέσθαι. Τὸν γὰρ στέφανον αὐτῷ κατεστραμμένον ὁ ῥαβδοῦχος προσήνεγκε. Λέγεται δὲ καὶ πρότερον ἐν θέᾳ τινὶ καὶ πομπῇ χρυσῆν Κασσίου νίκην διαφερομένην πεσεῖν, ὀλισθόντος τοῦ φέροντος. Ἔτι δ' ὄρνεά τε σαρκοφάγα πολλὰ καθ' ἡμέραν ἐπεφαίνετο τῷ στρατοπέδῳ, καὶ μελισσῶν ὤφθησαν ἔσμοι συνιστάμενοι περὶ τόπον τινὰ τοῦ χάρακος ἐντός, ὃν ἐξέκλεισαν οἱ μάντεις, ἀφοσιούμενοι τὴν δεισιδαιμονίαν, ἀτρέμα καὶ τὸν Κάσσιον αὐτὸν ὑποφέρουσαν ἐκ τῶν Ἐπικούρου λόγων, τοὺς δὲ στρατιώτας πιν-

τάπασι δεδουλωμένην. Ὅθεν οὐδ' ἦν πρόθυμος διὰ μάχης ἐν τῷ παρόντι γεγέσθαι τὴν κρίσιν· ἀλλὰ τρίβειν ἠξίου χρόνῳ τὸν πόλεμον, ἐρρωμένους χρήμασιν, ὅπλων δὲ καὶ σωμάτων πλήθει λειπομένους. Βροῦτος δὲ καὶ πρότερον ἔσπευδε τῷ ταχίστῳ τῶν κινδύνων διακριθεὶς, ἢ τῇ πατρίδι τὴν ἐλευθερίαν ἀναλαβεῖν, ἢ πάντας ἀνθρώπους, ἐνοχλουμένους δαπάναις καὶ στρατείαις καὶ προστάγμασιν, ἀπαλλάξαι κακῶν. Καὶ τότε τοὺς περὶ αὐτὸν ἱππεῖς ὁρῶν ἐν τοῖς προάγωσι καὶ ταῖς ἀψιμαχίαις εὐημεροῦντας καὶ κρατοῦντας, ἐξῆρτο τὸ φρόνημα· καί τινες αὐτομολίαι γενόμεναι πρὸς τοὺς πολεμίους, καὶ διαβολαὶ καθ' ἑτέρων καὶ ὑπόνοιαι, πολλοὺς τῶν Κασσίου φίλων μετέστησαν ἐν τῷ συνεδρίῳ πρὸς Βροῦτον. Εἷς δὲ τῶν Βρούτου φίλων, Ἀτέλλιος, ἠναντιοῦτο, τὸν γε χειμῶνα περιμεῖναι κελεύων. Ἐρομένου δὲ τοῦ Βρούτου, τίνι βελτίων ἔσεσθαι νομίζει μετ' ἐνιαυτὸν, „Εἰ μηδὲν, εἶπεν, ἄλλο, πλείω βιώσομαι χρόνον.“ Πρὸς τοῦτο Κάσσιος ἐδυσχέρανε, καὶ τοῖς ἄλλοις προσέκρουσεν οὐ μετρίως ὁ Ἀτέλλιος. Ἐδόκουν δὴ μάχεσθαι τῇ ὑστεραίᾳ.

XLI. Καὶ Βροῦτος μὲν ἐν ἐλπίσι καλαῖς καὶ λογισμοῖς φιλοσόφοις γενόμενος παρὰ τὸ δεῖπνον, ἀνεπαύετο· Κάσσιον δὲ Μεσσάλας φησὶ δειπνεῖν τε καθ' ἑαυτὸν, ὀλίγους τῶν συνήθων παραλαβόντα, καὶ σύννουν ὁρᾶσθαι καὶ σιωπηλὸν, οὐ φύσει τοιοῦτον ὄντα· παυσαμένου δὲ τοῦ δείπνου, λαβόμενον τῆς χειρὸς αὐτοῦ σφόδρα, τοσοῦτον εἰπεῖν, ὥστε εἰσθεῖ φιλοφρονούμενος, Ἑλληνικῇ φωνῇ· „Μαρτύρομαί σε, Μεσσάλα, ταῦτα Πομπηίῳ Μάγνῳ πάσχειν, ἀναγκαζόμενος διὰ μιᾶς μάχης ἀναῤῥίψαι τὸν περὶ τῆς πατρίδος κύβον. Ἀγαθὴν μέντοι ψυχὴν ἔχομεν, εἰς τὴν τύχην ἀφορῶντες· ἢ, κἂν βουλευσώμεθα κακῶς, ἀπιστεῖν οὐ δίκαιον.“ Ταῦτα εἰπόντα, φησὶν ὁ Μεσσάλας, τελευταῖα πρὸς αὐτὸν, ἀσπάσασθαι τὸν Κάσσιον· εἶναι δὲ κεκλημένον εἰς τὴν ὑστεραίαν ἐπὶ δεῖπνον ὑπ' αὐτοῦ, γενέθλιον

οὖσαν. Ἅμα δ' ἡμέρᾳ προῦκειτο μὲν τῷ Βρούτου χάρακι καὶ τῷ Κασσίου σύμβολον ἀγῶνος, φοινικοῦς χιτῶνες· αὐτοὶ δὲ συνῆλθον εἰς τὸ μέσον τῶν στρατοπέδων, καὶ λέγει Κάσσιος· „Εἴη μὲν, ὦ Βροῦτε, νικᾶν, καὶ συνεῖναι τὸν πάντα χρόνον ἀλλήλοις εὖ πράξαντας· ἐπεὶ δὲ τὰ μέγιστα τῶν ἀνθρωπίνων πραγμάτων ἀδηλότατα, καὶ τῆς μάχης παρὰ γνώμην κριθείσης, οὐ ῥᾴδιον αὖθις ἀλλήλους ἰδεῖν, τί γινώσκεις περὶ φυγῆς καὶ τελευτῆς;" Καὶ ὁ Βροῦτος ἀπεκρίνατο· „Νέος ὢν ἐγὼ, Κάσσιε, καὶ πραγμάτων ἄπειρος, οὐκ οἶδ', ὅπως ἐν φιλοσοφίᾳ λόγον ἀφῆκα μέγαν. Ἡτιασάμην Κάτωνα διαχρησάμενον ἑαυτὸν, ὡς οὐχ ὅσιον, οὐδ' ἀνδρὸς ἔργον ὄν, ὑποχωρεῖν τῷ δαίμονι, καὶ μὴ δέχεσθαι τὸ συμπίπτον ἁδεῶς, ἀλλ' ἀποδιδράσκειν. Νυνὶ δ' ἀλλοῖος ἐν ταῖς τύχαις γίνομαι· καὶ θεοῦ καλῶς τὰ παρόντα μὴ βραβεύσαντος, οὐ δέομαι πάλιν ἄλλας ἐλπίδας ἐξελέγχειν καὶ παρασκευὰς, ἀλλ' ἀπαλλάξομαι, τὴν τύχην ἐπαινῶν, ὅτι Μαρτίαις εἰδοῖς δοὺς τῇ πατρίδι τὸν ἐμαυτοῦ βίον, ἄλλον ἔζησα δι' ἐκείνην ἐλεύθερον καὶ ἔνδοξον." Ἐπὶ τούτοις Κάσσιος ἐμειδίασε, 1003 καὶ τὸν Βροῦτον ἀσπασάμενος, „Ταῦτα, ἔφη, φρονοῦντες, ἴωμεν ἐπὶ τοὺς πολεμίους. Ἢ γὰρ νικήσομεν, ἢ νικῶντας οὐ φοβηθησόμεθα." Μετὰ ταῦτα περὶ τάξεως αὐτοῖς λόγος ἐγένετο, τῶν φίλων παρόντων. Καὶ Βροῦτος ἠτεῖτο Κάσσιον αὐτὸς ἡγεῖσθαι τοῦ δεξιοῦ κέρατος, ὃ δι' ἐμπειρίαν καὶ ἡλικίαν μᾶλλον ὤοντο Κασσίῳ προσήκειν. — Οὐ μὴν ἀλλὰ καὶ τοῦτο Κάσσιος ἔδωκε, καὶ τῶν ταγμάτων τὸ μαχιμώτατον ἔχοντα Μεσσάλαν ἐκέλευσεν ἐπὶ τοῦ δεξιοῦ καταστῆναι. Καὶ Βροῦτος εὐθὺς ἐξῆγε τοὺς ἱππεῖς κεκοσμημένους διαπρεπῶς, καὶ τὸ πεζὸν οὐ σχολαίτερον παρενέβαλλεν.

XLI. Ἔτυχον δ' οἱ περὶ Ἀντώνιον ἀπὸ τῶν ἑλῶν, οἷς περιεστρατοπέδευσαν, ἐμβάλλοντες τάφρους εἰς τὸ πεδίον, καὶ τὰς ἐπὶ θάλασσαν ὁδοὺς τοῦ Κασσίου περικόπτοντες. Ἐφήδρευε δὲ Καῖσαρ, οὐ παρὼν αὐτὸς δι' ἀσθένειαν, ἀλλ' ἡ δύναμις, οὐ πάνυ

μαχεῖσθαι προσδοκῶσα τοὺς πολεμίους, ἀλλὰ μόνον ἐκδρομαῖς χρήσεσθαι πρὸς τὰ ἔργα, καὶ βέλεσιν ἐλαφροῖς καὶ θορύβοις τοὺς ὀρύσσοντας ἐπιταράξειν· καὶ τοῖς ἀντιτεταγμένοις οὐ προσέχοντες, ἐθαύμαζον τὴν περὶ τὰς τάφρους κραυγήν, ἄσημον οὖσαν, καὶ πολλὴν προσφερομένην. Ἐν τούτῳ γραμματείων τε παρὰ Βρούτου τοῖς ἡγεμόσι φοιτώντων, ἐν οἷς ἦν τὸ σύνθημα γεγραμμένον, αὐτοῦ τε παρεξιόντος ὅπῃ τὰ τάγματα, καὶ παραθαρρύνοντος, ὀλίγοι μὲν ἔφθασαν ἀκοῦσαι τὸ σύνθημα παρεγγυώμενον· οἱ δὲ πλεῖστοι μὴ προσμείναντες, ὁρμῇ μιᾷ καὶ ἀλαλαγμῷ προσεφέροντο τοῖς πολεμίοις. Γενομένης δὲ δι' ἀταξίαν ταύτην ἀνωμαλίας καὶ διασπασμοῦ τῶν ταγμάτων, τὸ Μεσσάλα πρῶτον, εἶτα τὰ συνεζευγμένα παρήλλαττε τὸ Καίσαρος ἀριστερόν· καὶ βραχέα τῶν ἐσχάτων θιγόντες, καὶ καταβάλόντες οὐ πολλοὺς, ἀλλ' ὑπερκεράσαντες, ἐμπίπτουσιν εἰς τὸ στρατόπεδον. Καὶ Καῖσαρ μὲν, ὡς αὐτὸς ἐν τοῖς ὑπομνήμασιν ἱστορεῖ, τῶν φίλων τινὸς, Ἀρτωρίου Μάρκου, καθ' ὕπνον ἰδόντος ὄψιν κελεύουσαν ἐκστῆναι Καίσαρα, καὶ μετελθεῖν ἐκ τοῦ χάρακος, ἔφθασε μικρὸν ὑπεκκομισθείς, ἐδοξέ τε τεθνάναι. Τὸ γὰρ φορεῖον κενὸν ἀκοντίοις καὶ ὑσσοῖς βάλλοντες διήλασαν. Ἦν δὲ φόνος ἐν τῷ στρατοπέδῳ τῶν ἁλισκομένων, καὶ δισχίλιοι Λακεδαιμονίων, ἥκοντες ἐπίκουροι νεωστὶ, συγκατεκόπησαν.

XLII. Οἱ δὲ μὴ κυκλωσάμενοι τοὺς Καίσαρος, ἀλλὰ συνεμπεσόντες, ῥᾳδίως μὲν ἀπετρέψαντο τεταραγμένους, καὶ διέφθειραν ἐν χεροῖν τρία τάγματα, καὶ συνεισέπεσον εἰς τὸ στρατόπεδον τοῖς φεύγουσιν, ὑπὸ ῥύμης τοῦ κρατεῖν συνενεχθέντες, μεθ' ἑαυτῶν ἔχοντες τὸν Βροῦτον. Ὁ δ' οὐ συνεῖδον οἱ νικῶντες, ἐδείκνυε τοῖς ἡττημένοις ὁ καιρός. Εἰς γὰρ τὰ γυμνὰ καὶ παραῤῥηγνύμενα τῆς ἐναντίας φάλαγγος, ἢ τὸ δεξιὸν ἀπεσπάσθη πρὸς τὴν δίωξιν, ὠσάμενοι, τὸ μὲν μέσον οὐκ ἐξέωσαν, ἀλλ' ἀγῶνι μεγάλῳ συνείχοντο· τὸ δ' εὐώνυμον ἀταξίᾳ καὶ ἀγνοίᾳ

τῶν γενομένων ἐτρέψαντο, καὶ καταδιώξαντες εἰς τὸν χάρακα διεπόρθουν, οὐδετέρου τῶν αὐτοκρατόρων παρόντος. Ἀντώνιός τε γὰρ, ὡς φασιν, ἐκκλίνας ἐν ἀρχῇ τὴν ἔφοδον, εἰς τὸ ἕλος ἀνεχώρησε, καὶ Καῖσαρ οὐδαμοῦ φανερὸς ἦν, ἐκπεσὼν τοῦ χάρακος· ἀλλὰ Βρούτῳ τινὲς, ὡς ἀνηρηκότες αὐτὸν, ἐπεδείκνυον ἡμαγμένα τὰ ξίφη, φράζοντες ἰδέαν, ἣν εἶχε, καὶ ἡλικίαν. Ἤδη δὲ τὸ μέσον ἐξεώκει φόνῳ πολλῷ τοὺς ἀντιτεταγμένους, καὶ παντελῶς ἐδόκει κρατεῖν ὁ Βροῦτος, ὥσπερ ὁ Κάσσιος κρατεῖσθαι. Καὶ τοῦτο μόνον αὐτῶν διέφθειρε τὰ πράγματα, τοῦ μὲν, ὡς νικῶντι, Κασσίῳ μὴ βοηθήσαντος, τοῦ δὲ Βροῦτον, ὡς ἀπολωλότα, μὴ περιμείναντος· ἐπεὶ τῆς γε νίκης ὅρον ὁ Μεσσάλας τίθεται τὸ τρεῖς
1004 ἀετοὺς καὶ πολλὰ σημεῖα λαβεῖν τῶν πολεμίων, ἐκείνους δὲ μηδέν. Ἀναχωρῶν δ' ὁ Βροῦτος, ἤδη διαπεπορθημένων τῶν Καίσαρος, ἐθαύμασε, τὸ Κασσίου στρατήγιον οὐχ ὁρῶν ὑψηλὸν, ὥσπερ εἰώθει, περιφαινόμενον, οὐδὲ τἆλλα κατὰ χώραν· ἠρείπτο γὰρ εὐθὺς τὰ πλεῖστα, καὶ κατέσπαστο, τῶν πολεμίων ἐμπεσόντων. Ἀλλ' οἱ δοκοῦντες ὀξύτερον βλέπειν τῶν ἑτέρων, ἔφραζον αὐτῷ, πολλὰ μὲν ὁρᾶν κράνη λάμποντα, πολλοὺς δ' ἀργυροῦς θύρεους ἐν τῷ χάρακι τοῦ Κασσίου διαφερομένους· οὔκουν δοκεῖν αὐτοῖς οὔτ' ἀριθμὸν, οὐθ' ὁπλισμὸν, εἶναι τῶν ἀπολελειμμένων φυλάκων· οὐ μὴν οὐδὲ πλῆθος ἐπέκεινα φαίνεσθαι νεκρῶν, ὅσον εἰκὸς ἦν νενικημένων κατὰ κράτος ταγμάτων τοσούτων. Ταῦτα πρῶτον ἔννοιαν κατέστησε τῷ Βρούτῳ τοῦ συμπτώματος· καὶ καταλιπὼν φρουρὰν ἐν τῷ στρατοπέδῳ τῶν πολεμίων, ἀνεκαλεῖτο τοὺς διώκοντας, καὶ συνῆγεν, ὡς Κασσίῳ βοηθήσων.

XLIII. Ἐπέπρακτο δ' οὕτω τὰ κατ' αὐτόν. Οὔτε τὴν πρώτην ἐκδρομὴν τῶν περὶ Βροῦτον ἡδέως εἶδεν, ἄνευ συνθήματος καὶ προστάγματος γενομένην· οὔθ' ὅτι κρατοῦντες εὐθὺς ὥρμησαν ἐφ' ἁρπαγὴν καὶ ὠφέλειαν, τοῦ περιέναι καὶ κυκλοῦσθαι τοὺς πολεμίους ἀμελήσαντες, ἤρεσκεν αὐτῷ

τὰ πραττόμενα. Μελλήσει δέ τινι καὶ διατριβῇ μᾶλλον, ἢ προθυμίᾳ καὶ λογισμῷ στρατηγῶν, ὑπὸ τοῦ δεξιοῦ τῶν πολεμίων περιελαμβάνετο· καὶ τῶν ἱππέων εὐθὺς ἀποῤῥαγέντων φυγῇ πρὸς τὴν θάλασσαν, ὁρῶν καὶ τοὺς πεζοὺς ἐνδιδόντας, ἐπειρᾶτο κατέχειν καὶ παρακαλεῖν. Ἑνὸς δὲ σημειοφόρου φεύγοντος, ἁφαρπάσας τὸ σημεῖον ἔπηξε πρὸ τῶν ποδῶν, μηδὲ τῶν περὶ τὸ σῶμα τεταγμένων αὐτοῦ προθύμως ἔτι συμμενόντων. Οὕτω δὴ βιασθεὶς ἀνεχώρησε μετ' ὀλίγων ἐπὶ λόφον ἔχοντα πρὸς τὸ πεδίον σκοπάς. Ἀλλ' αὐτὸς μὲν οὐδὲν κατεῖδεν, ἡ μόλις τὸν χάρακα πορθούμενον· ἦν γὰρ ἀσθενὴς τὴν ὄψιν. Οἱ δὲ περὶ αὐτὸν ἱππεῖς ἑώρων πολλοὶ προσελαύνοντας, οὓς ὁ Βροῦτος ἔπεμψεν. Εἴκασε δ' ὁ Κάσσιος πολεμίους εἶναι, καὶ διώκειν ἐπ' αὐτόν. Ὅμως δὲ τῶν παόντων ἕνα, Τιτίνιον, ἀπέστειλε κατοψόμενον. Οὗτος οὐκ ἐλαθε τοὺς ἱππέας προσιὼν, ἀλλ' ὡς εἶδον ἄνδρα φίλον, καὶ Κασσίῳ πιστὸν, ἀλαλάξαντες ὑφ' ἡδονῆς, οἱ μὲν συνήθεις ἠσπάζοντό τε καὶ ἐδεξιοῦντο, καταπηδῶντες ἀπὸ τῶν ἵππων, οἱ δ' ἄλλοι περὶ αὐτὸν ἐν κύκλῳ περιελαύνοντες ἅμα παιᾶνι καὶ πατάγῳ διὰ χαρᾶς ἀμετρίαν, τὸ μέγιστον ἀπειργάσαντο κακόν. Ἔδοξε γὰρ ὁ Κάσσιος ἀληθῶς ὑπὸ τῶν πολεμίων ἔχεσθαι τον Τιτίννιον. Καὶ τοῦτο δὴ φήσας ,,Φιλοψυχοῦντες ἀνεμείναμεν ἄνδρα φίλον ἁρπαζόμενον ὑπὸ τῶν πολεμίων ἰδεῖν" ἀπεχώρησεν εἴς τινα σκηνὴν ἔρημον, ἕνα τῶν ἀπελευθέρων ἐφελκυσάμενος, Πίνδαρον, ὃν ἐκ τῶν κατὰ Κράσσον ἀτυχημάτων ἐπὶ ταύτην εἶχε τὴν ἀνάγκην ὑφ' αὐτοῦ παρεσκευασμένον. Ἀλλὰ Πάρθους μὲν διέφυγε, τότε δὲ τὰς χλαμύδας ἐπὶ τὴν κεφαλὴν ἀναγαγὼν καὶ γυμνώσας τὸν τράχηλον ἀποκόψαι παρέσχεν. Εὑρέθη γὰρ ἡ κεφαλὴ δίχα τοῦ σώματος. Τὸν δὲ Πίνδαρον οὐδεὶς εἶδεν ἀνθρώπων μετὰ τὸν φόνον· ἐξ οὗ καὶ παρέσχεν ἐνίοις δόξαν ἀνελεῖν τὸν ἄνδρα μὴ κελευσθείς. Ὀλίγῳ δ' ὕστερον οἱ ἱππεῖς ἐγένοντο φανεροὶ, καὶ Τιτίννιος ἐστεφανωμένος ὑπ' αὐτῶν ἀφῖκει πρὸς Κάσ-

σιον. Ὡς δὲ κλαυθμῷ καὶ βοῇ τῶν φίλων ὀδυρομένων καὶ δυσφορούντων ἔγνω τὸ πάθος τοῦ στρατηγοῦ καὶ τὴν ἄγνοιαν, ἐσπάσατο τὸ ξίφος, καὶ πολλὰ κακίσας τῆς βραδυτῆτος ἑαυτὸν ἀπέσφαξε.

XLIV. Βροῦτος δὲ, τὴν μὲν ἧτταν ἐγνωκὼς τοῦ Κασσίου, προσήλαυνε, τὸν δὲ θάνατον ἔγγὺς ἤδη
1005 τοῦ χάρακος ἤκουσε. Καὶ τὸ μὲν σῶμα περικλαύσας, καὶ προσαγορεύσας ἔσχατον ἄνδρα Ῥωμαίων τὸν Κάσσιον, ὡς οὐκ ἔτι τῇ πόλει τηλικούτου φρονήματος ἐγγενέσθαι δυναμένου, περιέστειλε καὶ ἀπέπεμψεν εἰς Θάσον, ὡς μὴ συγχυσιν αὐτόθι παράσχοι κηδευόμενον. Αὐτὸς δὲ τοὺς στρατιώτας συναγαγὼν παρεμυθήσατο, καὶ πάντων ὁρῶν ἀπεστερημένους τῶν ἀναγκαίων, ὑπέσχετο κατ' ἄνδρα δισχιλίας δραχμὰς ἀντὶ τῶν ἀπολωλότων. Οἱ δὲ πρός τε τοὺς λόγους ἀνεθάρρησαν αὐτοῦ, καὶ τῆς δωρεᾶς ἐθαύμασαν τὸ μέγεθος καὶ μετὰ βοῆς προὔπεμψαν ἀπιόντα, μεγαλύνοντες ὡς μόνον ἀήττητον ἐν τῇ μάχῃ τῶν τεσσάρων αὐτοκρατόρων γεγενημένον. Ἐμαρτύρει δὲ τὸ ἔργον, ὅτι τῇ μάχῃ περιέσεσθαι καλῶς ἐπίστευεν. Ὀλίγοις γὰρ ταγμάσιν ἅπαντας ἐτρέψατο τοὺς ἀντιστάντας. Εἰ δὲ πᾶσιν ἐχρήσατο πρὸς τὴν μάχην, καὶ μὴ παρελθόντες οἱ πλεῖστοι τοὺς πολεμίους ἐπὶ τὰ τῶν πολεμίων ὥρμησαν, οὐδὲν ἂν ἐδόκει μέρος αὐτῶν ἀπολιπεῖν ἀήττητον.

XLV. Ἔπεσον δὲ τούτων μὲν ὀκτακισχίλιοι σὺν τοῖς στρατευομένοις οἰκέταις, οὓς Βρύγας ὁ Βροῦτος ὠνόμαζε· τῶν δ' ἐναντίων Μεσσάλας φησὶν οἴεσθαι πλείους, ἢ διπλασίους. Διὸ καὶ μᾶλλον ἠθύμουν ἐκεῖνοι, πρὶν ἢ Κασσίου θεράπων, ὄνομα Δημήτριος, ἀφίκετο πρὸς Ἀντώνιον ἑσπέρας, εὐθὺς ἀπὸ τοῦ νεκροῦ τὰς χλαμύδας λαβὼν καὶ τὸ ξίφος. Ὧν κομισθέντων, οὕτως ἐθαρρήσαν, ὥστε ἅμ' ἡμέρᾳ προάγειν ὡπλισμένην ἐπὶ μάχῃ τὴν δύναμιν. Βρούτῳ δὲ τῶν στρατοπέδων ἑκατέρου σαλεύοντος ἐπισφαλῶς, (τὰ μὲν γὰρ αὐτοῦ καταπεπλη-

ὁμένον αἰχμαλώτων ἐδεῖτο φυλακῆς ἀκριβοῦς, τὸ δὲ Κασσίου τὴν μεταβολὴν τοῦ ἄρχοντος οὐ ῥᾳδίως ἔφερεν, ἀλλὰ καὶ φθόνου τι καὶ μίσους ἡττημένοις ἐνῆν αὐτοῖς πρὸς τὸ νενικηκὸς,) ὁπλίσαι μὲν ἔδοξε τὸ στράτευμα, μάχης δ' ἀπέσχετο. Τῶν δ' αἰχμαλώτων τὸ μὲν δουλικὸν πλῆθος ἐνειλούμενον ὑπόπτως τοῖς ὅπλοις ἐκέλευσεν ἀναιρεθῆναι, τῶν δ' ἐλευθέρων τοὺς μὲν ἀπέλυε, φάσκων, ὑπὸ τῶν πολεμίων μᾶλλον ἠλωκέναι αὐτοὺς, καὶ παρ' ἐκείνοις αἰχμαλώτους εἶναι καὶ δούλους, παρ' αὐτῷ δ' ἐλευθέρους καὶ πολίτας. Ὡς δὲ τοὺς φίλους ἐώρα καὶ τοὺς ἡγεμόνας ἀδιαλλάκτως ἔχοντας, ἀποκρύπτων καὶ συνεκπέμπων ἔσωζεν. Ἦν δέ τις Βολούμνιος μῖμος καὶ Σακουλίων γελωτοποιὸς ἡλωκότες, οὓς ἐν οὐδενὶ λόγῳ τιθεμένου τοῦ Βρούτου, προσάγοντες οἱ φίλοι κατηγόρουν, ὡς οὐδὲ νῦν τοῦ λέγειν καὶ σκώπτειν πρὸς ὕβριν αὐτῶν ἀπεχομένους. Ἐπεὶ δὲ Βροῦτος μὲν ἐσίγα, πρὸς ἑτέραις ὢν φροντίσι, Μεσσάλας δὲ Κορβίνος ἐδικαίου πληγαῖς κολασθέντας ἐπὶ σκηνῆς γυμνοὺς ἀποδοθῆναι τοῖς στρατηγοῖς τῶν πολεμίων, ὅπως εἰδῶσιν, οἵων δέονται στρατευόμενοι συμποτῶν καὶ συνήθων· ἔνιοι μὲν τῶν παρόντων ἐγέλασαν, Πόπλιος δὲ Κάσκας, ὁ πρῶτος Καίσαρα πατάξας· „Οὐ καλῶς, ἔφη, τεθνηκότι Κασσίῳ παίζοντες καὶ γελωτοποιοῦντες ἐναγίζομεν· σὺ δ', εἶπεν, ὦ Βροῦτε, δείξεις, ὅπως ἔχεις μνήμης πρὸς τὸν στρατηγὸν, ἢ κολάσας, ἢ φυλάξας τοὺς χλευασομένους καὶ κακῶς ἐροῦντας αὐτόν.“ Πρὸς τοῦτο Βροῦτος εὖ μάλα δυσχεράνας· „Τί οὖν, εἶπεν, ἡμοῦ πυνθάνεσθε, Κάσκα, καὶ οὐ πράττετε τὸ δόξαν ὑμῖν;“ Ταύτην ἐκείνου τὴν ἀπόκρισιν συνηπατάθεσιν ποιησάμενοι κατὰ τῶν ἀθλίων ἀνθρώπων, διέφθειραν αὐτοὺς ἀπαγαγόντες.

XLVI. Ἐκ τούτου τὴν δωρεὰν ἀπέδωκε τοῖς στρατιώταις, καὶ μικρὸν μεμψάμενος ἐπὶ τῷ τὸ σύνθημα μὴ λαβόντας ἄνευ παραγγέλματος ἀτακτότερον ἐναλέσθαι τοῖς πολεμίοις, ὑπέσχετο καλῶς ἀγωνισαμένοις δύο πόλεις εἰς ἁρπαγὴν καὶ ὠφέλειαν

1006 ἀνήσειν, Θεσσαλονίκην καὶ Λακεδαίμονα. Τοῦτο τῷ Βρούτου βίῳ μόνον ἔνεστι τῶν ἐγκλημάτων ἀναπολόγητον· εἰ καὶ πολὺ τούτων δεινότερα νικητήρια τοῖς στρατευομένοις Ἀντωνίου καὶ Καίσαρ ἐξέτισαν, ὀλίγου δεῖν πάσης Ἰταλίας τοὺς παλαιοὺς οἰκήτορας ἐξελάσαντες, ἵνα χώραν ἐκεῖνοι καὶ πόλεις τὰς μὴ προσηκούσας λάβωσιν. Ἀλλὰ τούτους μὲν ἄρχειν καὶ κρατεῖν ὑπέκειτο τὸ τοῦ πολέμου τέλος, Βρούτῳ δὲ διὰ δόξαν ἀρετῆς οὔτε νικᾶν, οὔτε σώζεσθαι, συνεχωρεῖτο παρὰ τῶν πολλῶν, ἢ μετὰ τοῦ καλοῦ καὶ δικαίου καὶ ταῦτα, Κασσίου τεθνηκότος, ὃς αἰτίαν εἶχε καὶ Βροῦτον ἐνάγειν εἰς ἕνια τῶν βιαιοτέρων. Ἀλλ' ὥσπερ ἐν πλοίῳ, πηδαλίου συντριβέντος, ἕτερα ξύλα προσηλοῦν καὶ προσαρμόττειν ἐπιχειροῦσιν, οὐκ εὖ μὲν, ἀναγκαῖα δὲ, μαχόμενοι πρὸς τὴν χρείαν· οὕτω Βροῦτος ἐν δυνάμει τοσαύτῃ καὶ μετεώροις πράγμασιν οὐκ ἔχων ἰσορροποῦντα στρατηγὸν, ἠναγκάζετο χρῆσθαι τοῖς παροῦσι, καὶ πολλὰ πράσσειν καὶ λέγειν τῶν ἐκείνοις δοκούντων. Ἐδόκει δ', ὅσα τοὺς Κασσίου στρατιώτας ᾤετο βελτίους παρέξειν· δυσμεταχείριστοι γὰρ ἦσαν, ἐν μὲν τῷ στρατοπέδῳ δὲ ἀναρχίαν θρασυνόμενοι, πρὸς δὲ τοὺς πολεμίους διὰ τὴν ἧτταν ἀποδειλιῶντες.

XLVII. Οὐδὲν δὲ βέλτιον εἶχε τὰ πράγματα τοῖς περὶ Καίσαρα καὶ Ἀντώνιον, ἀγορᾷ τε χρωμένοις ἀναγκαίᾳ, καὶ διὰ κοιλότητα τοῦ στρατοπέδου χειμῶνα μοχθηρὸν προσδοκῶσιν. Εἰλούμενοι γὰρ πρὸς ἕλεσι, καὶ μετὰ τὴν μάχην ὄμβροις φθινοπωρινοῖς ἐπιγενομένοις, πηλοῦ κατεπίμπλαντο τὰς σκηνὰς, καὶ ὕδατος παραχρῆμα πηγνυμένου διὰ ψῦχος. Ἐν τούτῳ δ' οὖσιν αὐτοῖς ἦκον ἀγγελίαι περὶ τῆς κατὰ θάλατταν γενομένης ἀτυχίας περὶ τὴν στρατιάν. Ἐξ Ἰταλίας γὰρ πολλὴν κομιζομένην παρὰ Καίσαρος αἱ Βρούτου νῆες ἐπιπεσοῦσαι διέφθειραν, ὧν ὀλίγοι παντάπασι τοὺς πολεμίους διαφυγόντες, ὑπὸ λιμοῦ τῶν ἱστίων καὶ τῶν σχοινίων ἐσθίοντες διεγένοντο. Ταῦτ' ἀκούσαντες ἔσπευδον

διὰ μάχης κριθῆναι, πρὶν αἰσθέσθαι τὸν Βροῦτον, ὅσον αὐτῷ γέγονεν εὐτυχίας. Καὶ γὰρ μιᾷ ἡμέρᾳ συνέβη τόν τε κατὰ γῆν ἅμα καὶ τὸν κατὰ θάλατταν ἀγῶνα κριθῆναι. Τύχῃ δέ τινι μᾶλλον, ἢ παιδιᾷ, τῶν ἐν ταῖς ναυσὶν ἡγεμόνων ἠγνόησε τὸ κατόρθωμα Βροῦτος, ἡμερῶν εἴκοσι διαγενομένων. Οὐ γὰρ ἂν εἰς δευτέραν μάχην προῆλθε, τὰ μὲν ἀναγκαῖα τῇ στρατιᾷ παρεσκευασμένος εἰς πολὺν χρόνον, ἐν καλῷ δὲ τῆς χώρας ἱδρυμένος, ὥστε καὶ χειμῶνος ἀπαθὲς, καὶ πρὸς τοὺς πολεμίους δυσεκβίαστον ἔχειν τὸ στρατόπεδον· τῷ δὲ κρατεῖν βεβαίως τῆς θαλάττης, καὶ νενικηκέναι πεζῇ τὸ καθ' αὐτὸν, ἐπ' ἐλπίδων μεγάλων καὶ φρονήματος γεγονώς. Ἀλλὰ τῶν πραγμάτων, ὡς ἔοικεν, οὐκέτι πολλοῖς ὄντων καθεκτῶν, ἀλλὰ μοναρχίας δεομένων, ὃ θεὸς ἐξάγειν καὶ μεταστῆσαι τὸν μόνον ἐμποδὼν ὄντα τῷ κρατεῖν δυναμένῳ βουλόμενος, ἀπέκοψε τὴν τύχην ἐκείνην, καίπερ ἐγγυτάτω τοῦ μὴ λαθεῖν τὸν Βροῦτον ἀφικομένην. Μέλλοντος γὰρ αὐτοῦ μάχεσθαι, πρὸ μιᾶς ἡμέρας ὀψὲ Κλώδιός τις ἐκ τῶν πολεμίων αὐτόμολος ἦκεν ἀγγέλλων, ὅτι διεφθαρμένον ἠσθημένοι τὸν στόλον οἱ περὶ Καίσαρα, σπεύδουσι διαγωνίσασθαι. Ταῦτα λέγων ὁ ἄνθρωπος οὐκ εἶχε πίστιν· οὐδ' εἰς ὄψιν ἦλθε τῷ Βρούτῳ, καταφρονηθεὶς παντάπασιν, ὡς μηδὲν ἀκηκοὼς ὑγιὲς, ἢ τὰ ψευδῆ πρὸς χάριν ἀπαγγέλλων.

XLVIII. Ἐν ἐκείνῃ δὲ τῇ νυκτὶ πάλιν φασὶν εἰς ὄψιν ἐλθεῖν τὸ φάσμα τῷ Βρούτῳ, καὶ τὴν αὐτὴν ἐπιδειξάμενον ὄψιν, οὐδὲν εἰπεῖν, ἀλλ' οἴχεσθαι. Πόπλιος δὲ Βολούμνιος, ἀνὴρ φιλόσοφος καὶ συνεστρατευμένος ἀπ' ἀρχῆς Βρούτῳ, τοῦτο μὲν οὐ λέγει τὸ σημεῖον, μελισσῶν δέ φησι τὸν πρῶτον 1007 ἀετὸν ἀνάπλεων γενέσθαι· καὶ τῶν ταξιάρχων τινὸς ἀπ' αὐτομάτου τὸν βραχίονα μύρον ῥᾴδινον ἐξανθεῖν, καὶ πολλάκις ἐξαλείφοντας καὶ ἀπομάττοντας μηδὲν περαίνειν. Καὶ πρὸ τῆς μάχης αὐτῆς ἀετοὺς δύο συμπεσόντας ἀλλήλοις ἐν μεταιχμίῳ τῶν στρα-

τοπέδων μάχεσθαι· καὶ σιγὴν ἄπιστον ἔχειν τὸ πεδίον, θεωμένων ἁπάντων, εἶξαι δὲ καὶ φυγεῖν τὸν κατὰ Βροῦτον. Ὁ δ' Λιβίοψ περιβόητος γέγονεν, ὃ, τῆς πύλης ἀνοιχθείσης, ἀπαντήσας τῷ φέροντι τὸν ἀετὸν, καὶ κατακοπεὶς ταῖς μαχαίραις ὑπὸ τῶν στρατιωτῶν οἰωνισαμένων.

XLIX. Προαγαγὼν δὲ τὴν φάλαγγα, καὶ καταστήσας ἐναντίαν τοῖς πολεμίοις, ἐπεῖχε πολὺν χρόνον. Ὑποψίαι γὰρ αὐτῷ καὶ μηνύσεις κατά τινων προσέπιπτον ἐπισκοποῦντι τὸν στρατεύμα· καὶ τοὺς ἱππέας ἑώρα μάχης ἄρχειν οὐ πάνυ προθύμους ὄντας, ἀλλ' ἀεὶ προσμένοντας τὸ τῶν πεζῶν ἔργον. Εἶτ' ἐξαίφνης ἀνὴρ πολεμικὸς καὶ τετιμημένος ἐπ' ἀνδρείᾳ διαπρεπῶς, παρὰ τὸν Βροῦτον αὐτὸν ἐξιππασάμενος, μεταβάλλεται πρὸς τοὺς πολεμίους· Καμουλάτος δ' ἐκαλεῖτο. Τοῦτον ἰδὼν ὁ Βροῦτος ἠλέγξεν ἰσχυρῶς· καὶ τὰ μὲν ἀπ' ὀργῆς, τὰ δὲ φόβῳ μείζονος μεταβολῆς καὶ προδοσίας, εὐθὺς ἐπὶ τοὺς ἐναντίους ἦγεν, εἰς ὥραν ἐννάτην τοῦ ἡλίου καταφερομένου. Καὶ τῷ μὲν καθ' αὑτὸν ἐκράτησε μέρει, καὶ προῆλθεν ὑποχωροῦντι τῷ ἀριστερῷ τῶν πολεμίων ἐγκείμενος· καὶ συνεπέρρωσαν οἱ ἱππεῖς, ἅμα τοῖς πεζοῖς ἐμβαλόντες τεταραγμένοις. Τὸ δ' ἕτερον κέρας, ὡς μὴ κυκλωθείη, τῶν ἡγεμόνων ἀντιπαρεξαγόντων, πλήθει δὲ λειπομένων, διεσπᾶτο τὸ μέσον· καὶ γιγνόμενον ἀσθενὲς, οὐκ ἀντέσχε τοῖς ἐναντίοις, ἀλλ' ἔφευγε πρῶτον. Οἱ δὲ τοῦτο διακόψαντες εὐθὺς ἐκυκλοῦντο τὸν Βροῦτον, αὐτὸν μὲν ὅσα στρατηγικῆς καὶ στρατιωτικῆς ἀρετῆς ἔργα καὶ χειρὶ καὶ γνώμῃ παρὰ τὰ δεινὰ πρὸς τὸ νικᾶν ἀποδεικνύμενον· ᾧ δὲ πλέον ἔσχε τῇ προτέρᾳ μάχῃ, τούτῳ βλαπτόμενον. Τῶν μὲν γὰρ πολεμίων τὸ νικηθὲν εὐθὺς ἀπολώλει τότε· τῶν δὲ Κασσίου τραπέντων ὀλίγοι διεφθάρησαν, οἱ δὲ σωζόμενοι, τῷ προφθῆσθαι περιδεεῖς ὄντες, ἀνέπλησαν ἀθυμίας καὶ ταραχῆς τὸ πλεῖστον τοῦ στρατεύματος. Ἐνταῦθα καὶ Μάρκος, ὁ Κάτωνος υἱὸς, ἐν τοῖς ἀρίστοις καὶ γενναιοτάτοις τῶν νέων μαχόμενος, καὶ καταπονού-

μενος, οὐκ ἔφυγεν, οὐδ' εἶξεν, ἀλλὰ χρώμενός τε τῇ χειρὶ, καὶ φράζων, ὅστις εἴη, καὶ πατρόθεν ὀνομάζων, ἔπεσεν ἐπὶ πολλοῖς νεκροῖς τῶν πολεμίων. Ἐπιπτον δὲ καὶ τῶν ἄλλων οἱ κράτιστοι, τοῦ Βρούτου προκινδυνεύοντες.

L. Ἦν δέ τις Λουκίλλιος, ἀνὴρ ἀγαθὸς, ἐν τοῖς ἑταίροις. Οὗτος ὁρῶν βαρβάρους τινὰς ἱππέας ἐν τῇ διαξει τῶν μὲν ἄλλων οὐδένα ποιουμένους λόγον, ἐλαύνοντας δὲ φύδην ἐπὶ τὸν Βροῦτον, ἔγνω παρακινδυνεύσας ἐμποδὼν αὐτοῖς γενέσθαι. Καὶ μικρὸν ὑπολειφθεὶς, αὐτὸς ἔφη Βροῦτος εἶναι· καὶ πιθανὸς ἦν, πρὸς Ἀντώνιον δεόμενος ἄγειν ἑαυτὸν, ὡς Καίσαρα δεδοικὼς, ἐκείνῳ δὲ θαρρῶν. Οἱ δ' ἀσπασάμενοι τὸ εὕρημα, καὶ τύχῃ τινὶ θαυμαστῇ κεχρῆσθαι νομίζοντες, ἦγον τὸν ἄνδρα σκότους ἤδη, προπέμψαντες ἐξ αὐτῶν τινὰς ἀγγέλους παρὰ τὸν Ἀντώνιον. Αὐτός τ' οὖν ἡσθεὶς ἀπήντα τοῖς ἄγουσι, καὶ τῶν ἄλλων οἱ πυνθανόμενοι, ζῶντα Βροῦτον κομίζεσθαι, αἰνετρόχαζον, οἱ μὲν ἐλεεινὸν ἡγούμενοι τῆς τύχης, οἱ δὲ τῆς δόξης ἀνάξιον, ἄγραν βαρβάρων ὑπὸ φιλοψυχίας γενόμενον. Ἐπεὶ δ' ἐγγὺς ἦσαν, ὁ μὲν Ἀντώνιος ὑπέστη, διαπορῶν, ὅπως χρὴ δέξασθαι τὸν Βροῦτον· ὁ δὲ Λουκίλλιος προσαχθεὶς, μάλα τεθαρρηκὼς, „Μάρκον μὲν, εἶπεν, Ἀντώνιε, Βροῦτον οὐδεὶς πρηκεν, οὐδ' ἂν ἕλοι πολέμιος· μὴ τοσοῦτον ἡ τύχη κρατήσειε τῆς ἀρετῆς! Ἀλλ' ἐκεῖνος εὑρεθήσεται ζῶν, ἢ που καὶ νεκρὸς, ἀξίως κείμενος ἑαυτοῦ. Ἐγὼ δὲ τοὺς σοὺς στρατιώτας πάρακρουσάμενος ἥκω, παθεῖν οὐδὲν ἐπὶ τούτῳ τῶν ἀπηκέστων παραιτούμενος.“ Ταῦτ' εἰπόντος τοῦ Λουκιλλίου, καὶ πάντων ἐκπλαγέντων, Ἀντώνιος πρὸς τοὺς κομίσαντας αὐτὸν ἀποβλέψας· „Ἦπου χαλεπῶς, εἶπεν, ὦ συστρατιῶται, φέρετε τῇ ἁμαρτίᾳ περιυβρίσθαι δοκοῦντες; Ἀλλ' εὖ ἴστε κρείττονα τῆς ζητουμένης ἄγρας εὑρηκότες. Πολέμιον γὰρ ζητοῦντες, ἥκετε φίλον ἡμῖν κομίζοντες. Ὡς ἐγὼ Βρούτῳ μὲν οὐκ οἶδα μὰ τοὺς θεοὺς ὅ τι ἂν ἐχρησάμην ζῶντι. Τοιούτων δ' ἀνδρῶν φίλων τυγχάνοι-

1008

μι μᾶλλον, ἢ πολεμίων." Ταῦτ' εἰπὼν, καὶ τὸν Λουκίλλιον ἀσπασάμενος, τότε μὲν ἐνὶ τῶν φίλων συνέστησεν, ὕστερον δὲ χρώμενος εἰς πάντα πιστῷ καὶ βεβαίῳ διετέλεσεν.

LI. Βροῦτος δὲ διαβάς τι ῥεῖθρον ὑλώδες καὶ παράκρημνον, ἤδη σκότους ὄντος, οὐ πολὺ προῆλθεν, ἀλλ' ἐν τόπῳ κοίλῳ καὶ πέτραν ἔχοντι μεγάλην προκειμένην καθίσας, ὀλίγων περὶ αὐτὸν ἡγεμόνων καὶ φίλων ὄντων, πρῶτα μὲν ἀποβλέψας εἰς τὸν οὐρανὸν ἀστέρων ὄντα μεστὸν, ἀνεφθέγξατο δύο στίχους, ὧν τὸν ἕτερον Βολούμνιος ἀνέγραψε·

Ζεῦ, μὴ λάθοι σε τῶνδ' ὃς αἴτιος κακῶν·

τοῦ δ' ἑτέρου φησὶν ἐπιλαθέσθαι. Μετὰ δὲ μικρὸν τῶν ἐν τῇ μάχῃ πρὸ αὐτοῦ πεσόντων ἑταίρων ἕκαστον ὀνομάζων, μάλιστα τῇ Φλαβίου μνήμῃ καὶ τῇ Λαβεῶνος ἐπεστέναξεν. Ἦν δ' αὐτοῦ πρεσβευτὴς ὁ Λαβεών, ὁ δὲ Φλάβιος ἔπαρχος τῶν τεχνιτῶν. Ἐν τούτῳ δέ τις, αὐτός τε διψήσας, καὶ τὸν Βροῦτον ὁρῶν ὁμοίως ἔχοντα, λαβὼν κράνος ἐπὶ τὸν ποταμὸν κατέδραμε. Ψόφου δὲ κατὰ θάτερα προσπεσόντος, Βολούμνιος προῆλθε κατοψόμενος, καὶ σὺν αὐτῷ Δάρδανος, ὁ ὑπασπιστής. Ἐπανελθόντες δὲ μετὰ μικρὸν, ἠρώτησαν περὶ τοῦ πόματος. Ἠθικῶς δὲ σφόδρα μειδιάσας ὁ Βροῦτος πρὸς τὸν Βολούμνιον· „Ἐκπέποται, εἶπεν, ἀλλ' ἕτερον ὑμῖν κομισθήσεται." Πεμφθεὶς δ' ὁ αὐτὸς ἐκινδύνευσεν ὑπὸ τῶν πολεμίων ἁλῶναι, καὶ μόλις ἐσώθη τετρωμένος. Ἐπικάζοντι δ' αὐτῷ, μὴ πολλοὺς ἐν τῇ μάχῃ τεθνάναι, Στατύλλιος ὑπέστη διὰ τῶν πολεμίων ἐκπαισάμενος (ἄλλως γὰρ οὐκ ἦν) κατόψεσθαι τὸ στρατόπεδον, καὶ πυρσὸν ἆρας, ἄνπερ εὕρῃ τἀκεῖ σωζόμενα, πάλιν ἀφίξεσθαι πρὸς αὐτόν. Ὁ μὲν οὖν πυρσὸς ἤρθη, τοῦ Στατυλλίου παρελθόντος εἰς τὸ στρατόπεδον· ὡς δ' οὐκ ἐπανῄει χρόνῳ πολλῷ, Βροῦτος εἶπεν· „Ἂν ζῇ Στατύλλιος, ἀφίξεται." Συνέβη δ' αὐτὸν ἐπανερχόμενον ἐμπεσεῖν εἰς τοὺς πολεμίους καὶ διαφθαρῆναι.

LII. Προϊούσης δὲ τῆς νυκτὸς, ἀποκλίνας, ὡς ἔτυχε καθεζόμενος, πρὸς οἰκέτην ἑαυτοῦ, Κλεῖτον, ἔλαλει. Σιωπῶντος δὲ τοῦ Κλείτου καὶ δακρύοντος, αὖθις ἐπισπασάμενος τὸν ὑπασπιστὴν, Δάρδανον, ἰδίᾳ τινὰς αὐτῷ προσέφερε λόγους. Τέλος δὲ τὸν Βολούμνιον αὐτὸν Ἑλληνιστὶ τῶν λόγων καὶ τῆς ἀσκήσεως ὑπεμίμνησκε· καὶ παρεκάλει τῇ χειρὶ συνεφάψασθαι τοῦ ξίφους αὐτῷ καὶ συνεπερεῖσαι τὴν πληγήν. Τοῦ δὲ Βολουμνίου διωσαμένου, καὶ τῶν ἄλλων ὁμοίως ἐχόντων, εἰπόντος δέ τινος, ὡς δεῖ μὴ μένειν, ἀλλὰ φεύγειν, ἐξαναστὰς, „Πάνυ μὲν οὖν, ἔφη, φευκτέον· ἀλλ' οὐ διὰ τῶν ποδῶν, ἀλλὰ διὰ τῶν χειρῶν.“ Ἐμβαλὼν δὲ τὴν δεξιὰν ἑκάστῳ μάλα φαιδρὸς, ἠσπάσατο μὲν ἔφη μεγάλην ἡδονὴν, ὅτι τῶν φίλων αὐτὸν οὐδεὶς ἐψεύσατο, τῇ τύχῃ δ' ἐγκαλεῖν ὑπὲρ τῆς πατρίδος· ἑαυτὸν δὲ τῶν νενικηκότων μακαριώτερον νομίζειν, οὐκ ἐχθὲς, οὐδὲ πρώην μόνον, ἀλλὰ καὶ νῦν ἀπολείποντα δόξαν ἀρετῆς, ἣν οὔθ' 1009 ὅπλοις, οὔτε χρήμασιν, ἀπολείψουσιν οἱ κεκρατηκότες· ὡς μὴ δοκεῖν, ὅτι δικαίους ἄνδρας ἄθικοι, καὶ κακοὶ χρηστοὺς ἀπολέσαντες, οὐ προσηκόντως ἄρχουσι. Λεηθεὶς δὲ καὶ παρακαλέσας σώζειν ἑαυτοὺς, ἀνεχώρησεν ἀπωτέρω μετὰ δύο, ἢ τριῶν, ὧν ἦν καὶ Στράτων, ὁ ἀπὸ λόγων ῥητορικῶν γεγονὼς αὐτῷ συνήθης. Καὶ τοῦτον ἐγγιστα παραστησάμενος ἑαυτῷ, καὶ τὸ ξίφος γυμνὸν ἐπὶ τῆς λαβῆς ταῖς χερσὶν ἀμφοτέραις ἐρείσας καὶ περιπεσὼν ἐτελεύτησεν. Οἱ δέ φασιν, οὐκ αὐτὸν, ἀλλὰ τὸν Στράτωνα, πολλὰ πάνυ τοῦ Βρούτου δεηθέντος, ἀποστρέψαντα τὴν ὄψιν, ὑποστῆσαι τὸ ξίφος· ἐκεῖνον δὲ ῥύμῃ προσβαλόντα τὸ στέρνον καὶ διώσαντα, συντόμως ἀποθανεῖν.

LIII. Τοῦτον δὲ τὸν Στράτωνα Μεσσάλας, ἑταῖρος ὢν Βρούτου, Καίσαρι διαλλαγεὶς, ἐπὶ σχολῆς ποτε προσήγαγε, καὶ δακρύσας εἶπεν· „Οὗτός ἐστιν, ὦ Καῖσαρ, ὁ ἀνὴρ, ὁ τῷ ἐμῷ Βρούτῳ τὴν τελευταίαν ὑπουργήσας χάριν.“ Ἀποδεξάμενος οὖν ὁ Καῖσαρ, ἔσχεν αὐτὸν ἔν τε τοῖς πόνοις καὶ ἐν τοῖς

περὶ Ἄκτιον ἀγῶσιν ἕνα τῶν περὶ αὐτὸν ἀγαθῶν γενομένων Ἑλλήνων. Αὐτὸν δὲ τὸν Μεσσάλαν λέγουσιν ὕστερον ἐπαινούμενον ὑπὸ Καίσαρος, ὅτι, καίπερ ἐν Φιλίπποις πολεμιώτατος αὐτοῖς γενόμενος διὰ Βροῦτον, ἐν Ἀκτίῳ προθυμότατον ἑαυτὸν παρέσχεν· „Ἐγώ σοι, φάναι, ὦ Καῖσαρ, ἀεὶ τῆς βελτίονος καὶ δικαιοτέρας τιμῆς καὶ μερίδος ἐγενόμην.“ Τὸν δὲ Βροῦτον ὁ Ἀντώνιος ἀνευρὼν τεθνηκότα, τὸ μὲν σῶμα τῇ πολυτελεστάτῃ τῶν ἑαυτοῦ φοινικίδων περιβαλεῖν ἐκέλευσεν· ὕστερον δὲ τὴν φοινικίδα κεκλεμμένην αἰσθόμενος, ἀπέκτεινε τὸν ὑφελόμενον. Τὰ δὲ λείψανα πρὸς τὴν μητέρα τοῦ Βρούτου, Σερβιλίαν, ἀπέπεμψε. Πορκίαν δὲ, τὴν Βρούτου γυναῖκα, Νικόλαος ὁ φιλόσοφος ἱστορεῖ, καὶ Οὐαλέριος Μάξιμος, βουλομένην ἀποθανεῖν, ὡς οὐδεὶς ἐπέτρεπε τῶν φίλων, ἀλλὰ προσέκειντο καὶ παρεφύλαττον, ἐκ τοῦ πυρὸς ἀνασπάσασαν ἄνθρακας καταπιεῖν, καὶ τὸ στόμα συγκλείσασαν καὶ μύσασαν, οὕτω διαφθαρῆναι. Καίτοι φέρεταί τις ἐπιστολὴ Βρούτου πρὸς τοὺς φίλους, ἐγκαλοῦντος καὶ ὀλοφυρομένου περὶ τῆς Πορκίας, ὡς ἀμεληθείσης ὑπ' αὐτῶν, καὶ προελομένης διὰ νόσον καταλιπεῖν τὸν βίον. Ἔοικεν οὖν ὁ Νικόλαος ἠγνοηκέναι τὸν χρόνον, ἐπεὶ τό γε πάθος καὶ τὸν ἔρωτα τῆς γυναικὸς, καὶ τὸν τρόπον τῆς τελευτῆς ὑπονοῆσαι δίδωσι καὶ τὸ ἐπιστόλιον, εἴπερ ἄρα τῶν γνησίων ἐστίν.

COMPARATIO DIONIS CVM BRVTO.

Πολλῶν τοίνυν τοῖς ἀνδράσιν ὑπαρξάντων καλῶν, ἐν τοῖς πρώτοις δὲ, τοῦ μέγιστους ἐλαχίστοις ἀφορμαῖς γενέσθαι, τοῦτο τῷ Δίωνι κάλλιστόν ἐστιν. Οὐ γὰρ εἶχε τὸν ἀμφισβητοῦντα, καθάπερ ὁ Βροῦτος Κάσσιον, ἄνδρα πρὸς μὲν ἀρετὴν καὶ δόξαν οὐχ ὁμοίως ἀξιόπιστον, εἰς δὲ τὸν πόλεμον οὐκ ἐλάττονας τόλμη καὶ δεινότητι καὶ πράξει συμβολὰς παρασχόμενον· ὥ γε καὶ τοῦ παντὸς ἔργου προσποιοῦσιν ἔνιοι τὴν ἀρχὴν, ἡγεμόνα τῆς ἐπὶ Καίσαρα γνώμης τοῦτον ἀτρεμοῦντι Βρούτῳ γενέσθαι λέγοντες. Δίων δ', ὥσπερ ὅπλα, καὶ πλοῖα, καὶ στρατιωτικὴν δύναμιν, οὕτω καὶ φίλους καὶ συνεργοὺς ἐπὶ τὴν πρᾶξιν αὐτὸς δι' ἑαυτοῦ φαίνεται κτησάμενος. Οὐ μὴν οὐδ' ὡς Βροῦτος ἐκ τῶν πραγμάτων αὐτῶν καὶ τοῦ πολέμου πλοῦτον ἔσχε καὶ δύναμιν, οὕτω καὶ Δίων, ἀλλὰ τῷ πολέμῳ προεισηνεγκεν αὐτὸς τὸν ἑαυτοῦ πλοῦτον, ὑπὲρ τῆς τῶν πολιτῶν ἐλευθερίας τοῖς τῆς φυγῆς ἐφοδίοις προπαταχρησάμενος. Ἔτι δὲ, Βροῦτος μὲν καὶ Κάσσιος, οὐκ ὢν ἀσφαλὲς ἡσυχίαν ἄγειν ἐκπεσοῦσι τῆς Ῥώμης, ἀλλ' ὠφληκόσι δίκην θανάτου καὶ διωκομένοις, ἀναγκαίως εἰς τὸν πόλεμον κατέφυγον· καὶ τὰ σώματα τοῖς ὅπλοις παρακαταθέμενοι διεκινδύνευσαν ὑπὲρ αὐτῶν τὸ πλέον, ἢ τῶν πολιτῶν· Δίων δ' ἀδεέστερον ἐν τῇ φυγῇ τοῦ φυγαδεύσαντος τυράννου καὶ ἥδιον διάγων, ἀνέρ-

ῥιψεν ἑκὼν κίνδυνον τοσοῦτον ἐπὶ τῷ σῶσαι Συ-
κελίαν.

II. Καὶ μὴν οὐχ ὅμοιον, Διονυσίου Συρακου-
σίοις, ἢ Καίσαρος ἀπαλλαγῆναι Ῥωμαίοις. Ὁ μὲν
γὰρ οὐδ' ἠρνεῖτο τύραννος εἶναι, κακῶν τε μυρίων
ἐμπεπλήκει Σικελίαν· ἡ δὲ Καίσαρος ἀρχὴ, συνι-
σταμένη μὲν οὐκ ὀλίγα τοῖς ἐναντιουμένοις πράγμα-
τα παρέσχε, δεξαμένοις δὲ καὶ κρατηθεῖσιν ὄνομα
καὶ δόκησις ἐφάνη μόνον, ἔργον δ' ἀπ' αὐτῆς οὐδὲν
ὠμὸν, οὐδὲ τυραννικὸν, ὑπῆρξεν, ἀλλὰ καὶ δεομέ-
νοις ἔδοξε τοῖς πράγμασι μοναρχίας πρᾶότατος ὥσ-
περ ἰατρὸς ὑπ' αὐτοῦ τοῦ δαίμονος δεδόσθαι. Διὸ
Καίσαρα μὲν εὐθὺς ἐπόθησεν ὁ Ῥωμαίων δῆμος,
ὥστε χαλεπὸς γενέσθαι καὶ ἀπαραίτητος τοῖς ἀπε-
κτονόσι· Δίωνα δ' ἡ Διονυσίου πάρεσις ἐκ Συρα-
κουσῶν, καὶ τὸ μὴ κατασκάψαι τοῦ προτέρου τυ-
ράννου τὸν τάφον, ἐπαίτιον μάλιστα πρὸς τοὺς πο-
λίτας ἐποίησεν.

III. Ἐν αὐταῖς τοίνυν ταῖς πολεμικαῖς πράξε-
σιν ὁ μὲν Δίων ἄμεμπτος γέγονε στρατηγὸς, ὧν μὲν
αὐτὸς ἐβούλετο τοῖς πράγμασιν ἄριστα χρώμενος, ἃ
δ' ἐπταίσθη δι' ἑτέρους, ἀναλαβὼν καὶ μεταστήσας
ἐπὶ τὸ βέλτιον· ὁ δὲ Βροῦτος τὸν ἔσχατον ἀγῶνα
ὑπὲρ τῶν ὅλων οὔθ' ὑποστῆναι δοκεῖ φρονίμως, οὔτε
σφαλεὶς ἐπανόρθωσιν εὑρεῖν, ἀλλ' ἐπεῖπε καὶ προεῖ-
το τὰς ἐλπίδας, οὐδ' ὅσον Πομπήϊος ἐπιτολμήσας τῇ
τύχῃ· καὶ ταῦτα, πολλῆς μὲν αὐτόθι λειπομένης
ἐλπίδος ἐν τοῖς ὅπλοις, ταῖς δὲ ναυσὶ κρατῶν πα-
σης βεβαίως τῆς θαλάσσης. Ὃ δὲ μέγιστόν ἐστιν,
ὧν ἐγκαλοῦσι Βρούτῳ, τὸ, σωθέντα τῇ Καίσαρος
χάριτι, καὶ σώσαντα τῶν συνεαλωκότων, ὅσους ἐβού-
λετο, καὶ φίλον νομιζόμενον, καὶ προτιμηθέντα πολ-
λῶν, αὐτόχειρα τοῦ σώσαντος γενέσθαι, τοῦτ' οὐκ
ἄν τις εἴποι κατὰ Δίωνος. Ἀλλὰ τοὐναντίον, οἰ-
κεῖος μὲν Διονυσίῳ καὶ φίλος ὢν ὤρθου τὰ πράγ-
ματα καὶ συνδιεφύλαττεν· ἐκπεσὼν δὲ τῆς πατρίδος,
καὶ ἀδικηθεὶς περὶ τὴν γυναῖκα, καὶ τὴν οὐσίαν
ἀπολέσας, ἐκ προφανοῦς εἰς πόλεμον κατέστη νόμι-

μον καὶ δίκαιον. Ἢ τοῦτ' ἀντιστρέφει πρῶτον; ὃ γὰρ εἰς ἔπαινον ὑπάρχει τοῖς ἀνδράσι μέγιστον, ἡ πρὸς τοὺς τυράννους ἀπέχθεια καὶ μισοπονηρία, τοῦτ' εἰλικρινές ἐστι τῷ Βρούτῳ καὶ καθαρόν. Ἰδίᾳ γὰρ οὐδὲν ἐγκαλῶν Καίσαρι, τῆς κοινῆς προὐκινδύνευεν ἐλευθερίας. Ὁ δ', εἰ μὴ κακῶς ἔπαθεν αὐτός, οὐκ ἂν ἐπολέμησε. Καὶ τοῦτο δηλοῦται ταῖς Πλάτωνος ἐπιστολαῖς, ἐξ ὧν θῆλύς ἐστιν, ὡς ἀπεβλήθεις τῆς τυραννίδος, οὐκ ἀποστὰς, κατέλυσε Διονύσιον. Ἔτι Βροῦτον μὲν καὶ Πομπήϊῳ φίλον ἐποίησεν, ἐχθρὸν ὄντα, καὶ πολέμιον Καίσαρι, τὸ κοινῇ συμφέρον, ὡς ἔχθρας ὅρον καὶ φιλίας ἐνὶ χρώμενον τῷ δικαίῳ· Λίωνι δὲ πρὸς χάριν ὤρθου πολλὰ Διονύσιον, ὅτ' ἦν βέβαιος αὐτῷ, καὶ πρὸς ὀργὴν ἀπιστηθεὶς ἐπολέμησε. Διὸ τούτῳ μὲν οὐδ' οἱ φίλοι πάντες ἐπίστευσαν, ὡς μεταστήσας Διονύσιον οὐκ ἂν βεβαιώσαιτο τὴν ἀρχὴν αὐτῷ, πρωτέρου τυραννίδος ὀνόματι παραγαγὼν τοὺς πολίτας· περὶ δὲ τοῦ Βρούτου τῶν ἐχθρῶν ἦν ἀκοῦσαι, ὅτι μόνος τῶν ἐπὶ Καίσαρα συναραμένων ἕνα προὔθετο σκοπὸν ἀπ' ἀρχῆς ἄχρι τέλους τὴν πάτριον ἀποδοῦναι Ῥωμαίοις πολιτείαν.

IV. Ἄνευ γε μὴν τούτων, ὁ πρὸς Διονύ- 1011
σιον ἀγὼν οὐχ ὅμοιος ἦν ὅπου τῷ πρὸς Καίσαρα. Διονυσίου μὲν γὰρ οὐδεὶς ὅστις οὐκ ἂν κατεφρόνησε τῶν συνήθων, ἐν μέθαις καὶ κύβοις καὶ γυναιξὶ τὰς πλείστας ποιουμένου διατριβάς· τὸ δὲ τὴν Καίσαρος κατάλυσιν εἰς νοῦν ἐμβαλέσθαι, καὶ μὴ φοβηθῆναι τὴν δεινότητα καὶ δύναμιν καὶ τύχην, οὗ καὶ τοὔνομα τοὺς Παρθυαίους καὶ Ἰνδῶν βασιλεῖς οὐκ εἴα παθεύδειν, ὑπερφυοῦς ἦν ψυχῆς, καὶ πρὸς μηδὲν ὑφίεσθαι φόβῳ τοῦ φρονήματος δυναμένης. Διὸ τῷ μὲν ὀφθέντι μόνον ἐν Σικελίᾳ μυριάδες οὐκ ὀλίγαι συνέστησαν ἐπὶ Διονύσιον· ἡ δὲ Καίσαρος δόξα καὶ πεσόντος ὤρθου τοὺς φίλους, καὶ τοὔνομα τὸν χρησάμενον ἤρεν ἐκ παιδὸς ἀμηχάνου πρῶτον εὐθὺς εἶναι Ῥωμαίων, ὡς ἀλεξιφάρμακον τοῦτο πρὸς τὴν Ἀντωνίου περιαψάμενον ἔχθραν καὶ δύναμιν. Ἐπεὶ

δὲ φήσει τις, ὅτι μεγάλοις μὲν ἀγῶσιν ὁ Δίων ἐξέβαλε τὸν τύραννον, Καίσαρα δὲ Βροῦτος ἔκτεινε γυμνὸν καὶ ἀφύλακτον· αὐτὸ τοῦτο δεινότητος ἄκρας καὶ στρατηγίας ἦν ἔργον, ἄνδρα, τοσαύτην περιβεβλημένον δύναμιν, ἀφύλακτον λαβεῖν καὶ γυμνόν. Οὐ γὰρ ἐξαίφνης, οὐδὲ μόνος, ἢ σὺν ὀλίγοις, ἐπιπεσὼν ἀνεῖλεν, ἀλλ' ἐκ πολλοῦ συνθεὶς τὸ βούλευμα, καὶ μετὰ πολλῶν ἐπιθέμενος, ὧν οὐδεὶς ἐψεύσατ' αὐτόν. Ἢ γὰρ εὐθὺς ἔκρινε τοὺς ἀρίστους, ἢ τῷ προκρῖναι τοὺς πιστεύσαντας ἀγαθοὺς ἐποίησεν. Δίων δ', εἴτε κρίνας κακῶς, ἐπίστευσεν ἑαυτὸν πονηροῖς, εἴτε χρώμενος ἐποίησεν ἐκ χρηστῶν πονηρούς· οὐδέτερον παθεῖν ἀνδρὶ φρονίμῳ προσῆκον. Ἐπιτιμᾷ δὲ καὶ Πλάτων αὐτῷ τοιούτους ἑλομένῳ φίλους, ὑφ' ὧν ἀπώλετο.

V. Καὶ Δίωνος μὲν τιμωρὸς οὐδεὶς ἐφάνη πεσόντος· ἀλλὰ Βροῦτον καὶ τῶν πολεμίων Ἀντώνιος μὲν ἔθαψεν ἐνδόξως, Καῖσαρ δὲ καὶ τὰς τιμὰς ἐτήρησεν. Ἕστηκε δὲ χαλκοῦς ἀνδριὰς ἐν Μεδιολάνῳ, τῆς ἐντὸς Ἄλπεων Γαλατίας. Τοῦτον ὕστερον ἰδὼν Καῖσαρ εἰκονικὸν ὄντα καὶ χαριέντως εἰργασμένον, παρῆλθεν· εἶτ' ἐπιστὰς μετὰ μικρὸν, ἀκροωμένων πολλῶν, τοὺς ἄρχοντας ἐκάλει, φάσκων, ἔκσπονδον αὐτῶν τὴν πόλιν εἰληφέναι, πολέμιον ἔχουσαν παρ' αὐτῇ. Τὸ μὲν οὖν πρῶτον, ὡς εἰκὸς, ἠρνοῦντο, καὶ, τίνα λέγοι, διαπορούντες, εἰς ἀλλήλους ἀπέβλεψαν. Ὡς δ' ἐπιστρέψας ὁ Καῖσαρ πρὸς τὸν ἀνδριάντα, καὶ συναγαγὼν τὸ πρόσωπον, „Ἀλλ' οὐχ οὗτος, ἔφη, πολέμιος ὢν ἡμέτερος ἐνταῦθα ἕστηκεν;“ ἔτι μᾶλλον καταπλαγέντες ἐσιώπησαν. Ὁ δὲ μειδιάσας ἐπήνεσέ τε τοὺς Γαλάτας, ὡς τοῖς φίλοις καὶ παρὰ τὰς τύχας βεβαίους ὄντας, καὶ τὸν ἀνδριάντα κατὰ χώραν μένειν ἐκέλευσεν.

ΑΡΑΤΟΣ.

Παροιμίαν τινὰ παλαιὰν, ὦ Πολύκρατες, δεί- 1027
σας μοι δοκεῖ τὸ δύσφημον αὐτῆς ὁ φιλόσοφος Χρύσιππος, οὐχ ὃν ἔχει τρόπον, ἀλλ' ὡς αὐτὸς ᾤετο βέλτιον εἶναι, διατίθεσθαι·

Τίς πατέρ' αἰνήσει, εἰ μὴ εὐδαίμονες υἱοί;

Διονυσόδωρος δ' ὁ Τροιζήνιος, ἐλέγχων αὐτὸν, ἀντεκτίθησι τὴν ἀληθεστέρην, οὕτως ἔχουσαν·

Τίς πατέρ' αἰνήσει, εἰ μὴ κακοδαίμονες υἱοί;

καὶ φησι, τοὺς ἀφ' αὑτῶν οὐδενὸς ἀξίους ὄντας, ὑποδυομένους δὲ προγόνων τινῶν ἀρεταῖς, καὶ πλεονάζοντας ἐν τοῖς ἐκείνων ἐπαίνοις, ὑπὸ τῆς παροιμίας ἐπιστομίζεσθαι. Ἀλλ' ὦ γε φύσει τὸ γενναῖον ἐπιπρέπει ἐκ πατέρων, κατὰ Πίνδαρον, ὥσπερ σοὶ πρὸς τὸ κάλλιστον ἀφομοιοῦντι τῶν οἴκοθεν παραδειγμάτων τὸν βίον, εὐδαίμον' ἂν εἴη τὸ μεμνῆσθαι τῶν ἀπὸ γένους ἀρίστων, ἀκούοντας περὶ αὐτῶν ἀεί τι καὶ λέγοντας. Οὐ γὰρ ἰδίων ἀπορία καλῶν ἐξαρτῶσιν ἀλλοτρίων ἐπαίνων τὴν δόξαν, ἀλλὰ τοῖς ἐκείνων τὰ οἰκεῖα συνάψαντες, ὡς καὶ τοῦ γένους καὶ τοῦ βίου καθηγεμόνας εὐφημοῦσι. Διὸ κἀγὼ τὸν Ἀράτου, τοῦ σοῦ πολίτου καὶ προπάτορος, βίον, ὃν οὔτε τῇ δόξῃ τῇ περὶ σεαυτὸν, οὔτε τῇ δυνάμει καταισχύνεις, ἀπέσταλκά σοι συγγραψάμενος· οὐχ ὡς οὐχὶ πάντων ἀκριβέστατά σοι μεμελημένος ἐξ ἀρχῆς ἐπίστασθαι τὰς ἐκείνου πράξεις, ἀλλ' ὅπως οἱ παῖ-

δές σου, Πολυκράτης καὶ Πυθοκλῆς, οἰκείοις παραδείγμασιν ἐντρέφωνται, τὰ μὲν ἀκούοντες, τὰ δ' ἀναγινώσκοντες, ἅπερ αὐτοὺς μιμεῖσθαι προσήκει. Φιλαύτου γὰρ ἀνδρὸς, οὐ φιλοκάλου, παντὸς ἀεὶ βελτίστου ἡγεῖσθαι.

II. Ἡ Σικυωνίων πόλις, ἐπεὶ τὸ πρῶτον ἐκ τῆς ἀκράτου καὶ Δωρικῆς ἀριστοκρατίας, ὥσπερ ἁρμονίας συγχυθείσης, εἰς στάσεις ἐνέπεσε καὶ φιλοτιμίας δημαγωγῶν, οὐκ ἐπαύσατο νοσοῦσα καὶ ταραττομένη, καὶ τύραννον ἐκ τυράννου μεταβάλλουσα, μέχρις οὗ, Κλέωνος ἀναιρεθέντος, εἵλοντο Τιμοκλείδαν ἄρχοντα καὶ Κλεινίαν, ἄνδρας ἐνδόξους τὰ μάλιστα καὶ ἐν δυνάμει τῶν πολιτῶν ὄντας. Ἤδη δὲ
1028 τινα τῆς πολιτείας κατάστασιν ἔχειν δοκούσης, Τιμοκλείδας μὲν ἀπέθανεν, Ἀβαντίδας δ', ὁ Πασέου, τυραννίδα πράττων ἑαυτῷ, τὸν Κλεινίαν ἀπέκτεινε· καὶ τῶν φίλων καὶ οἰκείων τοὺς μὲν ἐξέβαλε, τοὺς δ' ἀνεῖλεν. Ζητεῖ δὲ καὶ τὸν υἱὸν αὐτοῦ ἀνελεῖν, Ἄρατον, ἔτι παῖδα καταλελειμμένον. Ἐν δὲ τῇ περὶ τὴν οἰκίαν ταραχῇ συνεκπεσὼν τοῖς φεύγουσιν ὁ παῖς, καὶ πλανώμενος ἐν τῇ πόλει περίφοβος καὶ ἀβοήθητος, κατὰ τύχην ἐλαθεν εἰς οἰκίαν παρελθὼν γυναικὸς, ἀδελφῆς μὲν Ἀβαντίδου, Προφάντῳ δὲ, τῷ Κλεινίου ἀδελφῷ, γεγαμημένης, ὄνομα Σωσοῦς. Αὕτη δὲ καὶ τὸ ἦθος οὖσα γενναία, καὶ συνθεῷ τινι τὸ παιδίον οἰομένη καταπεφευγέναι πρὸς αὐτὴν, ἀπέκρυψεν ἔνδον, εἶτα νυκτὸς εἰς Ἄργος ὑπεξέπεμψεν.

III. Οὕτω δ' ἐκκλαπέντι τῷ Ἄρατῳ, καὶ διαφυγόντι τὸν κίνδυνον, εὐθὺς μὲν ἐνεφύετο καὶ συνηύξετο τὸ σφοδρὸν καὶ διάπυρον μῖσος ἐπὶ τοὺς τυράννους. Τρεφόμενος δὲ παρὰ τοῖς ἐν Ἄργει ξένοις καὶ φίλοις πατρῴοις ἐλευθερίως, καὶ τὸ σῶμα βλαστάνον ὁρῶν εἰς εὐεξίαν καὶ μέγεθος, ἐπέδωκεν ἑαυτὸν ἀσκήσει τῇ περὶ παλαίστραν, ὥστε καὶ πένταθλον ἀγωνίσασθαι, καὶ στεφάνων τυχεῖν. Ἐπιφαίνεται δ' ἀμέλει καὶ ταῖς εἰκόσιν ἀθλητική τις ἰδέα καὶ τὸ σύνετὸν τοῦ προσώπου καὶ βασιλικὸν οὐ παν-

τάπασιν ἀρνεῖται τὴν ἀθηφαγίαν καὶ τὸ σπαφίον. Ὅθεν ἐνδεέστερον ἴσως, ἢ πολιτικῷ προσῆκον ἦν ἀνδρὶ, περὶ τὸν λόγον ἐσπούδασε· καίτοι γεγονέναι κομψότερον εἰπεῖν, ἢ δοκεῖ τισιν, ἐκ τῶν ὑπομνημάτων κρίνουσιν, ἃ παρέργως καὶ ὑπὸ χεῖρα διὰ τῶν ἐπιτυχόντων ὀνομάτων ἀμιλλησάμενος κατέλιπε. Χρόνῳ δ' ὕστερον Ἀβαντίδαν μὲν οἱ περὶ Δεινίαν καὶ Ἀριστοτέλη, τὸν διαλεκτικὸν, εἰωθότα τοῖς λόγοις αὐτῶν, κατ' ἀγορὰν σχολαζόντων, ἑκάστοτε παρεῖναι καὶ συμφιλονεικεῖν, ἐμβαλόντες εἰς τοιαύτην διατριβὴν, καὶ κατασκευάσαντες ἐπιβουλὴν, ἀνεῖλον. Πασέαν δὲ, τὸν Ἀβαντίδου πατέρα, τὴν ἀρχὴν ὑπολαβόντα, Νικοκλῆς δολοφονήσας, ἑαυτὸν ἀνέδειξε τύραννον. Τοῦτον ἐμφερέστατον λέγουσι τὴν ὄψιν Περιάνδρῳ, τῷ Κυψέλου, γενέσθαι· καθάπερ Ἀλκμαίωνι μὲν, τῷ Ἀμφιάρεω, τὸν Πέρσην Ὀρόκτην, Ἔκτορι δὲ τὸν Λακεδαιμόνιον νεανίσκον, ὃν ἱστορεῖ Μυρσίλος ὑπὸ πλήθους τῶν θεωμένων, ὡς τοῦτ' ἔγνωσαν, καταπατηθῆναι.

IV. Τοῦ δὲ Νικοκλέους τέσσαρας μῆνας τυραννοῦντος, ἐν οἷς πολλὰ κακὰ τὴν πόλιν ἐργασάμενος ἐκινδύνευεν ὑπ' Αἰτωλῶν ἐπιβουλευομένην αὐτὴν ἀποβαλεῖν, ἤδη μειράκιον ὁ Ἄρατος ὤν, ἀξίωμα λαμπρὸν εἶχε δι' εὐγένειαν καὶ φρόνημα, ὃ διέφαινεν οὐ μικρὸν, οὐδ' ἀργὸν, ἐμβριθὲς δὲ καὶ παρ' ἡλικίαν ἀσφαλέστερα γνώμη κεκραμένον. Ὅθεν οἵ τε φυγάδες μάλιστα τὸν νοῦν ἐκείνῳ προσεῖχον, ἅ τε Νικοκλῆς οὐκ ἠμέλει τῶν πραττομένων· ἀλλ' ἀδήλως παρεθεώρει καὶ παρεφύλαττεν αὐτοῦ τὴν ὁρμήν· τόλμημα μὲν οὐδὲν τηλικοῦτον δεδιώς, οὐδ' ἔργου οὐδὲν οὕτω παρακεκινδυνευμένου, ὑποπτεύων δὲ τοῖς βασιλεῦσιν αὐτὸν διαλέγεσθαι φίλοις οὖσι καὶ ξένοις πατρῴοις. Καὶ γὰρ ἀληθῶς ὁ Ἄρατος ἐπεχείρησε τὴν ὁδὸν ἐκείνην βαδίζειν. Ὡς δ' Ἀντίγονος μὲν ὑπισχνούμενος ἠμέλει καὶ παρῆκε τὸν χρόνον, αἱ δ' ἀπ' Αἰγύπτου καὶ παρὰ Πτολεμαίου μακρὰν ἦσαν ἐλπίδες, ἔγνω δι' αὐτοῦ καταλύειν τὸν τύραννον.

V. Πρώτοις δὲ κοινοῦται τὴν γνώμην Ἀριστομάχῳ καὶ Ἐκδήλῳ. Τούτων ὁ μὲν ἐκ Σικυῶνος ἦν φυγάς, ὁ δὲ Ἔκδηλος Ἀρκὰς ἐκ Μεγάλης πόλεως, ἀνὴρ φιλόσοφος καὶ πρακτικὸς, Ἀρκεσιλάου, τοῦ Ἀκαδημαϊκοῦ, γεγονὼς ἐν ἄστει συνήθης. Δεξαμένων δὲ τούτων προθύμως, διελέγετο τοῖς ἄλλοις φυγάσιν, ὧν ὀλίγοι μὲν αἰσχυνθέντες ἐγκαταλιπεῖν τὴν
1029 ἐλπίδα, μετεῖχον τῶν πραττομένων· οἱ δὲ πολλοὶ καὶ τὸν Ἄρατον ἔπειρῶντο κατακωλύειν, ὡς ἀπειρίᾳ πραγμάτων θρασυνόμενον. Βουλευομένου δ' αὐτοῦ χωρίον τι τῆς Σικυωνίας καταλαβεῖν, ὅθεν ὡρμημένος διαπολεμήσει πρὸς τὸν τύραννον, ἦκεν εἰς Ἄργος ἀνὴρ Σικυώνιος ἐκ τῆς εἱρκτῆς ἀποδεδρακώς· ἦν δὲ τῶν φυγάδων ἑνὸς, Ξενοκλέους, ἀδελφός· καὶ τῷ Ἀράτῳ προσαχθεὶς ὑπὸ τοῦ Ξενοκλέους, ἔλεγε τοῦ τείχους, καθ' ὃν ὑπερβὰς αὐτὸς ἐσώθη τόπον, ἐντὸς μὲν ὀλίγου δεῖν ἐπίπεδον εἶναι, προσπεφυκότα χωρίοις πετρώδεσι καὶ ὑψηλοῖς, τὸ δὲ ἔξωθεν ὕψος ὑπὸ κλιμάκων οὐ πάνυ ἀνέφικτον. Ὡς δὲ ταῦτ' ἤκουσεν ὁ Ἄρατος, ἐκπέμπει μετὰ τοῦ Ξενοκλέους οἰκέτας ἰδίους δύο, Σευθᾶν τε καὶ Τέχνωνα, κατασκεψομένους τὸ τεῖχος· ἐγνωκὼς, εἰ δύναιτο, κρύφα καὶ πρὸς ἕνα κίνδυνον ὀξέως τὸ πᾶν ἀναρρίψαι μᾶλλον, ἢ μακρῷ πολέμῳ καὶ φανεροῖς ἀγῶσιν ἰδιώτης ἀντικαθίστασθαι πρὸς τύραννον. Ὡς δ' ἐπανῆλθον οἱ περὶ τὸν Ξενοκλέα, τοῦ μὲν τείχους εἰληφότες μέτρα, καὶ τοῦ τόπου τὴν φύσιν ἀπαγγέλλοντες, οὐκ ἄβατον, οὐδὲ χαλεπὴν, τὸ δὲ λαθεῖν προσελθόντας ἐργῶδες εἶναι φάσκοντες, ὑπὸ κηπουροῦ τινος κυναρίων, μικρῶν μέν, ἐκτόπως δὲ μαχίμων καὶ ἀπαρηγορήτων· εὐθὺς ἐνίστατο τὴν πρᾶξιν.

VI. Ἡ μὲν οὖν τῶν ὅπλων παρασκευὴ συνήθης ἦν, πάντων, ὡς ἔπος εἰπεῖν, τότε κλοπείαις χρωμένων καὶ καταδρομαῖς ἐπ' ἀλλήλους· τὰς δὲ κλίμακας Εὐφράνωρ, ὁ μηχανοποιὸς, ἀναφανδὸν ἐπήξατο, τῆς τέχνης αὐτῷ τὸ ἀνύποπτον διδούσης, ἐπεὶ καὶ αὐτὸς ἦν τῶν φυγάδων. Ἄνδρας δ' αὐτῷ τῶν μὲν ἐν

Ἄργει φίλων ἕκαστος ἐξ ὀλίγων δέκα παρέσχεν, αὐτὸς δὲ τῶν ἰδίων οἰκετῶν τριάκοντα καθώπλισεν. Ἐμισθώσατο δὲ καὶ διὰ Ξενοφίλου, πρώτου τῶν ἀρχιπλοίων, οὐ πολλοὺς στρατιώτας· οἷς διεδόθη λόγος, ὡς ἐπὶ τὰς ἵππους τὰς βασιλικὰς εἰς τὴν Σικυωνίαν ἔξοδος ἔσοιτο. Καὶ προεπέμφθησαν οἱ πολλοὶ σποράδες ἐπὶ τὸν Πολυγνώτου πύργον, ἐκεῖ κελευσθέντες περιμεῖναι. Προεπέμφθη δὲ καὶ Καφησίας ὑπ' αὐτοῦ μετὰ τεσσάρων ἄλλων εὐζώνος, οὓς ἔδει πρὸς τὸν κηπουρὸν ἀφικέσθαι σκοταίους, φάσκοντας ὁδοιπόρους εἶναι, καὶ καταυλισαμένους αὐτόν τε συγκλεῖσαι καὶ τοὺς κύνας· οὐ γὰρ ἦν ἄλλη παρελθεῖν. Τὰς δὲ κλίμακας ἀναλυτὰς οὔσας ἐμβαλόντες εἰς ἀχάνας, καὶ κατακαλύψαντες ἐφ' ἁμαξῶν προαπέστειλαν. Ἐν τούτῳ δὲ κατασκόπων τινῶν ἐν Ἄργει τοῦ Νικοκλέους φανέντων, καὶ περιϊέναι λεγομένων ἀδήλως καὶ παραφυλάττειν τὸν Ἄρατον, ἅμ' ἡμέρᾳ προελθὼν καὶ φανερὸς ὢν ἐν ἀγορᾷ διέτριβε μετὰ τῶν φίλων· εἶτ' ἀλειψάμενος ἐν τῷ γυμνασίῳ, καὶ παραλαβών τινας ἐκ τῆς παλαίστρας τῶν εἰωθότων πίνειν καὶ ῥᾳθυμεῖν μετ' αὐτοῦ νεανίσκων, ἀπῆρεν οἴκαδε· καὶ μετὰ μικρὸν ἐωρᾶτο τῶν οἰκετῶν αὐτοῦ δὲ ἀγορᾶς ὁ μὲν στεφάνους φέρων, ὁ δὲ λαμπάδας ὠνούμενος, ὁ δὲ τοῖς εἰθισμένοις παρὰ πότον ψάλλειν καὶ αὐλεῖν γυναίοις διαλεγόμενος. Ταῦτα δ' οἱ κατάσκοποι πάντα ὁρῶντες ἐξηπάτηντο, καὶ πρὸς ἀλλήλους ἀναγελῶντες ἔλεγον „Οὐδὲν ἦν ἄρα τυράννου δειλότερον, εἰ καὶ Νικοκλῆς, τηλικαύτην πόλιν ἔχων καὶ τοσαύτην δύναμιν, ὀρθρωδεῖ μειράκιον εἰς ἡδονὰς καὶ πότους μεθημερινοὺς τὰ τῆς φυγῆς ἐφόδια καταχρώμενον."

VII. Οἱ μὲν οὖν οὕτω παραλογισθέντες ἀπηλλάγησαν. Ὁ δ' Ἄρατος εὐθὺς μετ' ἄριστον ἐξελθὼν καὶ συνάψας πρὸς τὸν Πολυγνώτου πύργον τοῖς στρατιώταις, εἰς Νεμέαν προῆγεν, ὅπου τὴν πρᾶξιν ἐξέφηνε τοῖς πολλοῖς. Τὸ δὲ πρῶτον ὑποσχέσεις τε καὶ παρακλήσεις ἐποιήσατο, καὶ σύνθημα

1030 παραδοὺς, Ἀπόλλωνα ὑπερθέμενον, πρόηγεν ἐπὶ τὴν πόλιν, συμμέτρως τῇ περιφορᾷ τῆς σελήνης ἐπιταχύνων, καὶ πάλιν ἀνιεὶς τὴν πορείαν, ὥστε τῷ μὲν φωτὶ χρῆσθαι καθ' ὁδὸν, ἤδη δὲ δυομένης, περὶ τὸν κῆπον εἶναι πλησίον τοῦ τείχους. Ἐνταῦθα Καφησίας ἀπήντησεν αὐτῷ, τῶν μὲν κυναρίων οὐ κρατήσας, (ἔφθη γὰρ ἀποπηδήσαντα) τὸν δὲ κηπουρὸν ἐγκεκλεικώς. Ἀθύμους δὲ τοὺς πλείστους γενομένους, καὶ κελεύοντας ἀπαλλάττεσθαι, παρεθαῤῥυνεν ὁ Ἄρατος, ὡς ἀπάξων, ἂν οἱ κύνες ἄγαν ἐνοχλῶσιν αὐτοῖς. Ἅμα δὲ τοὺς τὰς κλίμακας φέροντας προπέμψας, ὧν Ἔκδηλος ἡγεῖτο καὶ Μνασίθεος, αὐτὸς ἐπηκολούθει σχολαίως, ἤδη τῶν κυναρίων ἐντόνως ὑλακτούντων καὶ συμπαρατρεχόντων τοῖς περὶ τὸν Ἔκδηλον. Οὐ μὴν ἀλλὰ συνέμιξάν τε τῷ τείχει καὶ προσήρεισαν τὰς κλίμακας ἀσφαλῶς. Ἀναβαινόντων δὲ τῶν πρώτων, ὁ τὴν ἐωθινὴν φυλακὴν παραδοὺς ἐφώδευε κώδωνι, καὶ φῶτα πολλὰ καὶ θόρυβος ἦν τῶν ἐπιπορευομένων. Οἱ δ', ὥσπερ εἶχον, αὐτοῦ πτήξαντες ἐπὶ τῶν κλιμάκων, τούτους μὲν οὐ χαλεπῶς ἔλαθον· ἄλλης δὲ φυλακῆς ἐναντίας ταύτῃ προσερχομένης, εἰς τὸν ἔσχατον κίνδυνον ἦλθον. Ὡς δὲ κἀκείνην διέφυγον παρελθοῦσαν, εὐθὺς ἀνέβαινον οἱ πρῶτοι, Μνασίθεος καὶ Ἔκδηλος· καὶ τὰς ἑκατέρωθεν ὁδοὺς τοῦ τείχους διαλαβόντες, ἀπέστελλον Τέχνωνα πρὸς Ἄρατον, ἐπείγεσθαι κελεύοντες.

VIII. Ἦν δ' οὐ πολὺ διάστημα ἀπὸ τοῦ κήπου πρὸς τὸ τεῖχος καὶ τὸν πύργον, ἐν ᾧ κύων μέγας ἐφρούρει θηρευτικός. Αὐτὸς μὲν οὖν οὐκ ἤσθετο τὴν ἔφοδον, εἴτε φύσει νωθὴς ὤν, εἴτε μεθ' ἡμέραν κατάκοπος γεγονώς. Τῶν δὲ τοῦ κηπουροῦ κυναρίων κάτωθεν ἐκκαλουμένων αὐτὸν, ὑπεφθέγγετο τυφλὸν καὶ ἄσημον τὸ πρῶτον, εἶτα μᾶλλον ἐπέτεινε παρερχομένων· καὶ κατεῖχεν ἤδη πολὺς ὕλαγμὸς τὸ χωρίον, ὥστε τὸν πέραν φύλακα κραυγῇ μεγάλῃ πυνθάνεσθαι τοῦ κυνηγοῦ, πρός τινα τρα-

χέως οὕτως ὁ κύων ὑλακτεῖ, καὶ μή τι γίνεται καινότερον. Ὁ δ' ἀπὸ τοῦ πύργου πρὸς αὐτὸν ἀντεφώνησε, μηδὲν εἶναι δεινόν· ἀλλὰ τὸν κύνα πρὸς τὸ φῶς τῶν τειχοφυλάκων καὶ τὸν ψόφον τοῦ κώδωνος παροξύνθαι. Τοῦτο μάλιστα τοὺς Ἀράτου στρατιώτας ἐπέρρωσεν, οἰομένους, τὸν κυνηγὸν ἐπικρύπτειν, κοινωνοῦντα τῇ πράξει· εἶναι δὲ πολλοὺς καὶ ἄλλους ἐν τῇ πόλει τοὺς συνεργοῦντας. Οὐ μὴν ἀλλὰ τῷ τείχει προσβαλόντων, χαλεπὸς ἦν ὁ κίνδυνος, καὶ μῆκος ἐλάμβανε, τῶν μὲν κλιμάκων κραδαινομένων, εἰ μὴ καθ' ἕνα καὶ σχολαίως ἀναβαίνοιεν· ἡ δὲ ὥρα κατήπειγεν, ἤδη φθεγγομένων ἀλεκτρυόνων, καὶ ὅσον οὔπω τῶν ἐξ ἀγροῦ τι φέρειν εἰωθότων πρὸς ἀγορὰν ἐπερχομένων. Διὸ καὶ σπεύδων ὁ Ἄρατος ἀνέβαινε, τεσσαράκοντα τῶν πάντων ἀναβεβηκότων πρὸ αὐτοῦ· καὶ προσδεξάμενος ἔτι τῶν κάτωθεν ὀλίγους, ἐπὶ τὴν οἰκίαν τοῦ τυράννου καὶ τὸ στρατήγιον ἐπῆλθεν· ἐνταῦθα γὰρ οἱ μισθοφόροι παρενυκτέρευον. Ἄφνω δ' ἐπιπεσὼν αὐτοῖς, καὶ συλλαβὼν ἅπαντας, οὐδένα δ' ἀποκτείνας, εὐθὺς διεπέμπετο πρὸς τοὺς φίλους, ἀνακαλούμενος ἕκαστον ἀπ' οἰκίας. Καὶ συνδραμόντων πανταχόθεν, ἡμέρα μὲν ὑπέλαμπεν ἤδη, καὶ τὸ θέατρον ἦν ὄχλου μεστὸν, ἔτι πρὸς τὴν ἄδηλον αἰωρουμένων φήμην, καὶ σαφὲς οὐδὲν εἰδότων ὑπὲρ τῶν πραττομένων· πρίν γε δὴ προελθὼν ὁ κήρυξ εἶπεν, ὡς Ἄρατος ὁ Κλεινίου παρακαλεῖ τοὺς πολίτας ἐπὶ τὴν ἐλευθερίαν.

IX. Τότε δὲ πιστεύσαντες ἥκειν, ἃ πάλαι προσεδόκων, ὥρμησαν ἀθρόοι πρὸς τὰς θύρας τοῦ τυράννου πῦρ ἐπιφέροντες. Ἠιρθη δὲ φλὸξ μεγάλη καὶ καταφανὴς μέχρι Κορίνθου, τῆς οἰκίας ἀναφθείσης· ὥστε θαυμάσαντας τοὺς ἐν Κορίνθῳ, παρὰ μικρὸν ὁρμῆσαι πρὸς τὴν βοήθειαν. Ὁ μὲν 1031
οὖν Νικοκλῆς ἐλαθε διά τινων ὑπονόμων ὑπεκδὺς καὶ ἀποδρὰς ἐκ τῆς πόλεως· οἱ δὲ στρατιῶται καταπαύσαντες μετὰ τῶν Σικυωνίων τὸ πῦρ, διήρπαζον

τὴν οἰκίαν. Καὶ οὐδὲ ταῦτ' ἐκώλυσεν ὁ Ἄρατος, τά τε λοιπὰ χρήματα τῶν τυράννων εἰς μέσον ἔθηκε τοῖς πολίταις. Ἀπέθανε δ' οὐδείς, οὐδ' ἐτρώθη τοπαράπαν τῶν ἐπελθόντων, οὐδὲ τῶν πολεμίων, ἀλλὰ καθαρὰν καὶ ἄθικτον αἵματος ἐμφυλίου τὴν πρᾶξιν ἡ τύχη διεφύλαξε. Κατήγαγε δὲ φυγάδας, τοὺς μὲν ἐπὶ Νικοκλέους ἐκπεπτωκότας, ὀγδοήκοντα, τοὺς δ' ἐπὶ τῶν ἔμπροσθεν τυράννων, οὐκ ἐλάττους πεντακοσίων, οἷς μακρὰ μὲν ἡ πλάνη καὶ ὁμοῦ τι πεντηκονταετὴς ἐγεγόνει. Κατελθόντες δ' οἱ πλεῖστοι πένητες, ὧν κύριοι πρότερον ἦσαν, ἐπελαμβάνοντο· καὶ βαδίζοντες ἐπὶ τὰ χωρία καὶ τὰς οἰκίας, δεινὴν ἀπορίαν τῷ Ἀράτῳ παρεῖχον, ἐπιβουλευομένην μὲν ἔξωθεν καὶ φθονουμένην ὑπ' Ἀντιγόνου τὴν πόλιν ὁρῶντι διὰ τὴν ἐλευθερίαν, ταραττομένην δ' ὑφ' αὐτῆς καὶ στασιάζουσαν. Ὅθεν ἐκ τῶν παρόντων ἄριστα κρίνας, προσέμιξεν αὐτὴν φέρων τοῖς Ἀχαιοῖς· καὶ Δωριεῖς ὄντες, ὑπέδυσαν ἑκουσίως ὄνομα καὶ πολιτείαν τὴν Ἀχαιῶν, οὔτ' ἀξίωμα λαμπρὸν, οὔτε μεγάλην ἰσχὺν ἔχόντων τότε. Μικροπολῖται γὰρ ἦσαν οἱ πολλοὶ, καὶ γῆν οὔτε χρηστὴν, οὔτ' ἄφθονον ἐκέκτηντο, καὶ θαλάττῃ προσῳκηκὼν ἀλιμένῳ, τὰ πολλὰ κατὰ βαχίας ἐκφερομένῃ πρὸς τὴν ἤπειρον. Ἀλλὰ μάλιστα δὴ διέδειξαν οὗτοι τὴν Ἑλληνικὴν ἀλκὴν ἀπρόσμαχον οὖσαν, ὁσάκις τύχοι κόσμου καὶ συντάξεως ὁμοφρονούσης, καὶ νοῦν ἔχοντος ἡγεμόνος· οἳ, τῆς μὲν πάλαι τῶν Ἑλλήνων ἀκμῆς οὐδὲν, ὡς εἰπεῖν, μέρος ὄντες, ἐν δὲ τῷ τότε μιᾶς ἀξιολόγου πόλεως σύμπαντες ὁμοῦ δύναμιν οὐκ ἔχοντες, εὐβουλίᾳ καὶ ὁμονοίᾳ, καὶ ὅτι τῷ πρώτῳ κατ' ἀρετὴν ἐδύναντο μὴ φθονεῖν, ἀλλὰ πείθεσθαι καὶ ἀκολουθεῖν, οὐ μόνον αὑτοὺς ἐν μέσῳ πρέλεων καὶ δυνάμεων τηλικούτων καὶ τυραννίδων διεφύλαξαν ἐλευθέρους, ἀλλὰ καὶ τῶν ἄλλων Ἑλλήνων ὡς πλείστους ἐλευθεροῦντες καὶ σώζοντες διετέλουν.

X. Ἦν δ' Ἄρατος τῷ τρόπῳ πολιτικὸς μεγαλόφρων, ἀκριβέστερος εἰς τὰ κοινὰ μᾶλλον τῶν

ἰδίων, πικρὸς μισοτύραννος, ἔχθρας ὅρῳ καὶ φιλίας ἀεὶ τῷ κοινῷ συμφέροντι χρώμενος. Ὅθεν οὐχ οὕτως δοκεῖ γεγονέναι φίλος ἀκριβὴς, ὡς ἐχθρὸς εὐγνώμων καὶ πρᾶος, ὑπὸ τῆς πολιτείας ἐπ' ἀμφότερα τῷ καιρῷ μεταβαλλόμενος· ὁμονοίας ἐθνῶν καὶ κοινωνίας πόλεων, καὶ συνεδρίου καὶ θεάτρου μίαν φωνὴν ἀφιέντος, ὡς οὐδενὸς, ἀλλ' ἢ τῶν καλῶν, ἐραστής· πολέμῳ καὶ ἀγῶνι χρήσασθαι φανερῶς ἀθαρσὴς καὶ δύσελπις, κλέψαι δὲ πράγματα, καὶ συσκευάσασθαι κρύφα πόλεις καὶ τυράννους ἐπιβουλότατος. Διὸ καὶ πολλὰ τῶν ἀνελπίστων κατορθώσας, ἐν οἷς ἐτόλμησεν, οὐκ ἐλάττονα δοκεῖ τῶν δυνατῶν ἐγκαταλιπεῖν δι' εὐλάβειαν. Οὐ γὰρ μόνον, ὡς ἔοικε, θηρίων τινῶν ὄψεις, ἐνεργοὶ διὰ σκότους οὖσαι, μεθ' ἡμέραν ἀποτυφλοῦνται, ξηρότητι καὶ λεπτότητι τῆς περὶ τὸν ὀφθαλμὸν ὑγρότητος, μὴ φερούσης τὴν πρὸς τὸ φῶς σύγκρασιν, ἀλλὰ καὶ δεινότης τις ἐστὶν ἀνθρώπου καὶ σύνεσις ἐν τοῖς ὑπαίθροις καὶ διακεκηρυγμένοις εὐτάρακτος φύσει, πρὸς δὲ τὰς ἐπικρύφους καὶ λαθραίους ἀναθαρσοῦσα πράξεις. Τὴν δὲ τοιαύτην ἀνωμαλίαν ἔνδεια λόγου φιλοσόφου περὶ τὰς εὐφυΐας ἀπεργάζεται, τὴν ἀρετὴν, ὥσπερ καρπὸν αὐτοφυῆ καὶ ἀγεώργητον, ἐκφέρουσα δίχα τῆς ἐπιστήμης. Ταῦτα μὲν οὖν 1032 ἐξεταζέσθω τοῖς παραδείγμασιν.

XI. Ὁ δ' Ἄρατος, ἐπεὶ κατέμιξε τοῖς Ἀχαιοῖς ἑαυτὸν καὶ τὴν πόλιν, ἐν τοῖς ἱππεῦσι στρατευόμενος, ἠγαπᾶτο δ' εὐπείθειαν ὑπὸ τῶν ἀρχόντων, ὅτι, καίπερ συμβολὰς τῷ κοινῷ μεγάλας δεδωκὼς, τὴν ἑαυτοῦ δόξαν καὶ τὴν τῆς πατρίδος δύναμιν, ὡς ἐνὶ τῶν ἐπιτυχόντων, χρῆσθαι παρεῖχεν αὐτῷ τὸν ἀεὶ στρατηγοῦντα τῶν Ἀχαιῶν· εἴτε Δυμαῖος, εἴτε Τριτεὺς, εἴτε μικροτέρας τινὸς ὢν τύχοι πόλεως. Ἦκε δ' αὐτῷ καὶ χρημάτων δωρεὰ παρὰ τοῦ βασιλέως, πέντε καὶ εἴκοσι τάλαντα. Ταῦτ' ἔλαβε μὲν ὁ Ἄρατος, λαβὼν δὲ τοῖς ἑαυτοῦ πολίταις ἐπέδωκεν ἀπορουμένοις εἴς τε τἆλλα καὶ λύτρωσιν αἰχμαλώτων.

XII. Ἐπεὶ δ' οἱ φυγάδες ἦσαν ἀπαρηγόρητοι, τοῖς ἔχουσι τὰς κτήσεις ἐνοχλοῦντες, ἡ τε πόλις ἐκινδύνευεν ἀνάστατος γενέσθαι, μίαν ὁρῶν ἐλπίδα τὴν Πτολεμαίου φιλανθρωπίαν, ὥρμησεν ἐκπλεῦσαι καὶ δεηθῆναι τοῦ βασιλέως, ὅπως αὐτῷ χρήματα συμβάληται πρὸς τὰς διαλύσεις. Ἀνήχθη μὲν οὖν ἀπὸ Μεθώνης ὑπὲρ Μαλέας, ὡς τῷ διὰ πόρου δρόμῳ χρησόμενος. Πρὸς δὲ μέγα πνεῦμα καὶ πολλὴν θάλασσαν ἐκ πελάγους κατιοῦσαν ἐνδόντος τοῦ κυβερνήτου, παραφερόμενος μόλις ἥψατο τῆς Ἀδρίας, πολεμίας οὔσης. Ἐκρατεῖτο γὰρ ὑπ' Ἀντιγόνου, καὶ φυλακὴν εἶχεν ἣν φθάσας ἀπέβη, καὶ τὴν ναῦν καταλιπὼν, ἀπεχώρησε μακρὰν ἀπὸ θαλάσσης, ἔχων ἕνα τῶν φίλων σὺν αὐτῷ, Τιμάνθην. Καὶ καταβαλόντες ἑαυτοὺς εἴς τινα τόπον ὕλης γέμοντα, χαλεπῶς ἐνυκτέρευον. Ὀλίγῳ δ' ὕστερον ὁ φρούραρχος ἐπελθὼν, καὶ ζητῶν τὸν Ἄρατον, ὑπὸ τῶν θεραπόντων ἐξηπατήθη τῶν ἐκείνου, δεδιδαγμένων λέγειν, ὡς εὐθὺς ἀποδρὰς εἰς Εὔβοιαν ἐξέπλευσε. Τὰ μέντοι κομιζόμενα, καὶ τὴν ναῦν, καὶ τοὺς θεραπόντας ἀπέφηνε πολέμια, καὶ κατέσχε. Μετὰ δ' ἡμέρας οὐ πολλὰς ἐν ἀπόροις ὄντι τῷ Ἀράτῳ γίνεταί τις εὐτυχία Ῥωμαϊκῆς νεὼς παραβαλούσης κατὰ τὸν τόπον, ἐν ᾧ τὰ μὲν ἐπὶ σκοπὴν ἀνιὼν, τὰ δὲ κρυπτόμενος διῆγεν. Ἔπλει μὲν οὖν ἡ ναῦς εἰς Συρίαν. Ἐπέβη δὲ πείσας τὸν ναύκληρον ἄχρι Καρίας διακομισθῆναι· καὶ διεκομίσθη, κινδύνοις αὖθις οὐκ ἐλάττοσι χρησάμενος κατὰ θάλατταν. Ἐκ δὲ Καρίας χρόνῳ πολλῷ περαιωθεὶς εἰς Αἴγυπτον, αὐτόθεν τε τῷ βασιλεῖ διακειμένῳ πρὸς αὐτὸν οἰκείως ἐνέτυχε, καὶ τεθεραπευμένῳ γραφαῖς καὶ πίναξιν ἀπὸ τῆς Ἑλλάδος· ἐν οἷς κρίσιν ἔχων οὐκ ἄμουσον ὁ Ἄρατος, ἀεί τι τῶν τεχνικῶν καὶ περιττῶν, μάλιστα δὲ Παμφίλου καὶ Μελιάνθου, συνάγων καὶ κτώμενος ἀπέστελλεν.

XIII. Ἦνθει γὰρ ἔτι δόξα τῆς Σικυωνίας μούσης καὶ χρηστογραφίας, ὡς μόνης ἀδιάφθορον

ἐχούσης τὸ καλόν· ὥστε καὶ Ἀπελλῆν ἐκεῖνον ἤδη θαυμαζόμενον ἀφικέσθαι καὶ συγγενέσθαι τοῖς ἀνδράσιν ἐπὶ ταλάντῳ, τῆς δόξης μᾶλλον, ἢ τῆς τέχνης, δεόμενον μεταλαβεῖν. Διὸ τὰς μὲν ἄλλας εἰκόνας τῶν τυράννων ἀνεῖλεν εὐθὺς ὁ Ἄρατος, ὅτε τὴν πόλιν ἠλευθέρωσε· περὶ δὲ τῆς Ἀριστράτου τοῦ κατὰ Φίλιππον ἀκμάσαντος ἐβουλεύσατο πολὺν χρόνον. Ἐγράφη μὲν γὰρ ὑπὸ πάντων τῶν περὶ τὸν Μέλανθον ὅπλοις νικηφόρῳ παρεστὼς ὁ Ἀριστρατος, Ἀπελλοῦ συνεφαψαμένου τῆς γραφῆς, ὡς Πολέμων, ὁ περιηγητὴς, ἱστόρηκεν. Ἦν δὲ τὸ ἔργον ἀξιοθέατον, ὥστε κάμπτεσθαι τὸν Ἄρατον ὑπὸ τῆς τέχνης, αὖθίς τε μίσει τῷ πρὸς τοὺς τυράννους ἐξαγόμενον, κελεύειν καθαιρεῖν. Τὸν οὖν ζωγράφον, Νεάλκη, φίλον ὄντα τοῦ Ἀράτου, παραιτεῖσθαί φασι, καὶ δακρύειν· ὡς δ' οὐκ ἔπειθεν, εἰπεῖν, ὅτι τοῖς τυράννοις πολεμητέον, οὐ τοῖς τῶν τυράννων. „Ἐάσωμεν οὖν τὸ ὅπλον καὶ τὴν νίκην, αὐτὸν δὲ σοι παρέξω τὸν Ἀριστρατον ἐγὼ πα- 1033
ραχωροῦντα τοῦ πίνακος.“ Ἐπιτρέψαντος οὖν τοῦ Ἀράτου, διήλειψεν ὁ Νεάλκης τὸν Ἀριστρατον· εἰς δὲ τὴν χώραν φοίνικα μόνον ἐνέγραψεν, ἄλλο δ' οὐδὲν ἐτόλμησε παραβαλεῖν. Τοὺς δὲ πόδας ἐξαλειφομένου τοῦ Ἀριστράτου διαλαθεῖν ὑπὸ τὸ ὅπλον λέγουσιν. Ἐκ τε δὴ τούτων ὁ Ἄρατος ἠγαπᾶτο, καὶ διδοὺς πεῖραν, ἔτι μᾶλλον ἥψατο τοῦ βασιλέως, καὶ δωρεὰν ἔλαβε τῇ πόλει πεντήκοντα καὶ ἑκατὸν τάλαντα. Καὶ τούτων τεσσαράκοντα μὲν εὐθὺς μεθ' ἑαυτοῦ κομίζων εἰς Πελοπόννησον κατῆρε, τὰ δὲ λοιπὰ διελὼν εἰς δόσεις ὁ βασιλεὺς ὕστερον κατὰ μέρος ἀπέστειλεν.

XIV. Ἦν μὲν οὖν μέγα καὶ τὸ χρήματα τοσαῦτα πορίσαι τοῖς πολίταις, ὅσων σμικρὸν μέρος ἄλλοι στρατηγοὶ καὶ δημαγωγοὶ λαμβάνοντες παρὰ βασιλέων, ἠδίκουν καὶ κατεδουλοῦντο καὶ προέπινον αὐτοῖς τὰς πατρίδας· μεῖζον δ' ἡ διὰ τῶν χρημάτων τούτων κατασκευασθεῖσα τοῖς μὲν ἀπόροις πρὸς τοὺς πλουσίους διάλυσις καὶ ὁμόνοια, τῷ δὲ

δήμου πάντὶ σωτηρία καὶ ἀσφάλεια· θαυμαστὴ δ' ἡ τοῦ ἀνδρὸς ἐν δυνάμει τοσαύτῃ μετριότης. Ἀποδειχθεὶς γὰρ αὐτοκράτωρ διαλλακτὴς καὶ κύριος ὅλως ἐπὶ τὰς φυγαδικὰς οἰκονομίας μόνος οὐχ ὑπέμεινεν, ἀλλὰ πεντεκαίδεκα τῶν πολιτῶν προσκατέλεξεν ἑαυτῷ, μεθ' ὧν πόνῳ πολλῷ καὶ μεγάλαις πραγματείαις κατειργάσατο καὶ συνήρμοσε φιλίαν καὶ εἰρήνην τοῖς πολίταις. Ἐφ' οἷς οὐ μόνον κοινῇ σύμπαντες οἱ πολῖται τιμὰς ἀπέδοσαν αὐτῷ πρεπούσας, ἀλλὰ καὶ κατ' ἰδίαν οἱ φυγάδες, εἰκόνα χαλκῆν ἀναστήσαντες, ἐπέγραψαν τόδε τὸ ἐλεγεῖον·

Βουλαὶ μὲν καὶ ἄεθλα, καὶ ἃ περὶ Ἑλλάδος ἀλκὰ
Τοῖδ' ἀνδρὸς στάλαις πλήθεται Ἡρακλέους·
Ἄμμες δ' εἰκόν', Ἄρατε, τεὴν, νόστοιο τυχόντες,
Στήσαμεν, ἀντ' ἀρετᾶς ἠδὲ δικαιοσύνας,
Σωτῆρος, σωτῆρσι θεοῖς, ὅτι πατρίδι τᾷ σᾷ
Δαίμον' ἴσον, θείαν τ' ὤπασας εὐνομίαν.

XV. Ταῦτα διαπραξάμενος ὁ Ἄρατος, τοῦ μὲν πολιτικοῦ φθόνου μείζων ἐγεγόνει διὰ τὰς χάριτας· Ἀντίγονος δ', ὁ βασιλεύς, ἀνώμενος ἐπ' αὐτῷ, καὶ βουλόμενος ἢ μεταγεῖν ὅλως τῇ φιλίᾳ πρὸς αὐτὸν, ἢ διαβάλλειν πρὸς τὸν Πτολεμαῖον, ἄλλας τε φιλανθρωπίας ἐνεδείκνυτο μὴ πάνυ προσιεμένῳ, καὶ θύων θεοῖς ἐν Κορίνθῳ, μερίδας εἰς Σικυῶνα τῷ Ἄρατῳ διέπεμπε. Καὶ παρὰ τὸ δεῖπνον, ἐστιωμένων πολλῶν, εἰς μέσον φθεγξάμενος, „Ὡιμην, ἔφη, τὸν Σικυώνιον τοῦτον νεανίσκον ἐλευθέριον εἶναι τῇ φύσει μόνον καὶ φιλοπολίτην· ὁ δὲ καὶ βίων ἔοικε καὶ πραγμάτων βασιλικῶν ἱκανὸς εἶναι κριτής. Πρότερον γὰρ ἡμᾶς ὑπερεώρα, ταῖς ἐλπίσιν ἔξω βλέπων, καὶ τὸν Αἰγύπτιον ἐθαύμαζε πλοῦτον, ἐλέφαντας καὶ στόλους καὶ αὐλὰς ἀκούων· νυνὶ δ' ὑπὸ σκηνὴν ἑωρακὼς πάντα τὰ ἐκεῖ πράγματα τραγῳδίαν ὄντα καὶ σκηνογραφίαν, ὅλος ἡμῖν προσκεχώρηκεν. Αὐτός τ' οὖν ἀποδέχομαι τὸ μειράκιον, ἐγνωκὼς εἰς ἅπαντα χρῆσθαι, καὶ ὑμᾶς ἀξιῶ φίλον νομίζειν." Τούτους τοὺς λόγους ὑπόθεσιν λαβόντες οἱ φθονεροὶ καὶ κακοη-

θεις, διημιλλῶντο ταῖς ἐπιστολαῖς ἀλλήλοις, πολλὰ καὶ δυσχερῆ κατὰ τοῦ Ἀράτου τῷ Πτολεμαίῳ γράφοντες, ὥστε κἀκεῖνον ἐγκαλοῦντα πέμψαι. Ταῖς μὲν οὖν περιμαχήτοις καὶ διαπύροις τοξευομέναις ἔρωσι φιλίαις βασιλέων καὶ τυράννων τοσοῦτον προσῆν φθόνου καὶ κακοηθείας.

XVI. Ὁ δ' Ἄρατος, αἱρεθεὶς στρατηγὸς τὸ πρῶτον ὑπὸ τῶν Ἀχαιῶν, τὴν μὲν ἀντικρὰς Λοκρίδα καὶ Καλυδωνίαν ἐπόρθησε· Βοιωτοῖς δὲ μετὰ μυρίων στρατιωτῶν βοηθῶν, ὑστέρησε τῆς μάχης, ἣν ὑπ' Αἰτωλῶν περὶ Χαιρώνειαν ἡττήθησαν, Α- 1034
βροικρίτου τε, τοῦ Βοιωτάρχου, καὶ χιλίων σὺν αὐτῷ πεσόντων. Ἐνιαυτῷ δ' ὕστερον, αὖθις στρατηγῶν, ἐνίστατο τὴν περὶ τὸν Ἀκροκόρινθον πρᾶξιν, οὐ Σικυωνίων, οὐδ' Ἀχαιῶν, κηδόμενος, ἀλλὰ κοινήν τινα τῆς Ἑλλάδος ὅλης τυραννίδα, τὴν Μακεδόνων φρουράν, ἐκεῖθεν ἐξελάσαι διανοούμενος. Χάρης μὲν γὰρ, ὁ Ἀθηναῖος, ἔν τινι μάχῃ πρὸς τοὺς βασιλέως στρατηγοὺς εὐτυχήσας, ἔγραψε τῷ δήμῳ τῶν Ἀθηναίων, ὡς νενικήκοι τῆς ἐν Μαραθῶνι μάχης ἀδελφήν. Ταύτην δὲ τὴν πρᾶξιν οὐκ ἂν ἁμάρτοι τις ἀδελφὴν προσειπὼν τῆς Πελοπίδου, τοῦ Θηβαίου, καὶ Θρασυβούλου, τοῦ Ἀθηναίου, τυραννοκτονίας πλὴν ὅτι τῷ μὴ πρὸς Ἕλληνας, ἀλλ' ἐπακτὸν ἀρχὴν γεγονέναι καὶ ἀλλόφυλον, αὐτὴ διήνεγκεν. Ὁ μὲν γὰρ Ἰσθμὸς, ἐμφράσσων τὰς θαλάσσας, εἰς ταὐτὸ συνάγει τῷ τόπῳ καὶ συνάπτει τὴν ἤπειρον ἡμῶν· ὁ δ' Ἀκροκόρινθος, ὑψηλὸν ὄρος, ἐκ μέσης ἀναπεφυκὼς τῆς Ἑλλάδος, ὅταν λάβῃ φρουράν, ἐνίσταται καὶ ἀποκόπτει τὴν ἐντὸς Ἰσθμοῦ πᾶσαν ἐπιμιξιῶν τε καὶ παρόδων καὶ στρατειῶν, ἐργασίας τε κατὰ γῆν καὶ κατὰ θάλατταν· καὶ ἕνα κύριον ποιεῖ τὸν ἄρχοντα, καὶ κατέχοντα φρουρᾷ τὸ χωρίον· ὥστε μὴ παίζοντα δοκεῖν τὸν νεώτερον Φίλιππον, ἀλλ' ἀληθῶς, ἑκάστοτε πέδας τῆς Ἑλλάδος τὴν Κορινθίων πόλιν προσαγορεύειν. Πᾶσι μὲν οὖν περιμάχητος ἦν ὁ τόπος, ἀεὶ δὲ βασιλεῦσι καὶ δυνάσταις.

XVII. Ἡ δ' Ἀντιγόνου σπουδὴ περὶ αὐτὸν οὐδὲν ἀπέλιπε πάθει τῶν ἐμμανεστάτων ἐρώντων· ἀλλ' ὅλος ἀνήρητο ταῖς φροντίσιν, ὅπως ἀφαιρήσεται δόλῳ τοὺς ἔχοντας, ἐπεὶ φανερῶς ἦν ἡ ἐπιχείρησις ἀνέλπιστος. Ἀλεξάνδρου γὰρ, ὑφ' ὃν τὸ χωρίον ἦν, ἀποθανόντος, ὡς λέγεται, φαρμάκοις ὑπ' αὐτοῦ, Νικαίας δὲ, τῆς ἐκείνου γυναικὸς, ἐπὶ τῶν πραγμάτων γενομένης, καὶ φυλαττούσης τὸν Ἀπροκόρινθον, εὐθὺς ὑποπέμπων Δημήτριον, τὸν υἱὸν, αὐτῇ, καὶ γλυκείας ἐλπίδας ἐνδιδοὺς γάμων βασιλικῶν καὶ συμβιώσεως πρὸς οὐκ ἀηδὲς ἐντυχεῖν γυναικὶ πρεσβυτέρᾳ μειρακίου, αὐτὴν μὲν ἠρήκει, τῷ παιδὶ χρησάμενος ὥσπερ ἄλλῳ τινὶ τῶν δελεασμάτων ἐπ' αὐτῇ· τὸν δὲ τόπον οὐ προϊεμένης, ἀλλ' ἐγκρατῶς φυλαττούσης, ἀμελεῖν προσποιούμενος, ἔθυε γάμους αὐτῶν ἐν Κορίνθῳ, καὶ θέας ἐπετέλει, καὶ πότους συνῆγε καθ' ἡμέραν, ὡς ἂν τις μάλιστα παίζειν καὶ σχολάζειν τὴν διάνοιαν ὑφ' ἡδονῆς καὶ φιλοφροσύνης ἀφεικώς. Ἐπεὶ δὲ καιρὸς ἦν, ᾄδοντος Ἀμοιβέως ἐν τῷ θεάτρῳ, παρέπεμπε τὴν Νίκαιαν αὐτὸς ἐπὶ τὴν θέαν ἐν φορείῳ κεκοσμημένῳ βασιλικῶς, ἀγαλλομένην τε τῇ τιμῇ καὶ ποθουμένην τοῦ μέλλοντος οὖσαν. Γενόμενος δὲ τῆς ὁδοῦ κατὰ τὴν ἐκτροπὴν τὴν ἄνω φέρουσαν, ἐκείνην μὲν ἐκέλευσε προαγειν εἰς τὸ θέατρον, αὐτὸς δὲ χαίρειν μὲν Ἀμοιβέα, χαίρειν δὲ τοὺς γάμους ἐάσας, ἀνῆει πρὸς τὸν Ἀκροκόρινθον, ἀμιλλώμενος παρ' ἡλικίαν· καὶ κεκλεισμένην τὴν πύλην εὑρὼν, ἔκοπτε τῇ βακτηρίᾳ, κελεύων ἀνοίγειν. Οἱ δ' ἔνδον ἀνέῳξαν καταπλαγέντες. Οὕτω δὲ τοῦ τόπου κρατήσας, οὐ κατέσχεν αὐτὸν, ἀλλ' ἔπινε παίζων ὑπὸ χαρᾶς ἐν τοῖς στενωποῖς, καὶ δι' ἀγορᾶς, αὐλητρίδας ἔχων, καὶ στεφανώσας περικείμενος, ἀνὴρ γέρων, καὶ τηλικαύτας πραγμάτων μεταβολαῖς κεχρημένος, ἐκώμαζε, δεξιούμενος καὶ προσαγορεύων τοὺς ἀπαντῶντας. Οὕτως ἄρα καὶ λύπης καὶ φόβου μᾶλλον ἐξίστησι καὶ θάλπον παρέχει τῇ ψυχῇ τὸ χαίρειν ἄνευ λογισμοῦ παραγινόμενον.

XVIII. Ἀλλὰ γὰρ Ἀνεψιὸς μὲν, ὥσπερ εἴρηται, κτησάμενος τὸν Ἀκροκόρινθον, ἐφύλαττε μετὰ τῶν ἄλλων, οἷς ἐπίστευε μάλιστα, καὶ Περσαῖον ἐπιστήσας ἄρχοντα, τὸν φιλόσοφον. Ὁ δ' 1035
Ἄρατος, ἔτι μὲν καὶ Ἀλεξάνδρου ζῶντος, ἐπεχείρησε τῇ πράξει· γενομένης δὲ συμμαχίας τοῖς Ἀχαιοῖς πρὸς τὸν Ἀλέξανδρον, ἐπαύσατο. Τότε δ' αὖθις ἐξ ὑπαρχῆς ἑτέραν ἔλαβε τῆς πράξεως ὑπόθεσιν τοιαύτην. Ἦσαν ἐν Κορίνθῳ τέσσαρες ἀδελφοὶ, Σύροι τὸ γένος, ὧν εἷς, ὄνομα Διοκλῆς, ἐν τῷ φρουρίῳ μισθοφορῶν διέτριβεν. Οἱ δὲ τρεῖς κλέψαντες βασιλικὸν χρυσίον, ἦλθον εἰς Σικυῶνα πρὸς Αἰγίαν, τινὰ τραπεζίτην, ᾧ δοὺς τὴν ἐργασίαν ὁ Ἄρατος ἐχρῆτο. Καὶ μέρος μὲν εὐθὺς διέθεντο τοῦ χρυσίου, τὸ δὲ λοιπὸν εἰς αὐτῶν, Ἐργῖνος, ἐπιφοιτῶν ἡσυχῇ κατήλλαττεν. Ἐκ δὲ τούτου γενόμενος τῷ Αἰγίᾳ συνήθης, καὶ προαχθεὶς εἰς λόγον ὑπ' αὐτοῦ περὶ τῆς φρουρᾶς, ἔφη πρὸς τὸν ἀδελφὸν, ἀναβαίνων πρὸς τὸ κρημνώδες, ἐντομὴν καθεωρακέναι πλαγίαν, ἄγουσαν, ἢ χθαμαλώτατον ἐπικοδόμηται τῷ φρουρίῳ τὸ τεῖχος. Προσπαίζοντος δ' αὐτῷ τοῦ Αἰγίου, καὶ εἰπόντος· „Εἶτ', ὦ βέλτιστε, διὰ σμικρὸν οὕτω χρυσίον ἀναστάτε τὰς βασιλικὰς πράξεις, δυνάμενοι μίαν ὥραν πολλῶν ἀποδόσθαι χρημάτων; ἢ γὰρ οὐχὶ καὶ τοιχωρύχοις καὶ προδόταις ἁλῶσιν ἅπαξ ἀποθανεῖν ὑπάρχει;" γελάσας ὁ Ἐργῖνος, τότε μὲν ὡμολόγησεν, ἀποπιεσθῆναι τοῦ Διοκλέους· τοῖς γὰρ ἄλλοις ἀδελφοῖς μὴ πάνυ τι πιστεύειν· ὀλίγαις δ' ὕστερον ἡμέραις ἐπανελθὼν, συντίθεται τὸν Ἄρατον ἄξειν πρὸς τὸ τεῖχος, ὅπου τὸ ὕψος οὐ μεῖζον ἦν πεντεκαίδεκα ποδῶν, καὶ τἆλλα συμπράξειν μετὰ τοῦ Διοκλέους.

XIX. Ὁ δ' Ἄρατος ἐκείνοις μὲν ἑξήκοντα τάλαντα δώσειν κατορθώσας ὡμολόγησεν· ἦν δ' ἀπορία, σωθῇ δὲ μετ' ἐκείνων, οἰκίαν ἑκατέρῳ καὶ τάλαντον. Ἔπει δ' ἔδει παρὰ τῷ Αἰγίᾳ τὰ ἑξήκοντα τάλαντα κεῖσθαι τοῖς περὶ τὸν Ἐργῖνον, ὁ δ'

Ἄρατος οὔτ' αὐτὰς εἶχεν, οὔτ' ἐβούλετο δανειζόμενος αἰσθησιν ἑτέρῳ τῆς πράξεως παρασχεῖν, λαβὼν τῶν ἐκπωμάτων τὰ πολλὰ καὶ τὰ χρυσία τῆς γυναικὸς, ὑπέθηκε τῷ Λίγίᾳ πρὸς τὸ ἀργύριον. Ὁ δ' οὕτως ἄρα ἐπῆπτο τῇ ψυχῇ, καὶ τοσοῦτον ἔρωτα τῶν καλῶν πράξεων εἶχεν, ὥστε τὸν Φωκίωνα καὶ τὸν Ἐπαμεινώνδαν ἐπιστάμενος Ἑλλήνων δικαιοτάτους καὶ πρατίστους γεγονέναι δοκοῦντας ἐπὶ τῷ διώρθωσθαι δωρεὰς μεγάλας καὶ μὴ προέρθαι χρημάτων τὸ καλὸν, αὐτὸς εἰς ταῦτα δαπανᾶσθαι κρύφα, καὶ προεισφέρειν, ἐν οἷς ἐκινδύνευε μόνος ὑπὲρ πάντων, οὐδ' εἰδότων τὰ πραττόμενα δῆλος ἦν. Τίς γὰρ οὐκ ἂν θαυμάσειε καὶ συναγωνίσαιτο ἔτι νῦν τῇ μεγαλοψυχίᾳ τοῦ ἀνδρὸς, ὠνουμένου χρημάτων τοσούτων κινδύνων τηλικούτων, καὶ τὰ τιμιώτατα δοκοῦντα τῶν κτημάτων ὑποτιθέντος, ὅπως, παρεισαχθεὶς νυκτὸς εἰς τοὺς πολεμίους, διαγωνίσηται περὶ τῆς ψυχῆς, ἐνέχυρον λαβὼν τὴν ἐλπίδα τοῦ καλοῦ παρ' αὐτῶν, ἄλλο δ' οὐδέν.

XX. Οὔσαν δὲ καθ' αὑτὴν ἐπισφαλῆ τὴν πρᾶξιν ἐπισφαλεστέραν ἐποίησεν ἁμαρτία τις εὐθὺς ἐν ἀρχῇ συμβᾶσα δι' ἄγνοιαν. Ὁ γὰρ οἰκέτης τοῦ Ἄρατου, Τέχνων, ἐτιμᾶτο μὲν, ὡς μετὰ τοῦ Διοκλέους κατασκεψόμενος τὸ τεῖχος· οὕτω δ' ἦν τῷ Διοκλεῖ πρότερον ἐντετυχηκὼς κατ' ὄψιν, ἀλλὰ τὴν μορφὴν αὐτοῦ καὶ τὸ εἶδος δοκῶν κατέχειν, ἐξ ὧν ὁ Ἐργῖνος ἐπεφήμικεν, αὐλοκόμην, καὶ μελάγχρουν, καὶ ἀγένειον. Ἐλθὼν οὖν, ὅτου συνεπέτακτο, τὸν Ἐργῖνον, ὡς ἀφιξόμενον μετὰ τοῦ Διοκλέους, ἀνέμενε πρὸ τῆς πόλεως, πρὸ τοῦ καλουμένου Ὄρνιθος. Ἦν δὲ τρίτῳ πρῶτος ἀδελφὸς Ἐργίνου καὶ Διοκλέους, ὄνομα Διονύσιος, οὐ συνειδὼς τὴν πρᾶξιν, οὐδὲ κοινωνῶν, ὅμοιος δὲ τῷ Διοκλεῖ, προσῆει κατὰ τύχην. Ὁ δὲ Τέχνων πρὸς τὰ σημεῖα τῆς μορφῆς τῇ ὁμοιότητι κινηθεὶς, ἠρώτησε τὸν ἄνθρωπον, εἰ τὰ
1036 συμβόλαιον αὐτοῦ πρὸς Ἐργῖνον εἴη. Φήσαντος δ', ἀδελφὸν εἶναι, παντάπασιν ὁ Τέχνων ἐπείσθη

τῷ Διοκλεῖ διαλέγεσθαι· καὶ μήτε τοὔνομα πυθόμενος, μήτ' ἄλλο μηδὲν προσμείνας τεκμήριον, ἐμβάλλει τε τὴν δεξιὰν αὐτῷ, καὶ περὶ τῶν συγκειμένων πρὸς τὸν Ἐργῖνον ἐλάλει, κἀκεῖνον ἀνέκρινεν. Ὁ δὲ δεξάμενος αὐτοῦ τὴν ἁμαρτίαν πανούργως, ὡμολόγει τε πάντα, καὶ πρὸς τὴν πόλιν ἀναστρέψας, ὑπῆγεν ἀνυπόπτως διαλεγόμενος. Ἤδη δὲ πλησίον ὄντος αὐτοῦ, καὶ μέλλοντος ὅσον οὔπω τὸν Τέχνωνα διαλαμβάνειν, ἀπὸ τύχης αὖ πάλιν ὁ Ἐργῖνος αὐτοῖς ἀπήντησεν. Αἰσθόμενος δὲ τὴν ἀπάτην καὶ τὸν κίνδυνον, διὰ νεύματος ἐδήλωσε τῷ Τέχνωνι φεύγειν· καὶ ἀποπηδήσαντες ἀμφότεροι, δρόμῳ πρὸς τὸν Ἄρατον ἀπεσώθησαν. Οὐ μὴν ἀπέκαμε ταῖς ἐλπίσιν ἐκεῖνος, ἀλλ' ἔπεμψεν εὐθὺς τὸν Ἐργῖνον χρυσίον τε τῷ Διονυσίῳ κομίζοντα καὶ δεησόμενον αὐτοῦ σιωπᾶν. Ὁ δὲ καὶ τοῦτ' ἐποίησε, καὶ τὸν Διονύσιον ἄγων μεθ' ἑαυτοῦ πρὸς τὸν Ἄρατον ἦλθεν. Ἐλθόντα δ' αὐτὸν οὐκέτι διῆκαν, ἀλλὰ δήσαντες ἐφύλαττον ἐν οἰκίσκῳ κατακεκλεισμένον· αὐτοὶ δὲ παρεσκευάζοντο πρὸς τὴν ἐπίθεσιν.

XXI. Ἐπεὶ δ' ἦν ἕτοιμα πάντα, τὴν μὲν ἄλλην δύναμιν ἐκέλευσεν ἐπὶ τῶν ὅπλων νυκτερεύειν· ἀναλαβὼν δὲ λογάδας τετρακοσίους, οὐδ' αὐτοὺς εἰδότας τὰ πραττόμενα, πλὴν ὀλίγων, ἦγε πρὸς τὰς πύλας παρὰ τὸ Ἡραῖον. Ἦν δὲ τοῦ ἔτους ἡ περὶ θέρος ἀκμάζον ὥρα, τοῦ δὲ μηνὸς πανσέληνος· ἡ δὲ νὺξ ἀνέφελος καὶ καταφανὴς, ὥστε καὶ φόβον τὰ ὅπλα παρέχειν, ἀντιλάμποντα πρὸς τὴν σελήνην, μὴ τοὺς φύλακας οὐ λάθωσιν. Ἤδη δὲ τῶν πρώτων ἐγγὺς ὄντων, ἀπὸ θαλάσσης ἀνέδραμε νέφη, καὶ κατέσχε τήν τε πόλιν αὐτὴν, καὶ τὸν ἔξω τόπον, ἐπίσκιον γενόμενον. Ἐνταῦθα δ' οἱ μὲν ἄλλοι συγκαθίσαντες, ὑπελύοντο τὰς κρηπῖδας· οὔτε γὰρ ψόφον ποιοῦσι πολὺν, οὔτ' ὀλισθήματα λαμβάνουσιν οἱ γυμνοῖς τοῖς ποσὶν ἀντιλαμβανόμενοι τῶν κλιμάκων. Ὁ δ' Ἐργῖνος ἑπτὰ λαβὼν νεανίσκους ἐσταλμένους ὑδοιπορικῶς, ἔλαθε τῇ πύλῃ προσμίξας,

Καὶ τὸν πυλωρὸν ἀποκτεννύουσι καὶ τοὺς μετ' αὐτοῦ φύλακας. Ἅμα δ' αἵ τε κλίμακες προσετίθεντο, καὶ κατὰ σπουδὴν ὁ Ἄρατος ὑπερβιβάσας ἑκατὸν ἄνδρας, τοὺς δ' ἄλλους κελεύσας ἕπεσθαι ὡς ἂν δύνωνται τάχιστα, τὰς δὲ κλίμακας ἀναρπάσας, ἐχώρει διὰ τῆς πόλεως μετὰ τῶν ἑκατὸν ἐπὶ τὴν ἄκραν, ἤδη περιχαρὴς διὰ τὸ λανθάνειν, ὡς κατορθῶν. Καί πως ἔτι πρόσωθεν αὐτοῖς ἅπαντα συνῆν φωτὶ φυλακὴ τεσσάρων ἀνδρῶν οὐ καθορωμένοις. Ἔτι γὰρ ἦσαν ἐν τῷ σκιαζομένῳ τῆς σελήνης· ἐκείνους δὲ προσιόντας ἐξ ἐναντίας καθορῶσι. Μικρὸν οὖν ὑποστείλας τειχίοις τισὶ καὶ οἰκοπέδοις, ἐνέδραν ἐπὶ τοὺς ἄνδρας καθίζει. Καὶ τρεῖς μὲν αὐτῶν ἐμπεσόντες ἀποθνήσκουσιν, ὁ δὲ τέταρτος, πληγεὶς ξίφει τὴν κεφαλήν, ἔφυγε, βοῶν, ἔνδον εἶναι τοὺς πολεμίους. Καὶ μετὰ μικρὸν αἵ τε σάλπιγγες ἐπεσήμαινον, ἥ τε πόλις ἐξανίστατο πρὸς τὰ γινόμενα, πλήρεις τ' ἦσαν οἵ τε στενωποὶ διαθρόντων, καὶ φῶτα πολλά, τὰ μὲν κάτωθεν ἤδη, τὰ δ' ἄνωθεν ἀπὸ τῆς ἄκρας περιλαμπε, καὶ κραυγὴ συνερρήγνυτο πανταχόθεν ἄσημος.

XXII. Ἐν τούτῳ δ' ὁ μὲν Ἄρατος ἐμφὺς τῇ πορείᾳ παρὰ τὸ κρημνῶδες ἡμιλλᾶτο, βραδέως καὶ σαλαιπώρως, τὸ πρῶτον, οὐ κατακρατῶν, ἀλλ' ἀποπλανώμενος, τοῦ τρίβου παντάπασιν ἐνδεδυκότος καὶ περισκιαζομένου ταῖς τραχύτησι, καὶ διὰ πολλῶν ἐλιγμῶν καὶ παραβολῶν περαίνοντος πρὸς τὸ τεῖχος. Εἶτα θαυμάσιον οἷον ἡ σελήνη λέγεται διαστέλλουσα τὰ νέφη, καὶ ὑπολαμπουσα τῆς ὁδοῦ τὸ χαλεπώτατον σαφηνίζειν, ἕως ἥψατο τοῦ τείχους καθ' ὃν ἔδει τόπον· ἐκεῖ δὲ πάλιν συνεσκίασε καὶ ἀπέκρυψε, νεφῶν συνελθόντων. Οἱ δὲ περὶ τὰς πύλας ἔξω περὶ τὸ Ἡραῖον ἀπολειφθέντες τοῦ Ἀράτου στρατιῶται, τριακόσιοι τὸ πλῆθος ὄντες,
1037 ὡς ποτὲ παρεισέπεσον εἰς τὴν πόλιν θορύβου τε παντοδαποῦ καὶ φώνων γέμουσαν, οὐ δυνηθέντες ἐξακριβοῦν τὸν αὐτὸν τρίβον, οὐδ' εἰς ἴχνος ἐμβῆναι τῆς ἐκείνων πορείας, ἔπτηξαν ἀθρόοι πρός τι-

νι παλινσκίῳ λαγόνι τοῦ κρημνοῦ συστείλαντες ἑαυτούς· καὶ διεκαρτέρουν ἐνταῦθα περιπαθοῦντες καὶ δυσανασχετοῦντες. Βαλλομένων γὰρ ἀπὸ τῆς ἄκρας ἤδη τῶν περὶ τὸν Ἄρατον, καὶ μαχομένων, ἀλαλαγμὸς ἐναγώνιος ἐχώρει κάτω, καὶ κραυγὴ περιήχει διὰ τὴν ἀπὸ τῶν ὀρῶν ἀνάκλασιν συγκεχυμένη, καὶ ἄδηλος, ὅθεν εἴληφε τὴν ἀρχήν. Διαπορούντων δ' αὐτῶν, ἐφ' ὅ τι χρὴ τραπέσθαι μέρος, Ἀρχέλαος, ὁ τῶν βασιλικῶν ἡγεμὼν, στρατιώτας ἔχων πολλοὺς, μετὰ κραυγῆς ἀνέβαινε καὶ σαλπίγγων, ἐπιφερόμενος τοῖς περὶ τὸν Ἄρατον, καὶ παρήλλαττε τοὺς τριακοσίους. Οἱ δ' ὥσπερ ἐξ ἐνέδρας ἀναστάντες, ἐμβάλλουσιν αὐτῷ καὶ διαφθείρουσιν οἷς ἐπέθεντο πρώτοις· τοὺς δ' ἄλλους καὶ τὸν Ἀρχέλαον φοβήσαντες, ἐτρέψαντο καὶ κατεδίωξαν ἄχρι τοῦ σκεδασθῆναι περὶ τὴν πόλιν διαλυθέντας. Ἄρτι δὲ τούτων νενικηκότων, Ἐργῖνος ἀπὸ τῶν ἄνω μαχομένων ἧκεν, ἀγγέλλων συμπεπλέχθαι τοῖς πολεμίοις τὸν Ἄρατον, ἀμυνομένοις εὐρώστως, καὶ μέγαν ἀγῶνα περὶ αὐτὸ τὸ τεῖχος εἶναι, καὶ τάχους δεῖν τῆς βοηθείας. Οἱ δ' εὐθὺς ἐκέλευον ἡγεῖσθαι· καὶ προσβαίνοντες, ἅμα φωνῇ διεσήμαινον ἑαυτοὺς, ἐπιθαῤῥύνοντες τοὺς φίλους· ἥ τε πανσέληνος ἀπέφηνε τὰ ὅπλα πλείονα φαινόμενα τοῖς πολεμίοις, διὰ τὸ μῆκος τῆς πορείας· καὶ τὸ τῆς νυκτὸς ἠχῶδες τὸν ἀλαλαγμὸν ἀπὸ πολλαπλασιόνων, ἢ τοσούτων, ἐποίει δοκεῖν φέρεσθαι. Τέλος δὲ συνερείσαντες ἐξωθοῦσι τοὺς πολεμίους, καὶ καθυπέρτεροι τῆς ἄκρας ἦσαν, καὶ τὸ φρούριον εἶχον, ἡμέρας ἤδη διαυγούσης, ὅ τε ἥλιος αὐτοῖς εὐθὺς ἐπέλαμπε τῷ ἔργῳ· καὶ παρῆν ἐκ Σικυῶνος ἡ λοιπὴ δύναμις τῷ Ἀράτῳ, δεχομένων κατὰ πύλας τῶν Κορινθίων προθύμως, καὶ τοὺς βασιλικοὺς συλλαμβανόντων.

XXIII. Ἐπεὶ δ' ἀσφαλῶς ἐδόκει πάντα ἔχειν, κατέβαινεν εἰς τὸ θέατρον ἀπὸ τῆς ἄκρας, πλήθους ἀπείρου συῤῥέοντος, ἐπιθυμίᾳ τῆς τ' ὄψεως αὐτοῦ, καὶ τῶν λόγων, οἷς ἔμελλε χρῆσθαι πρὸς τοὺς Κο-

ρινθίους. Ἐπιστήσας δὲ ταῖς παρόδοις ἑκατέρωθεν τοὺς Ἀχαιοὺς, αὐτὸς ἀπὸ τῆς σκηνῆς εἰς μέσον προῆλθε τεθωρακισμένος, καὶ τῷ προσώπῳ διὰ τὸν κόπον καὶ τὴν ἀγρυπνίαν ἠλλοιωμένος· ὥστε τῆς ψυχῆς τὸ γαυρούμενον καὶ χαῖρον ὑπὸ τῆς περὶ τὸ σῶμα βαρύτητος κατακρατεῖσθαι. Τῶν δ' ἀνθρώπων ἅμα τῷ προελθεῖν αὐτὸν ἐκχυθέντων ταῖς φιλοφροσύναις, μεταλαβὼν εἰς τὴν δεξιὰν τὸ δόρυ, καὶ τὸ γόνυ καὶ τὸ σῶμα τῇ ῥοπῇ μικρὸν ἐγκλίνας καὶ ἀπερεισάμενος, εἱστήκει πολὺν χρόνον σιωπῇ δεχόμενος αὐτῶν τοὺς κρότους καὶ τὰς ἐπιβοήσεις, ἐπαινούντων μὲν τὴν ἀρετὴν, ζηλούντων δὲ τὴν τύχην. Ὡς δ' ἐπαύσαντο καὶ κατέστησαν, συναγαγὼν ἑαυτὸν, διεξῆλθε λόγον ὑπὲρ τῶν Ἀχαιῶν τῇ πράξει πρέποντα· καὶ συνέπεισε τοὺς Κορινθίους, Ἀχαιοὺς γενέσθαι, καὶ τῶν πυλῶν τὰς κλεῖς ἀπέδωκε, τότε πρῶτον ἀπὸ τῶν Φιλιππικῶν καιρῶν ὑπ' ἐκείνοις γενομένας. Τῶν δ' Ἀντιγόνου στρατηγῶν Ἀρχέλαον μὲν ἀφῆκεν ὑποχείριον γενόμενον· Θεόφραστον δ' ἀνεῖλεν, οὐ βουλόμενον ἀπαλλάττεσθαι· Περσαῖος δὲ, τῆς ἄκρας ἁλισκομένης, εἰς Κεγχρεὰς διεξέπεσεν. Ὕστερον δὲ λέγεται σχολάζων πρὸς τὸν εἰπόντα, μόνον αὐτῷ δοκεῖν στρατηγὸν εἶναι τὸν σοφὸν, „Ἀλλὰ νὴ τοὺς θεοὺς, φάναι, τοῦτο μάλιστα κἀμοί ποτε τῶν Ζήνωνος ἤρεσκε δογμάτων· νῦν δὲ μεταβάλλομαι, νουθετηθεὶς ὑπὸ τοῦ Σικυωνίου νεανίου." Ταῦτα μὲν οὖν περὶ Περσαίου πλείονες ἱστοροῦσιν.

XXIV. Ὁ δ' Ἄρατος εὐθὺς τό τε Ἡραῖον
1038 ὑφ' ἑαυτῷ καὶ τὸ Λέχαιον ἐποιήσατο· καὶ νεῶν μὲν εἰκοσιπέντε βασιλικῶν ἐκυρίευσεν, ἵππους δὲ πεντακοσίους, καὶ Σύρους τετρακοσίους ἀπέδοτο· τόν τ' Ἀκροκόρινθον ἐφύλαττον οἱ Ἀχαιοὶ τετρακοσίοις ὁπλίταις, καὶ πεντήκοντα κυσί, καὶ κυνηγοῖς ἴσοις ἐν τῷ φρουρίῳ τρεφομένοις. Οἱ μὲν οὖν Ῥωμαῖοι τὸν Φιλοποίμενα θαυμάζοντες, Ἑλλήνων ἔσχατον προσηγόρευον, ὡς μηδενὸς μεγάλου μετ' ἐκεῖνον ἐν τοῖς Ἕλλησι γενομένου. Ἐγὼ δὲ τῶν Ἑλληνικῶν πράξεων ταύτην ἐσχάτην καὶ τεκτάτην φαίην ἂν

πειρᾶσθαι, τοῦτο μὲν τόλμῃ, τοῦτο δὲ τύχῃ ταῖς ἀρίστοις ἐναμίλλων, ὡς ἐδήλωσεν εὐθὺς τὰ γινόμενα. Μεγαρεῖς τε γὰρ ἀποστάντες Ἀντιγόνου τῷ Ἀράτῳ προσέθεντο, καὶ Τροιζήνιοι μετ' Ἐπιδαυρίων συνετάχθησαν εἰς τοὺς Ἀχαιούς. Ἔξοδόν τε πρώτην θέμενος εἰς τὴν Ἀττικὴν ἐνέβαλε, καὶ τὴν Σαλαμῖνα διαβὰς ἐλεηλάτησεν, ὥσπερ ἐξ εἰρκτῆς λειμμένη τῇ δυνάμει τῶν Ἀχαιῶν, ἐφ' ὅ τι βούλοιτο, χρώμενος. Ἀθηναίους δὲ τοὺς ἐλευθέρους ἀφῆκεν ἄνευ λύτρων, ἀρχὰς ἀποστάσεως ἐνθέσθαι αὐτοῖς. Πτολεμαῖον δὲ σύμμαχον ἐποίησε τῶν Ἀχαιῶν, ἡγεμονίαν ἔχοντα πολέμου καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν. Οὕτω δ' ἴσχυσεν ἐν τοῖς Ἀχαιοῖς, ὥστ', ἐπεὶ μὴ κατ' ἐνιαυτὸν ἐξῆν, παρ' ἐνιαυτὸν αἱρεῖσθαι στρατηγὸν αὐτὸν, ἔργῳ δὲ καὶ γνώμῃ δὰ παντὸς ἄρχειν. Ἐώρων γὰρ αὐτὸν οὐ πλοῦτον, οὐ δόξαν, οὐ φιλίαν βασιλικὴν, οὐ τὸ τῆς αὐτοῦ πατρίδος συμφέρον, οὐκ ἄλλο τι, τῆς αὐξήσεως τῶν Ἀχαιῶν ἐπίπροσθεν ποιούμενον. Ἦγετο γὰρ, ἀσθενεῖς ἰδίᾳ τὰς πόλεις ὑπαρχούσας σώζεσθαι δι' ἀλλήλων, ὥσπερ ἐνδεδεμένας τῷ κοινῷ συμφέροντι· καὶ παθάπερ τὰ μέρη τοῦ σώματος ζῶντά καὶ συμπνέοντα δὰ τὴν πρὸς ἄλληλα συμφυΐαν, ὅταν ἀποσπασθῇ καὶ γένηται χωρὶς, ἀτροφεῖ καὶ σήπεται, παραπλησίως τὰς πόλεις ἀπόλλυσθαι μὲν ὑπὸ τῶν διασπώντων τὸ κοινὸν, αὔξεσθαι δ' ὑπ' ἀλλήλων, ὅταν ἄλλου τινὸς μεγάλου μέρη γενόμεναι, κοινῆς προνοίας τυγχάνωσιν.

XXV. Ὁρῶν δὲ τοὺς ἀρίστους τῶν προσοίκων αὐτονομουμένους, Ἄργειος δὲ δουλεύοντας ἀχθόμενος, ἐπεβούλευσεν ἀνελεῖν τὸν τύραννον αὐτῶν, Ἀριστόμαχον, ἅμα τῇ τε πόλει θρεπτήρια τὴν ἐλευθερίαν ἀποδοῦναι φιλοτιμούμενος, καὶ τοῖς Ἀχαιοῖς προσκομίσαι τὴν πόλιν. Οἱ μὲν οὖν τολμῶντες εὑρέθησαν, ὧν Αἰσχύλος πρωτοστάτης ἦν, καὶ Χαριμένης, ὁ μάντις. Ξίφη δ' οὐκ εἶχον, ἀλλ' ἀπείρητο κεκτῆσθαι, καὶ ζημίαι μεγάλαι τοῖς κεκτημένοις ἐπῆσαν ὑπὸ τοῦ τυράννου. Κατασκευάσας οὖν ὁ Ἄρατος αὐτοῖς ἐν Κορίνθῳ μικρὰς παραξιφίδας,

ἐνέβαψεν εἰς σάγματα· καὶ ταῦτα ἐπιτιθεὶς ὑποζυγίοις σκεύη τινὰ παρημελημένα κομίζουσιν, εἰς Ἄργος ἀπέστειλε. Χαριμένους δὲ, τοῦ μάντεως προσλαβόντος ἐπὶ τὴν πρᾶξιν ἄνθρωπον, οἱ περὶ τὸν Αἰσχύλον ἠγανάκτησαν, καὶ δι' ἑαυτῶν ἔπραττον, τοῦ Χαριμένους καταγνόντες. Αἰσθόμενος δ' ἐκεῖνος, ὀργῇ κατεμήνυσε τοὺς ἄνδρας ἤδη βαδίζοντας ἐπὶ τὸν τύραννον· ὧν οἱ πλεῖστοι φθάσαντες ἐξ ἀγορᾶς ἀπέφυγον, καὶ διεξέπεσον εἰς Κόρινθον. Οὐ μὴν ἀλλὰ χρόνου βραχέος διελθόντος, ἀποθνήσκει μὲν ὑπὸ δούλων Ἀριστόμαχος, ὑπολαμβάνει δὲ τὴν ἀρχὴν φθάσας Ἀρίστιππος, ἐξωλέστερος ἐκείνου τύραννος. Ὅσοι δὴ τῶν Ἀχαιῶν ἐν ἡλικίᾳ παρόντες ἔτυχον, τούτους ἀναλαβὼν ὁ Ἄρατος ἐβοήθει πρὸς τὴν πόλιν ὀξέως, οἰόμενος εὑρήσειν τὰ τῶν Ἀργείων πρόθυμα. Τῶν δὲ πολλῶν ἤδη διὰ συνήθειαν ἐθελοδούλως ἐχόντων, καὶ μηδενὸς ἀφισταμένου πρὸς αὐτὸν, ἀνεχώρησεν, ἔγκλημα κατεσκευακὼς τοῖς Ἀχαιοῖς, ὡς ἐν εἰρήνῃ πόλεμον ἐξενηνοχόσι. Καὶ δίκην ἔσχον ἐπὶ τούτῳ
30. 39 παρὰ Μαντινεῦσιν· ἦν, Ἄρατου μὴ παρόντος, Ἀρίστιππος εἶλε διώκων, καὶ μνῶν ἐτιμήθη τριακοντα. Τὸν δ' Ἄρατον αὐτὸν ἅμα καὶ μισῶν καὶ δεδοικὼς ἐπεβούλευεν ἀνελεῖν, συνεργοῦντος Ἀντιγόνου, τοῦ βασιλέως· καὶ πανταχοῦ σχεδὸν ἦσαν οἱ τοῦτο πράττοντες αὐτοῖς, καὶ καιρὸν ἐπιτηροῦντες. Ἀλλ' οὐδὲν οἷον ἀληθινὴ καὶ βέβαιος εὔνοια φυλακτήριον ἀνδρὸς ἄρχοντος. Ὅταν γὰρ ἐθισθῶσιν οἵ τε πολλοὶ καὶ οἱ δυνατοὶ, μὴ τὸν ἡγούμενον, ἀλλ' ὑπὲρ τοῦ ἡγουμένου δεδιέναι, πολλοῖς μὲν ὄμμασιν ὁρᾷ, διὰ πολλῶν δ' ὤτων ἀκούει καὶ προαισθάνεται τὰ γινόμενα. Διὸ καὶ βούλομαι, τὸν λόγον ἐπιστήσας ἐνταῦθά που, διεξελθεῖν περὶ τῆς Ἀριστίππου διαίτης, ἣν ἡ ζηλοτυπουμένη τυραννὶς αὐτῷ καὶ ὁ τῆς μακαρίας καὶ περιβοήτου μοναρχίας ὄγκος περιεθηκεν.

XXVI. Οὗτος γὰρ Ἀντίγονον μὲν ἔχων σύμμαχον, τρέφων δὲ πολλοὺς ἕνεκεν τῆς τοῦ σώματος

ἀσφαλείας, οὐδένα δ' ἐν τῇ πόλει ζῶντα τῶν ἐχθρῶν ὑπολελοιπὼς, τοὺς μὲν δορυφόρους καὶ φυλακὰς ἔξω παρεμβάλλειν ἐκέλευσεν ἐν τῷ περιστύλῳ· τοὺς δ' οἰκέτας, ὁπότε δειπνήσαι, τάχιστα πάντας ἐξελαύνων, καὶ τὴν μέσαυλον ἀποκλείων, μετὰ τῆς ἐρωμένης αὐτὸς εἰς οἴκημα κατεδύετο μικρὸν ὑπερῷον, θύρα καταῤῥακτῇ κλειόμενον· ἧς ὑπεράνω τὴν κλίνην ἐπιτιθεὶς, ἐκάθευδεν, ὡς εἰκὸς καθεύδειν τὸν οὕτως ἔχοντα, ταραχωδῶς καὶ περιφόβως. Τὸ δὲ κλιμάκιον ἡ τῆς ἐρωμένης μήτηρ ὑφαιροῦσα, κατέκλειεν εἰς ἕτερον οἴκημα, καὶ πάλιν ἅμ' ἡμέρᾳ προσετίθει, καὶ κατεκάλει τὸν θαυμαστὸν τύραννον, ὥσπερ ἑρπετὸν ἐκ φωλεοῦ κατερχόμενον. Ὁ δ' οὐχ ὅπλοις κατὰ βίαν, νόμῳ δ' ὑπ' ἀρετῆς, ἀκατάπαυστον ἀρχὴν περιπεποιημένος, ἐν ἱματίῳ καὶ χλαμυδίῳ τῷ τυχόντι, τῶν πώποτε τυράννων κοινὸς ἀποδεδειγμένος ἐχθρὸς, ἄχρι τῆς τημέρον ἡμέρας γένος εὐδοκιμώτατον ἀπολέλοιπεν ἐν τοῖς Ἕλλησιν. Ἐκείνων δὲ τῶν τὰς ἄπρας καταλαμβανόντων, καὶ τοὺς δορυφόρους τρεφόντων, καὶ τὰ ὅπλα καὶ τὰς πύλας καὶ τοὺς καταῤῥάκτας προβαλλομένων ὑπὲρ τῆς τοῦ σώματος ἀσφαλείας, ὀλίγοι τὸν ἐκ πληγῆς θάνατον, ὥσπερ οἱ λαγωοὶ, διέφυγον· οἶκος δ', ἢ γένος, ἢ ταφὸς, ἔχων τιμωμένην μνήμην, οὐδενὸς λέλειπται.

XXVII. Πρὸς δ' οὖν τὸν Ἀριστίππου ὁ Ἄρατος καὶ κρύφα πολλάκις καὶ φανερῶς προσέπταισεν, ἐπιχειρήσας καταλαμβάνειν τὸ Ἄργος. Ἅπαξ δὲ καὶ κλίμακας προσθεὶς, μετ' ὀλίγων ἐπὶ τὸ τεῖχος ἀνέβη παραβόλως, καὶ τοὺς βοηθοῦντας ἐνταῦθα τῶν φυλάκων ἀπέκτεινεν. Εἶτα ἡμέρας ἐπιφανείσης, καὶ τοῦ τυράννου πανταχόθεν αὐτῷ προσβάλλοντος, οἱ μὲν Ἀργεῖοι, καθάπερ οὐχ ὑπὲρ τῆς ἐκείνων ἐλευθερίας τῆς μάχης οὔσης, ἀλλ' ὡς τὸν ἀγῶνα τῶν Νεμείων βραβεύοντες, ἴσοι καὶ δίκαιοι θεαταὶ καθῆντο τῶν γινομένων, πολλὴν ἡσυχίαν ἄγοντες· ὁ δ' Ἄρατος εὐρώστως ἀμυνόμενος, λόγχῃ μὲν ἐκ χειρὸς διελαύνεται τὸν μηρὸν, ἐκράτησε δὲ τῶν τόπων, ἐν

οἷς ἦν, καὶ οὐκ ἐξεώσθη μέχρι νυκτὸς, ἐνοχλούμενος ὑπὸ τῶν πολεμίων. Εἰ δὲ καὶ τὴν νύκτα τῷ πόνῳ προσεταλαιπώρησεν, οὐκ ἂν δοκιμάστην· ὁ γὰρ τύραννος ἤδη περὶ ὄρθρον ἦκε, καὶ πολλὰ τῶν ἰδίων ἐπὶ θάλασσαν προεξέπεμψε· τῶν δὲ, τοῦτο μὲν οὐδενὸς ἐξαγγείλαντος πρὸς τὸν Ἄρατον, ὕδατος δ' ἐπιλείποντος, ἑαυτῷ δὲ χρήσασθαι διὰ τὸ τραῦμα μὴ δυνάμενος, ἀπῆγαγε τοὺς στρατιώτας.

XXVIII. Ἐπεὶ δὲ ταύτην ἀπέγνω τὴν ὁδὸν, ἐμβαλὼν φανερῶς τῷ στρατοπέδῳ τὴν Ἀργολίδα χώραν ἐπόρθει, καὶ περὶ τὸν Χάονα ποταμὸν ἰσχυρᾶς μάχης γενομένης πρὸς τὸν Ἀριστίππου, αἰτίαν ἔσχεν ὡς ἐγκαταλιπὼν τὸν ἀγῶνα καὶ πρεσβεύσας τὸ νίκημα. Τῆς γὰρ ἄλλης δυνάμεως ὁμολογουμένως ἐπικρατούσης, καὶ τῷ διωγμῷ πολὺ προελθούσης εἰς τοὔμπροσθεν, αὐτὸς οὐχ οὕτως ἐκβιασθεὶς ὑπὸ τῶν καθ' αὑτὸν, ὡς ἀπιστῶν τῇ πατορθώσει καὶ φοβηθεὶς, ἀνεχώρησε τεταραγμένος εἰς τὸ στρατόπεδον. Ἐπεὶ δ' ἀπὸ τῆς δωρέας ἐπανελθόντες οἱ λοιποὶ χαλεπῶς ἔφερον, ὅτε τρεψάμενοι τοὺς πολεμίους, καὶ πολὺ πλείονας ἐκείνων κατεβαλόντες, ἢ σφῶν αὐτῶν ἀπολέσαντες, περιελείπεσθε τοῖς ἡττημένοις στῆσαι κατ' αὐτῶν τρόπαιον, αἰχμηθεὶς, πάλαι ἤγων διαμάχεσθαι περὶ τοῦ τροπαίου, καὶ μίαν ἡμέραν διαλιπὼν, αὖθις ἐξέπεμψε τὴν στρατιάν. Ὡς δ' ἤσθετο πλείονας γεγονότας καὶ θαρραλεώτερον ἀνθισταμένους τοὺς περὶ τὸν τύραννον, οὐκ ἐτόλμησεν, ἀλλ' ἀπῆλθε τοὺς νεκροὺς ὑποσπόνδους ἀνελόμενος. Οὐ μὴν ἀλλὰ τῇ περὶ τὴν ὁμιλίαν καὶ πολιτείαν ἐμπειρίᾳ καὶ χάριτι τὴν διαμαρτίαν ταύτην ἀναμαχόμενος, προσηγάγετο τοὺς Κλειτορίους τοῖς Ἀχαιοῖς καὶ τὸν ἀγῶνα τῶν Νεμείων ἤγαγεν ἐν Κλειτορίαις, ὡς πάτριον ὄντα καὶ μᾶλλον προσήκοντα τούτοις. Ἤγαγον δὲ καὶ Ἀργεῖοι, καὶ συνεχώθη τότε πρῶτον ἡ διδομένη τοῖς ἀγωνισταῖς ἀσυλία καὶ ἀσφάλεια πάντως τῶν Ἀχαιῶν, ὅπως ἅπαντες ἡγωνισμένους ἐν Ἄργει, διὰ τῆς χώρας πορευόμενους, ὡς

πολεμίους ἀποδυομένων. Οὕτω σφοδρὸς ἦν καὶ ἀπαραίτητος ἐν τῷ μισεῖν τοὺς τυράννους.

XXIX. Ὀλίγῳ δ' ὕστερον ἀκούσας, τὸν Ἀρίστιππον ἐπιβουλεύειν μὲν τοῖς Κλεωναῖς, φοβεῖσθαι δ' ἐκεῖνον ἐν Κορίνθῳ καθεζόμενον, ἤθροισεν ἐκ παραγγέλματος στρατιάν. Καὶ σιτία κελεύσας πλεόναν ἡμερῶν κομίζειν, εἰς Κεγχρεὰς κατῆλθεν, ἐκκαλούμενος δι' ἀπάτης τὸν Ἀρίστιππον, ὡς, αὐτοῦ μὴ παρόντος, ἐπιθέσθαι τοῖς Κλεωναίοις· ὃ καὶ συνέβη. Παρῆν γὰρ εὐθὺς ἐξ Ἄργους ἔχων τὴν θύναμιν. Ὁ δ' Ἄρατος, εἰς Κόρινθον ἤδη σκοταῖος ἐκ Δεγχρεῶν ὑποστρέψας, καὶ τὰς ὁδοὺς φυλακαῖς διαλαβών, ἦγε τοὺς Ἀχαιούς, ἑπομένους οὕτω μὲν εὐτάκτως, οὕτω δὲ ταχέως καὶ προθύμως, ὥστε μὴ μόνον ὁδεύοντας, ἀλλὰ καὶ παρελθόντας εἰς τὰς Κλεωνάς, ἔτι νυκτὸς οὔσης, καὶ συνταξαμένους ἐπὶ μάχην ἀγνοεῖσθαι, καὶ λανθάνειν τὸν Ἀρίστιππον. Ἅμα δ' ἡμέρᾳ τῶν πυλίδων ἀνοιχθεισῶν, καὶ τῆς σάλπιγγος ἐμβεβροντημένης, δρόμῳ καὶ ἀλαλαγμῷ προσπεσὼν τοῖς πολεμίοις, εὐθὺς ἐτρέψατο, καὶ κατεῖχε διώκων, ἣ μάλιστα φεύγειν ὑπενόει τὸν Ἀρίστιππον. Ἐκπεσὼν πολλὰς τῶν χωρίων ἐχόντων. Γενομένης δὲ τῆς διώξεως ἄχρι Μυκηνῶν, ὁ μὲν τύραννος ὑπό Κρητός τινος, ὡς Δείσιας ἱστορεῖ, τοὔνομα Τραγίσκου, καταληφθεὶς ἀποσφάττεται, τῶν δ' ἄλλων ἔπεσον ὑπὲρ χιλίους πεντακοσίους. Ὁ δ' Ἄρατος αὖτε λαμπρῶς εὐτυχήσας, καὶ μηδένα τῶν αὐτοῦ στρατιωτῶν ἀποβαλών, ὅμως οὐκ ἔλαβε τὸ Ἄργος, οὐδ' ἠλευθέρωσε, τῶν περὶ Ἀγίαν καὶ τὸν νεώτερον Ἀριστόμαχον μετὰ δυνάμεως βασιλικῆς παρεισπεσόντων καὶ κατασχόντων τὰ πράγματα. Τὸ μὲν οὖν πολὺ τῆς διαβολῆς καὶ λόγους καὶ σπέρματα καὶ ῥωμολοχίας παρείλετα τῶν κολακευόντων τοὺς τυράννους, καὶ δεξιόντων ἐκείνοις χαριζομένων, ὡς τοῦ στρατηγοῦ τῶν Ἀχαιῶν ἐκταράττοντος μὲν ἡ κοιλία παρὰ τὰς μάχας, πάρος δὲ προσπίπτοις καὶ ὀλίγος ὤμα τῷ παραστῆναι τὸν σαλπιγκτὴν· ἐπὰ

ἕως δὲ τὴν δύναμιν καὶ τὸ σύνθημα παρεγγυήσας, καὶ πυθόμενος τῶν ὑποστρατήγων καὶ λοχαγῶν, μή τις αὐτοῦ χρεία παρόντος, (βεβλῆσθαι γὰρ τοὺς ἀστραγάλους) ἀπέρχοιτο παραδοκήσων πόρρωθεν τὸ συμβησόμενον. Ταῦτα γὰρ οὕτως ἴσχυσεν, ὥστε καὶ τοὺς φιλοσόφους ἐν ταῖς σχολαῖς ζητοῦντας, εἰ τὸ πάλλεσθαι τὴν καρδίαν, καὶ τὸ χρῶμα τρέπεσθαι παρὰ τὰ φαινόμενα δεινά, δείλιάς ἐστιν, ἢ δυσκρασίας τινὸς περὶ τὸ σῶμα καὶ ψυχρότητος, ὀνομάζειν ἀεὶ τὸν Ἄρατον, ὡς ἀγαθὸν μὲν ὄντα στρατηγὸν, ἀεὶ δὲ ταῦτα πάσχοντα παρὰ τοὺς ἀγῶνας.

1041 XXX. Ὡς δ' οὖν τὸν Ἀρίστιππον ἀνεῖλεν, εὐθὺς ἐπεβούλευσε Λυσιάδῃ, τῷ Μεγαλοπολίτῃ, τυραννοῦντι τῆς ἑαυτοῦ πατρίδος. Ὁ δ' οὐκ ὢν ἀγεννὴς, οὐδ' ἀφιλότιμος τὴν φύσιν, οὐδ', ὥσπερ οἱ πολλοὶ τῶν μοναρχῶν, ἀκρασίᾳ καὶ πλεονεξίᾳ πρὸς ταύτην ὑβρεις τὴν ἀδικίαν, ἀλλ' ἐπαρθεὶς ἔρωτι δόξης ἔτι νέος, καὶ λόγους ψευδεῖς καὶ κενοὺς λεγομένους περὶ τυραννίδος, ὡς μαναρίου καὶ θαυμαστοῦ πράγματος, εἰς μέγα φρόνημα παραδεξάμενος ἀνοήτως, καὶ καταστήσας ἑαυτὸν τύραννον, ταχὺ μεστὸς ἦν τῆς ἐκ μοναρχίας βαρύτητος. Ἅμα δὲ καὶ ζηλῶν εὐημεροῦντα, καὶ δεδοικὼς ἐπιβουλεύοντα τὸν Ἄρατον, ὥρμησε, καλλίστην ὁρμὴν μεταβαλόμενος, πρῶτον μὲν ἑαυτὸν ἐλευθερῶσαι μίσους, καὶ φόβου, καὶ φρουρᾶς, καὶ δορυφόρων, εἶτα τῆς πατρίδος εὐεργέτης γενέσθαι. Καὶ μεταπεμψάμενος τὸν Ἄρατον, ἀφῆκε τὴν ἀρχὴν, καὶ τὴν πόλιν εἰς τοὺς Ἀχαιοὺς μετεκόμισεν. Ἐφ' οἷς μεγαλύνοντες αὐτὸν οἱ Ἀχαιοὶ, στρατηγὸν εἵλοντο. Φιλοτιμούμενος δ' εὐθὺς ὑπερβαλεῖν δόξῃ τὸν Ἄρατον, ἄλλας τε πολλὰς πράξεις, οὐκ ἀναγκαίας εἶναι δοκούσας, καὶ στρατείαν ἐπὶ Λακεδαιμονίους παρήγγειλεν. Ἐνισταμένου δ' ὁ Ἄρατος αὐτῷ φθονεῖν ἐδόκει· καὶ τό γε δεύτερον ὁ Λυσιάδης στρατηγὸς ᾑρέθη, ἀντιπράττοντος ἄντικρυς Ἄρατου, καὶ σπουδάζοντος ἑτέρῳ παραδοθῆναι τὴν ἀρχήν. Αὐτὸς μὲν γὰρ, ὡς εἴρηται, παρ' ἐναυτὸν ἦγε. Μέχρι μὲν οὖν τρίτης στρατηγίας ὁ Λυσιά-

θης εὖ φερόμενος διετέλει, καὶ παρ' ἐνιαυτὸν ἦρχεν ἐναλλὰξ τῷ Ἀράτῳ στρατηγῶν· φανερὰν δ' ἐξενεγκάμενος ἔχθραν, καὶ πολλάκις αὐτοῦ κατηγορήσας ἐν τοῖς Ἀχαιοῖς, ἀπερρίφη. Καὶ γὰρ ὤφθη πεπλασμένῳ δακρύων ἦθει πρὸς ἀλήθειαν καὶ ἀπέραντον ἀρετὴν ἀμιλλᾶσθαι. Καὶ καθάπερ τῷ κόκκυγι φησὶν Ἴσωπος, ἐρωτῶντι τοὺς λεπτοὺς ὄρνιθας, ὁ τὸ φεύγειν αὐτὸν, εἰπεῖν ἐκείνους, ὡς ἔσται ποτὲ ἱεράξι οὕτως ἔοικε τῷ Δυσιώδει παρακολουθεῖν ἐκ τῆς τυραννίδος ὑποψία βλάπτουσα τὴν πίστιν αὐτοῦ τῆς μεταβολῆς.

XXXI. Ὁ δ' Ἄρατος εὐδοκίμησε καὶ περὶ τὰς Αἰτωλικὰς πράξεις· ὅτε συμβαλεῖν μὲν αὐτοῖς πρὸ τῆς Μεγαρικῆς ὡρμημένων τῶν Ἀχαιῶν, καὶ τοῦ βασιλέως τῶν Λακεδαιμονίων, Ἄγιδος, ἀφικνουμένου μετὰ δυνάμεως, καὶ συνεξορμῶντος ἐπὶ τὴν μάχην τοὺς Ἀχαιοὺς, ἐναντιωθεὶς, καὶ πολλὰ μὲν ὠνείδη, πολλὰ δ' εἰς μαλακίαν καὶ ἀτολμίαν καὶ σκώμματα καὶ χλευασμὸν ὑπομείνας, οὐ προήκατο τοῦτο τοῦ συμφέροντος λογισμὸν διὰ τὸ φαινόμενον αἰσχρὸν, ἀλλὰ, παρεχώρησε τοῖς πολεμίοις ὑπερβαλοῦσι τὴν Γεράνειαν ἀμαχεὶ παρελθεῖν εἰς Πελοπόννησον. Ὡς μέντοι παρελθόντες ἐξαίφνης Πελλήνην κατέλαβον, οὐκέτ' ἦν ὁ αὐτὸς, οὐδ' ἔμελλε διατρίβων καὶ περιμένων ἀθροισθῆναι καὶ συνελθεῖν εἰς ταὐτὸ πανταχόθεν τὴν δύναμιν, ἀλλ' εὐθὺς ὥρμησε μετὰ τῶν παρόντων ἐπὶ τοὺς πολεμίους ἐν τῷ κρατεῖν ἀσθενεστάτους δὲ ἀταξίαν καὶ ὕβριν ὄντας. Ἅμα γὰρ τῷ παρελθεῖν εἰς τὴν πόλιν, οἱ μὲν στρατιῶται, διασπαρέντες ἐν ταῖς οἰκίαις, ἦσαν ἐξωθοῦντες ἀλλήλους καὶ διαμαχόμενοι περὶ τῶν χρημάτων· ἡγεμόνες δὲ καὶ λοχαγοὶ τὰς γυναῖκας καὶ τὰς θυγατέρας τῶν Πελληνέων περιϊόντες ἥρπαζον, καὶ τὰ κράνη τὰ αὐτῶν ἀφαιροῦντες ἐκείνοις περιετίθεσαν, τοῦ μηδένα λαβεῖν ἄλλον, ἀλλὰ τῷ κράνει δῆλον εἶναι τὸν δεσπότην ἑκάστης. Οὕτω δὲ διαπεμπόμενοις αὐτοῖς καὶ ταῦτα πράττουσιν ἐξαίφνης ὁ Ἄρατος ἐπιπέσων προσηγγέλθη. Καὶ γενομένης ἐκπλήξεως, οἵαν

εἰκὸς ἦν ἀταξίᾳ τοιαύτῃ, πρὶν ἢ πάντας συνθέσθαι 1042
τὸν κίνδυνον, οἱ πρῶτοι περὶ τὰς πύλας τοῦ Ἀχαιοῖς καὶ τὰ πρόασταια συμπεσόντες ἔφευγον, ἤδη νενικημένοι· καὶ κατεπίμπλασαν ἐλαυνόμενοι προτροπάδην ἀπορίας τοὺς συνισταμένους καὶ προσβοηθοῦντας.

XXXII. Ἐν τούτῳ δὲ τῷ παράχῳ μία τῶν αἰχμαλώτων, Ἐπιγήθους, ἀνδρὸς ἐνδόξου, θυγάτηρ, αὐτὴ δὲ κάλλει καὶ μεγέθει σώματος εὐπρεπὴς, ἔτυχε μὲν ἐν τῷ ἱερῷ καθεζομένη τῆς Ἀρτέμιδος, οὐ κατέστησεν αὐτὴν ὁ ἐπιλεκτάρχης, ἑλὼν ἑαυτῷ, καὶ περιθεὶς τὴν τριλοφίαν· ἀφνὼ δ' ἐξδραμοῦσα πρὸς τὸν θόρυβον, ὡς ἔστη πρὸ τῶν θυρῶν τοῦ ἱεροῦ, καὶ κατέβλεψεν εἰς τοὺς μαχομένους ἄνωθεν ἔχουσα τὴν τριλοφίαν, αὐτοῖς τε τοῖς πολίταις θέαμα σεμνότερον, ἢ κατ' ἄνθρωπον, ἐφάνη, καὶ τοῖς πολεμίοις φάσμα θεῖον ὀργὴν δακοῦσι φρίκην ἐνέβαλε καὶ θάμβος, ὥστε μηδένα τρέπεσθαι πρὸς ἀλκήν. Αὐτοὶ δὲ Πελληνεῖς λέγουσι, τὸ βρέτας τῆς θεοῦ τὸν μὲν ἄλλον ἀποκεῖσθαι χρόνον ἄψαυστον· ὅταν δὲ κινηθὲν ὑπὸ τῆς ἱερείας ἐκφέρηται, μηδένα προσβλέπειν ἐναντίον, ἀλλ' ἀποτρέπεσθαι πάντας· οὐ γὰρ ἀνθρώποις μόνον ὅραμα φρικτὸν εἶναι καὶ χαλεπὸν, ἀλλὰ καὶ δένδρα ποιεῖν ἄφορα, καὶ καρποὺς ἀπαμβλίσκειν, δι' ὧν ἂν κομίζηται. Τοῦτο δὴ τότε τὴν ἱέρειαν ἐξενεγκαμένην, καὶ τρέπουσαν ἀεὶ κατὰ τοὺς Αἰτωλοὺς ἀντιπρόσωπον, ἔκφρονας κατασῆσαι, καὶ παρελέσθαι τὸν λογισμόν. Ὁ δ' Ἄρατος οὐδὲν ἐν τοῖς ὑπομνήμασιν εἴρηκε τοιοῦτον, ἀλλά φησι, τρεψάμενος τοὺς Αἰτωλοὺς, καὶ φεύγουσι συνεισπεσὼν εἰς τὴν πόλιν, ἐξελάσαι κατὰ κράτος, ἑπτακοσίους δ' ἀποκτεῖναι. Τὸ δ' ἔργον ἐν τοῖς μεγίστοις διεβοήθη, καὶ Τιμάνθης, ὁ ζωγράφος, ἐποίησεν ἐμφαντικῶς τῇ διαθέσει τὴν μάχην ἔχουσαν.

XXXIII. Οὐ μὴν ἀλλὰ πολλῶν ἐθνῶν καὶ δυναστῶν ἐπὶ τοὺς Ἀχαιοὺς συνισταμένων, εὐθὺς ὁ Ἄρατος ἔπραττε φιλίαν πρὸς τοὺς Αἰτωλοὺς, καὶ

Πανταλέοντι, τῷ πλείστων Αἰτωλῶν δυνηθέντι, συμπραγῶ χρησάμενος, οὐ μόνον εἰρήνην, ἀλλὰ καὶ συμμαχίαν τοῖς Ἀχαιοῖς πρὸς τοὺς Αἰτωλοὺς ἐποίησε. Τοὺς δ' Ἀθηναίους σπουδάζων ἐλευθεροῦσαι, διεβλήθη καὶ κακῶς ἤκουσεν ὑπὸ τῶν Ἀχαιῶν, ὅτι, σπονδὰς πεποιημένων αὐτῶν πρὸς τοὺς Μακεδόνας, καὶ ἀνοχὰς ἀγόντων, ἐπεχείρησε τὸν Πειραιᾶ καταλαβεῖν. Αὐτὸς δ' ἀρνούμενος ἐν τοῖς ὑπομνήμασιν, οἷς ἀπολέλοιπεν, Ἐργῖνον αἰτιᾶται, μεθ' οὗ τὰ περὶ τὸν Ἀκροκόρινθον ἔπραξεν. Ἐκεῖνον γὰρ, ἰδίᾳ τῷ Πειραιεῖ προσβάλλοντα, καὶ τῆς κλίμακος συνεριβδίσης, διωκόμενον ὀνομάζειν Ἄρατον, καὶ καλεῖν συνεχῶς, ὥσπερ παρόντα, καὶ διαφυγεῖν οὕτω ἐξαπατήσαντα τοὺς πολεμίους. Οὐ μὴν δοκεῖ πιθανῶς ἀπολογεῖσθαι. Τὸν γὰρ Ἐργῖνον, ἄνθρωπον ἰδιώτην, καὶ Σύρον, ἀπ' οὐδενὸς ἦν εἰκὸς ἐπὶ νοῦν βαλέσθαι τηλικαύτην πρᾶξιν, εἰ μὴ τὸν Ἄρατον εἶχεν ἡγεμόνα, καὶ παρ' ἐκείνου τὴν δύναμιν καὶ τὸν καιρὸν εἰλήφει πρὸς τὴν ἐπίθεσιν. Ἐθήλωσε δὲ καὶ αὐτὸς ὁ Ἄρατος, οὐ δὶς, οὐδὲ τρὶς, ἀλλὰ πολλάκις, ὥσπερ οἱ φυσέρωτες, ἐπιχειρήσας τῷ Πειραιεῖ, καὶ πρὸς τὰς διαφορὰς οὐκ ἀποκαμών, ἀλλὰ τῷ παρὰ μικρὸν ἀεὶ καὶ σύνεγγυς ἀποσφάλλεσθαι τὴν ἐλπίδα πρὸς τὸ θαρρεῖν ἀναπολούμενος. Ἅπαξ δὲ καὶ τὸ σκέλος ἔσπασε διὰ τοῦ περαίου φεύγων καὶ τομὰς ἔλαβε πολλὰς, ἃς θεραπευόμενος, καὶ πολὺν χρόνον ἐν φορείῳ κομιζόμενος, ἐποιεῖτο τὰς στρατείας.

XXXIV. Ἀντιγόνου δ' ἀποθανόντος, καὶ Δημητρίου τὴν βασιλείαν παραλαβόντος, ἔτι μᾶλλον ἐνέπιπτο ταῖς Ἀθήναις, καὶ ὅλως κατεφρόνει τῶν Μακεδόνων. Διὸ καὶ κρατηθέντος αὐτοῦ μάχῃ περὶ Φυλακίαν ὑπὸ Βίθυος, τοῦ Δημητρίου στρατηγοῦ, καὶ λόγου γενομένου πολλοῦ μὲν, ὡς ἔλωσε, πολλοῦ δ', ὡς τέθνηκεν, ὁ μὲν τὸν Πειραιᾶ φρουρῶν Δι- 1043
γένης ἔπεμψεν ἐπιστολὴν εἰς Κόρινθον, ἐξίστασθαι τῆς πόλεως κελεύων τοὺς Ἀχαιοὺς, ἐπειδὴ Ἄρατος ἀπέθανεν· ἔτυχε δὲ, τῶν γραμμάτων κομισθέντων,

παρὼν αὐτὸς ἐν Κορίνθῳ, καὶ διατριβὴν οἱ τοῦ Διογένους καὶ γέλωτα πολὺν παρασχόντες ἀπηλλάγησαν. Αὐτὸς δ' ὁ βασιλεὺς ἐκ Μακεδονίας ναῦν ἔπεμψεν, ἐφ' ἧς κομισθήσεται πρὸς αὐτὸν ὁ Ἄρατος δεδεμένος. Πᾶσαν δ' Ἀθηναῖοι πουφότητα κολακείας τῆς πρὸς Μακεδόνας ὑπερβάλλοντες, ἐστεφανηφόρησαν, ὅτε πρῶτον ἠγγέλθη τεθνηκώς. Διὸ καὶ πρὸς ὀργὴν εὐθὺς ἐκστρατεύσας ἐπ' αὐτούς, ἄχρι τῆς Ἀκαδημίας προῆλθεν· εἶτα πεισθείς, οὐδὲν ἠδίκησεν. Οἱ δ' Ἀθηναῖοι, συμφρονήσαντες αὐτοῦ τὴν ἀρετὴν, ἐπεὶ, Δημητρίου τελευτήσαντος, ὥρμησαν ἐπὶ τὴν ἐλευθερίαν, ἐκεῖνον ἐκάλουν. Ὁ δὲ, καίπερ ἑτέρου μὲν ἄρχοντος τότε τῶν Ἀχαιῶν, αὐτὸς δὲ δι' ἀῤῥωστίαν τινὰ μακρὰν κλινήρης ὑπάρχων, ὅμως ἐν φορείῳ κομιζόμενος ὑπήντησε τῇ πόλει πρὸς τὴν χρείαν, καὶ τὸν ἐπὶ τῆς φρουρᾶς Διογένη συνέπεισεν ἀποδοῦναι τόν τε Πειραιᾶ, καὶ τὴν Μουνυχίαν, καὶ τὴν Σαλαμῖνα, καὶ τὸ Σούνιον, τοῖς Ἀθηναίοις, ἐπὶ πεντήκοντα καὶ ἑκατὸν ταλάντοις, ὧν αὐτὸς ὁ Ἄρατος εἴκοσι τῇ πόλει συνεβάλετο. Προσεχώρησαν δ' εὐθὺς Αἰγινῆται καὶ Ἑρμιονεῖς τοῖς Ἀχαιοῖς, ἥ τε πλείστη τῆς Ἀρκαδίας αὐτοῖς συνιστέλλει. Καὶ Μακεδόνων μὲν ἀσχόλων ὄντων διὰ τινας προσοίκους καὶ ὁμόρους πολέμους, Αἰτωλῶν δὲ συμμαχούντων, ἐπίδοσιν μεγάλην ἡ τῶν Ἀχαιῶν ἐλάμβανε δύναμις.

XXXV. Ὁ δ' Ἄρατος ἐργαζόμενος τὴν παλαιὰν ὑπόθεσιν, καὶ δυσανασχετῶν τὴν ἐν Ἄργει τυραννίδα γειτνιῶσαν αὐτοῖς, ἔπειθε πέμπων τὸν Ἀριστόμαχον εἰς μέσον θεῖναι καὶ προσαγαγεῖν τοῖς Ἀχαιοῖς τὴν πόλιν, καὶ ζηλώσαντα Λυσιάδην, ἔθνους τηλικούτου μετ' εὐφημίας καὶ τιμῆς στρατηγὸν εἶναι μᾶλλον, ἢ μιᾶς πόλεως κινδυνεύοντα καὶ μισούμενον τύραννον. Ὑπακούσαντος δὲ τοῦ Ἀριστομάχου, καὶ κελεύσαντος αὐτῷ πεντήκοντα τάλαντα πέμψαι τὸν Ἄρτον, ὅπως ἀπαλλάξῃ καὶ διαλύσηται τοὺς παρ' αὐτῷ στρατευομένους, καὶ τῶν χρημάτων ποριζομένων, ὁ Λυσιάδης ἔτι στρατηγῶν, καὶ

φιλοτιμούμενος ἴδιον αὐτοῦ πολίτευμα τοῦτο πρὸς τοὺς Ἀχαιοὺς γενέσθαι, τοῦ μὲν Ἀράτου κατηγόρει πρὸς Ἀριστόμαχον, ὡς δυσμενῶς καὶ ἀδιαλλάκτως ἀεὶ πρὸς τοὺς τυράννους ἔχοντος, αὐτῷ δὲ πείσας τὴν πρᾶξιν ἐπιτρέψαι, προσήγαγε τοῖς Ἀχαιοῖς τὸν ἄνθρωπον. Ἔνθα δὴ μάλιστα φανερὰν ἐποίησαν οἱ σύνεδροι τῶν Ἀχαιῶν τὴν πρὸς τὸν Ἄρατον εὔνοιαν καὶ πίστιν. Ἀντειπόντος μὲν γὰρ αὐτοῦ, δι' ὀργὴν ἀπήλασαν τοὺς περὶ τὸν Ἀριστόμαχον. Ἐπεὶ δὲ συμπεισθεὶς πάλιν αὐτὸς ἤρξατο περὶ αὐτῶν διαλέγεσθαι παρών, πάντα ταχέως καὶ προθύμως ἐψηφίσαντο, καὶ προσεδέξαντο μὲν τοὺς Ἀργείους καὶ Φλιασίους εἰς τὴν πολιτείαν, ἐνιαυτῷ δ' ὕστερον καὶ τὸν Ἀριστόμαχον εἵλοντο στρατηγόν. Ὁ δ' εὐημερῶν παρὰ τοῖς Ἀχαιοῖς, καὶ βουλόμενος εἰς τὴν Λακωνικὴν ἐμβαλεῖν, ἐκάλει τὸν Ἄρατον ἐξ Ἀθηνῶν. Ὁ δ' ἔγραφε μὲν αὐτῷ τὴν στρατείαν ἀπαγορεύων, καὶ τῷ Κλεομένει θράσος ἔχοντι καὶ παραβόλως αὐξανομένῳ συμπλέκεσθαι τοὺς Ἀχαιοὺς μὴ βουλόμενος· ὡρμημένου δὲ πάντως ὑπήκουσε, καὶ παρὼν συνεστράτευεν. Ὅτε δὴ καὶ κωλύσας περὶ τὸ Παλλάντιον, τοῦ Κλεομένους ἐπιφανέντος αὐτοῖς, μάχην συνάψαι τὸν Ἀριστόμαχον, ὑπὸ Λυσιάδου κατηγορήθη, καὶ περὶ τῆς στρατηγίας εἰς ἀγῶνα καὶ ἀντιπαραγγελίαν αὐτῷ καταστάς, ἐκράτησε τῇ χειροτονίᾳ, καὶ τὸ δωδέκατον ἡρέθη στρατηγός.

XXXVI. Ἐν ταύτῃ τῇ στρατηγίᾳ περὶ τὸ Λύκαιον ἡττηθεὶς ὑπὸ τοῦ Κλεομένους ἔφυγε, καὶ πλανηθεὶς νυκτὸς, ἔδοξε μὲν τεθνάναι, καὶ πάλιν αὖτος ὁ λόγος κατ' αὐτοῦ πολὺς ἐξεφοίτησεν εἰς τοὺς Ἕλληνας· ἀνασωθεὶς δὲ, καὶ τοὺς στρατιώτας συναγαγών, οὐκ ἠγάπησεν ἀσφαλῶς ἀπελθεῖν, ἀλλ' ἄριστα τῷ καιρῷ χρησάμενος, οὐδενὸς προσδοκῶντος, οὐδὲ συλλογιζομένου τὸ μέλλον, ἐξαίφνης ἐπέπεσε Μαντινεῦσι, συμμάχοις οὖσι τοῦ Κλεομένους· καὶ τὴν πόλιν ἑλὼν, φρουρὰν ἐνέβαλε, καὶ τοὺς μετοίκους πολίτας ἐποίησεν αὐτῶν, καὶ μόνος, ἃ νικῶντες οὐκ

ἂν ῥᾳδίως ἔσχον, ἐπήσατο νενικημένοις τοῖς Ἀχαιοῖς. Λύθις δὲ τῶν Λακεδαιμονίων ἐπὶ Μεγάλην πόλιν στρατευσάντων, βοηθήσας, ὤκνει μὲν ἀψιμαχοῦντι τῷ Κλεομένει λαβὴν παρασχεῖν, καὶ τοῖς Μεγαλοπολίταις βιαζομένοις ἀντεῖχεν· οὔτ' ἄλλως πρὸς τὰς κατὰ στόμα μάχας εὖ πεφυκὼς, καὶ τότε λειπόμενός τε πλήθει, καὶ πρὸς ἄνδρα τόλμητὴν καὶ νέον ἤδη παρακμάζοντι τῷ θυμῷ καὶ κεκολασμένῃ τῇ φιλοτιμίᾳ συνεστηκώς· καὶ νομίζων, ἣν διὰ τοῦ τολμᾶν ἐκεῖνος ἐξ οὐχ ὑπαρχόντων ἐκτᾶτο δόξαν, αὐτῷ κεκτημένῳ φυλακτέον εἶναι διὰ τῆς εὐλαβείας.

XXXVII. Οὐ μὴν ἀλλὰ τῶν ψιλῶν ἐκδραμόντων καὶ ὠσαμένων τοὺς Σπαρτιάτας ἄχρι τοῦ στρατοπέδου, καὶ περὶ τὰς σκηνὰς διασπαρέντων, ὁ μὲν Ἄρατος οὐδ' ὡς ἐπήγαγεν, ἀλλ' ἐν μέσῳ λαβὼν χαράδραν, ἐπέστησε καὶ κατεκώλυσε διαβῆναι τοὺς ὁπλίτας· ὁ δὲ Λυσιάδης περιπαθῶν πρὸς τὰ γινόμενα, καὶ τὸν Ἄρατον κακίζων, ἀνεκαλεῖτο τοὺς ἐπιτεῖς, ὡς αὐτὸς ἀξιῶν ἐπιφανῆναι τοῖς διώκουσι, καὶ μὴ προέσθαι τὸ νίκημα, μηδ' ἐγκαταλιπεῖν αὐτὸν ὑπὲρ τῆς πατρίδος ἀγωνιζόμενον. Πολλῶν δὲ συστραφέντων καὶ ἀγαθῶν, ἐπιῤῥωσθεὶς ἐνέβαλε τῷ δεξιῷ τῶν πολεμίων, καὶ τρεψάμενος ἐδίωκεν· ὑπὸ θυμοῦ δὲ καὶ φιλοτιμίας ἀταμιεύτως ἐπισπασθεὶς εἰς χωρία σκολιὰ καὶ μεστὰ δένδρων πεφυτευμένων καὶ τάφρων πλατειῶν, εὐθὺς ἐπιθεμένου τοῦ Κλεομένους, ἔπεσε, λαμπρῶς ἀγωνισάμενος τὸν κάλλιστον τῶν ἀγώνων ἐπὶ θύραις τῆς πατρίδος. Οἱ δ' ἄλλοι φεύγοντες εἰς τὴν φάλαγγα, καὶ συνταράξαντες τοὺς ὁπλίτας, ὅλον τὸ στράτευμα τῆς ἥττης ἐνέπλησαν. Αἰτίαν δὲ μεγάλην ὁ Ἄρατος ἔλαβε, δόξας προέσθαι τὸν Λυσιάδην· καὶ βιασθεὶς ὑπὸ τῶν Ἀχαιῶν ἀπερχομένων πρὸς ὀργὴν, ἠκολούθησεν αὐτοῖς εἰς Αἴγιον. Ἐκεῖ δὲ συνελθόντες ἐψηφίσαντο, μὴ διδόναι χρήματα αὐτῷ, μηδὲ μισθοφόρους τρέφειν, ἀλλ' αὐτῷ πορίζειν, εἰ δέοιτο πολεμεῖν.

XXXVIII. Οὕτω δὲ προπηλακισθεὶς, ἐβουλεύσατο μὲν εὐθὺς ἀποθέσθαι τὴν σφραγῖδα, καὶ τὴν στρατηγίαν ἀφεῖναι· λογισμῷ δὲ χρησάμενος, τότε μὲν ὑπέμεινε, καὶ πρὸς Ὀρχομενὸν ἐξαγαγὼν τοὺς Ἀχαιοὺς, μάχην ἔθετο πρὸς τὸν Μεγιστόνουν, τὸν Κλεομένους πατρωόν· ἐν ᾗ κρατήσας τριακοσίους μὲν ἀπέκτεινε, ζῶντα δὲ τὸν Μεγιστόνουν συνέλαβεν. Εἰωθὼς δὲ στρατηγεῖν παρ' ἐνιαυτὸν, ὡς ἡ τάξις αὐτῷ περιῆλθε, καλούμενος ἐξωμόσατο, καὶ Τιμόξενος ἠρέθη στρατηγός. Ἐδόκει δ' ἡ μὲν πρὸς τοὺς ὄχλους ὀργὴ πρόφασις εἶναι λεγομένη τῆς ἐξωμοσίας ἀπίθανος, αἰτία δ' ἀληθὴς τὰ περιεστῶτα τοὺς Ἀχαιούς· οὐκέθ' ὡς πρότερον ἀτρέμα καὶ σχέδην τοῦ Κλεομένους ἐπιβαίνοντος, οὐδ' ἐμπλεκομένου ταῖς πολιτικαῖς ἀρχαῖς, ἀλλ' ἐπεὶ τοὺς Ἐφόρους ἀποκτείνας, καὶ τὴν χώραν ἀναδασάμενος, καὶ πολλοὺς τῶν μετοίκων ἐμβαλὼν εἰς τὴν πολιτείαν, ἔσχεν ἐσχὺν ἀνυπεύθυνον, εὐθὺς ἐπικειμένου τοῖς Ἀχαιοῖς, καὶ τῆς ἡγεμονίας ἑαυτὸν ἀξιοῦντος. Διὸ καὶ μέμφονται τὸν Ἄρατον, ἐν σάλῳ μεγάλῳ καὶ χειμῶνι τῶν πραγμάτων φερομένων, ὥσπερ κυβερνήτην ἀφέντα καὶ προέμενον ἑτέρῳ τοὺς οἰακας, ὅτε καλῶς 1045
εἶχε καὶ ἀκόντων ἐπιστάντα σώζειν τὸ κοινόν· εἰ δ' ἀπεγνώκει τὰ πράγματα καὶ τὴν δύναμιν τῶν Ἀχαιῶν, εἶξαι τῷ Κλεομένει, καὶ μὴ πάλιν τὴν Πελοπόννησον ἐκβαρβαρῶσαι φρουραῖς Μακεδόνων, μήτε πληρῶσαι τὸν Ἀκροκόρινθον Ἰλλυρικῶν ὅπλων καὶ Γαλατικῶν· μηδ' οὓς αὐτὸς ἐν ταῖς πράξεσι καταστρατηγῶν καὶ καταπολιτευόμενος, ἐν δὲ τοῖς ὑπομνήμασι λοιδορῶν διετέλει, τούτους ἐπάγεσθαι δεσπότας ταῖς πόλεσι, συμμάχους ὑποκοριζόμενον. Εἰ δὲ Κλεομένης ἦν, λεγέσθω γὰρ οὕτως, παράνομος καὶ τυραννικὸς, ἀλλ' Ἡρακλεῖδαι πατέρες αὐτῷ καὶ Σπάρτη πατρὶς, ἧς τὸν ἀφανέστατον ἠξίουν ἂν, ἀντὶ τοῦ πρώτου Μακεδόνων, ἡγεμόνα ποιεῖσθαι, τοὺς ἔν τινι λόγῳ τὴν Ἑλληνικὴν τιθεμένους εὐγένειαν. Καίτοι Κλεομένης ἦτει τὴν ἀρχὴν παρὰ τῶν Ἀχαιῶν, ὡς πολλὰ ποιήσων ἀγαθὰ τὰς πόλεις· ἀντὶ τῆς τι-

μῆς καὶ τῆς προσηγορίας ἐκείνης· Ἀντίγονος δὲ, καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν αὐτοκράτωρ ἡγεμὼν ἀναγορευθεὶς, οὐχ ὑπήκουσε, πρὶν τὸν μισθὸν αὐτῷ τῆς ἡγεμονίας ὁμολογηθῆναι τὸν Ἀκροκόρινθον ἀτειχῶς τὸν Λίσώπου μιμησάμενος κυνηγόν. Οὐ γὰρ πρότερον ἐπέβη τοῖς Ἀχαιοῖς δεομένοις καὶ ὑποβάλλουσιν αὐτοὺς διὰ τῶν πρεσβειῶν καὶ τῶν ψηφισμάτων, ἢ τῇ φρουρᾷ καὶ τοῖς ὁμήροις ὥσπερ χαλινουμένους ἀνασχέσθαι. Καίτοι πᾶσαν ὁ Ἄρατος ἀφίησι φωνὴν, ἀπολογιζόμενος τὴν ἀνάγκην. Ὁ Πολύβιος δ' αὐτὸν ἐκ πολλοῦ φησὶ καὶ πρὸ τῆς ἀνάγκης ὑφορώμενον τὸ θράσος τὸ τοῦ Κλεομένους, κρύφα τῷ Ἀντιγόνῳ διαλέγεσθαι, καὶ τοὺς Μεγαλοπολίτας προκαθιέναι δεομένους Ἀχαιῶν ἐπικαλεῖσθαι τὸν Ἀντίγονον. Οὗτοι γὰρ ἐπίζοντο μάλιστα συνεχῶς τῷ πολέμῳ, ἄγοντος αὐτοὺς καὶ φέροντος τοῦ Κλεομένους. Ὁμοίως δὲ καὶ Φύλαρχος ἱστόρηκε περὶ τούτων, ᾧ, μὴ τοῦ Πολυβίου μαρτυροῦντος, οὐ πάνυ τι πιστεύειν ἄξιον ἦν. Ἐνθουσιᾷ γάρ, ὅταν ἅψηται τοῦ Κλεομένους, ὑπ' εὐνοίας, καὶ καθάπερ ἐν δίκῃ τῇ ἱστορίᾳ τῷ μὲν ἀντιδικῶν διατελεῖ, τῷ δὲ συναγορεύων.

XXXIX. Ἀπεβάλοντο δ' οὖν οἱ Ἀχαιοὶ τὴν Μαντίνειαν, πάλιν ἑλόντος αὐτὴν τοῦ Κλεομένους· καὶ μάχῃ μεγάλῃ περὶ τὸ Ἑκατόμβαιον ἡττηθέντες, οὕτω κατεπλάγησαν, ὥστε πέμπειν εὐθὺς ἐφ' ἡγεμονίᾳ τὸν Κλεομένη καλοῦντες εἰς Ἄργος. Ὁ δ' Ἄρατος ὡς ἤσθετο βαδίζοντα καὶ περὶ Λέρναν ὄντα μετὰ τῆς δυνάμεως, φοβηθεὶς ἀπέστειλε πρέσβεις, τοὺς ἀξιοῦντας ὡς παρὰ φίλους καὶ συμμάχους αὐτὸν ἥκειν μετὰ τριακοσίων· εἰ δ' ἀπιστεῖ, λαβεῖν ὁμήρους. Ταῦτα ὕβριν εἶναι καὶ γλεύασμὸν αὐτοῦ φήσας ὁ Κλεομένης, ἀνέζευξεν, ἐπιστολὴν γράψας τοῖς Ἀχαιοῖς, ἐγκλήματα πολλὰ κατὰ τοῦ Ἄρατου καὶ διαβολὰς ἔχουσαν. Γέγραφε δὲ καὶπείνος ἐπιστολὰς κατὰ τοῦ Κλεομένους· καὶ ἐφέροντο λοιδορίαι καὶ βλασφημίαι μέχρι γάμων καὶ γυναικῶν ἀλλήλους κακῶς λεγόντων. Ἐκ τούτου κήρυκα πέμψας ὁ Κλεο-

μένης πόλεμον προερρῦντα τοῖς Ἀχαιοῖς, μικροῦ μὲν ἔλαθε τὴν Σικυωνίων πόλιν ἁρπάσας διὰ προδοσίας· ἐκεῖθεν δ' ἀποτραπεὶς, Πελλήνῃ προσέβαλε, καὶ, τοῦ στρατηγοῦ τῶν Ἀχαιῶν ἐκπεσόντος, ἔσχε τὴν πόλιν. Ὀλίγῳ δ' ὕστερον καὶ Φενεὸν ἔλαβε καὶ Πεντέλειον. Εἶτ' εὐθὺς Ἀργεῖοι προσεχώρησαν αὐτῷ, καὶ Φλιάσιοι φρουρὰν ἐδέξαντο· καὶ ὅλως οὐδὲν ἔτι τῶν ἐπικτήτων βέβαιον ἦν τοῖς Ἀχαιοῖς, ἀλλὰ θόρυβος πολὺς ἄφνω περιεστήκει τὸν Ἄρατον, ὁρῶντα τὴν Πελοπόννησον κραδαινομένην, καὶ τὰς πόλεις ἐξανισταμένας ὑπὸ τῶν νεωτεριζόντων πανταχόθεν.

XL. Ἠτρέμει γὰρ οὐδὲν, οὐδ' ἔστεργεν ἐπὶ τοῖς παροῦσιν· ἀλλὰ καὶ Σικυωνίων αὐτῶν καὶ 1046
Κορινθίων ἐγένοντο πολλοὶ καταφανεῖς δεικνύμενοι τῷ Κλεομένει, καὶ πάλαι πρὸς τὸ κοινὸν ἰδίων ἐπιθυμίᾳ δυναστειῶν ὑπούλως ἔχοντες. Ἐπὶ τούτους ἐξουσίαν ἀνυπεύθυνον ὁ Ἄρατος λαβὼν, τοὺς μὲν ἐν Σικυωνίᾳ ἐφθαρμένους ἀπέκτεινε, τοὺς δ' ἐν Κορίνθῳ πειρώμενος ἀναζητεῖν καὶ κολάζειν, ἐξηγρίαινε τὸ πλῆθος, ἤδη νοσοῦν καὶ βαρυνόμενον τὴν ὑπὸ τοῖς Ἀχαιοῖς πολιτείαν. Συνδραμόντες οὖν εἰς τὸ τοῦ Ἀπόλλωνος ἱερὸν, μετεπέμποντο τὸν Ἄρατον, ἀκκλεῖν ἢ συλλαβεῖν πρὸ τῆς ἀποστάσεως ἐγνωκότες. Ὁ δ' ἦκε μὲν αὐτὸς ἐφελκόμενος τὸν ἵππον, ὡς οὐκ ἀπιστῶν, οὐδ' ὑποπτεύων· ἀναπηδησάντων δὲ πολλῶν, καὶ λοιδορουμένων αὐτῷ καὶ κατηγορούντων, εὖ πως καθεστῶτι τῷ προσώπῳ καὶ τῷ λόγῳ πρᾴως, ἐκέλευσε καθίσαι, καὶ μὴ βοᾶν ἀτάκτως ἑστῶτας, ἀλλὰ καὶ τοὺς περὶ θύρας ἄντας εἴσω παριέναι· καὶ ταῦθ' ἅμα λέγων ὑπεξῆγε βάδην, ὡς παραδώσων τινὶ τὸν ἵππον. Οὕτως δ' ὑπεκδὺς, καὶ τοῖς ὑπαντῶσι τῶν Κορινθίων ἀθορύβως διαλεγόμενος, καὶ πελεύων πρὸς τὸ Ἀπολλώνειον βαδίζειν, ὡς ἔλαβε πλησίον τῆς ἄκρας γενόμενος, ἀναπηδήσας ἐπὶ τὸν ἵππον, καὶ Κλεοπάτρᾳ, τῷ ἄρχοντι τῆς φρουρᾶς, διακελευσάμενος ἐγκρατῶς φυλάττειν, ἀφίππευσεν εἰς Σικυῶνα, τριάκοντα μὲν αὐτῷ στρατιωτῶν

ἑπομένων, τῶν δ' ἄλλων ἐγκαταλιπόντων καὶ διαφυόντων. Αἰσθόμενοι δ' οἱ Κορίνθιοι μετ' ὀλίγον τὴν ἀπόδρασιν αὐτοῦ, καὶ διώξαντες, ὡς οὐ κατέλαβον, μετεπέμψαντο τὸν Κλεομένην, καὶ παρέδοσαν τὴν πόλιν, οὐδὲν οἰόμενοι λαμβάνειν παρ' αὐτῶν τοσοῦτον, ὅσου διήμαρτεν, ἀφέντων Ἀράτου. Οὗτος μὲν οὖν, προσγενομένων αὐτῷ τῶν τὴν λεγομένην Ἀκτὴν κατοικούντων, καὶ τὰς πόλεις ἐγχειρισάντων, ἀπεσταύρου καὶ περιετείχιζε τὸν Ἀκροκόρινθον.

XLI. Τῷ δ' Ἀράτῳ συνῆλθον εἰς Σικυῶνα τῶν Ἀχαιῶν οὐ πολλοί, καὶ γενομένης ἐκκλησίας, ῥήθη στρατηγὸς αὐτοκράτωρ· καὶ περιεστήσατο φρουρὰν ἐκ τῶν ἑαυτοῦ πολιτῶν, τριάκοντα μὲν ἔτη καὶ τρία πεπολιτευμένος ἐν τοῖς Ἀχαιοῖς, πεπρωτευκὼς δὲ καὶ δυνάμει καὶ δόξῃ τῶν Ἑλλήνων· τότε δ' ἔρημος καὶ ἄπορος συντετριμμένος, ὥσπερ ἐπὶ ναυαγίου τῆς πατρίδος ἐν τοσούτῳ σάλῳ καὶ κινδύνῳ διαφερόμενος. Καὶ γὰρ Αἰτωλοὶ, δεομένου βοηθεῖν, ἀπείπαντο, καὶ τὴν Ἀθηναίων πόλιν, χάριτι τοῦ Ἀράτου πρόθυμον οὖσαν, οἱ περὶ Εὐκλείδην καὶ Μικίωνα διεκώλυσαν. Ὄντων δὲ τῷ Ἀράτῳ καὶ χρημάτων ἐν Κορίνθῳ καὶ οἰκίας, ὁ Κλεομένης ἥψατο μὲν οὐδενὸς, οὐδ' ἄλλον εἴασε, μεταπεμψάμενος δὲ τοὺς φίλους αὐτοῦ καὶ τοὺς διοικητὰς, ἐκέλευε πάντα ποιεῖν καὶ φυλάττειν, ὡς Ἀράτῳ λόγον ὑφέξοντας· ἰδίᾳ δὲ πρὸς αὐτὸν ἔπεμψε Τρίπυλον, καὶ πάλιν Μεγιστόνουν, τὸν πατρωὸν, ὑπισχνούμενος ἄλλα τε πολλὰ, καὶ δώδεκα τάλαντα σύνταξιν ἐνιαύσιον, ὑπερβαλλόμενος τῷ ἡμίσει Πτολεμαῖον· ἐκεῖνος γὰρ ἓξ τάλαντα τῷ Ἀράτῳ κατ' ἐνιαυτὸν ἀπέστελλεν. Ἠξίου δὲ τῶν Ἀχαιῶν ἡγεμὼν ἀναγορευθῆναι, καὶ κοινῇ μετ' αὐτῶν φυλάσσειν τὸν Ἀκροκόρινθον. Τοῦ δ' Ἀράτου φήσαντος, ὡς οὐκ ἔχοι τὰ πράγματα, μᾶλλον δ' ὑπ' αὐτῶν ἔχοιτο, καὶ κατειρωνεύσασθαι δόξαντος, ἐμβαλὼν εὐθὺς τὴν Σικυωνίαν ἐπόρθει καὶ κατέφθειρε, καὶ προσεκάθητο τῇ πόλει τρεῖς μῆνας, ἐγκαρτεροῦντος τοῦ Ἀράτου, καὶ διαπορουμένου,

εἰ δέξεται τὸν Ἀντίγονον ἐπὶ τῷ παραδοῦναι τὸν Ἀκροκόρινθον· ἄλλως γὰρ οὐκ ἐβούλετο βοηθεῖν.

XLII. Οἱ μὲν οὖν Ἀχαιοὶ συνεληλυθότες εἰς Αἴγιον, ἐκεῖ τὸν Ἄρατον ἐκάλουν. Ἦν δὲ κίνδυνος, τοῦ Κλεομένους πρὸς τῇ πόλει στρατοπεδεύοντος, διελθεῖν. Καὶ κατεῖχον οἱ πολῖται δεόμενοι, καὶ προ- 1047
ήσεσθαι τὸ σῶμα, τῶν πολεμίων ἐγγὺς ἄντων, οὐ φάσκοντες· ἐξήρτηντο δ' αὐτοῦ καὶ γυναῖκες ἤδη καὶ παῖδες, ὥσπερ πατρὸς κοινοῦ καὶ σωτῆρος περιέχόμενοι καὶ δακρύοντες. Οὐ μὴν ἀλλὰ θαρρύνας καὶ παραμυθησάμενος αὐτοὺς, ἐξίππευσεν ἐπὶ τὴν θάλασσαν, ἔχων δέκα φίλους, καὶ τὸν υἱὸν ἤδη νεανίαν ὄντα· καὶ παρορμούντων ἐκεῖ πλοίων ἐπιβάντες, εἰς Αἴγιον παρεκομίσθησαν ἐπὶ τὴν ἐκκλησίαν, ἐν ᾗ καλεῖν τὸν Ἀντίγονον ἐψηφίσαντο, καὶ παραδιδόναι τὸν Ἀκροκόρινθον. Ἔπεμψε δὲ καὶ τὸν υἱὸν Ἄρατος πρὸς αὐτὸν μετὰ τῶν ἄλλων ὁμήρων. Ἐφ' οἷς οἱ Κορίνθιοι χαλεπῶς φέροντες, τά τε χρήματα διηρπασαν αὐτοῦ, καὶ τὴν οἰκίαν τῷ Κλομένει δωρεὰν ἔδωκαν.

XLIII. Τοῦ δ' Ἀντιγόνου προσιόντος ἤδη μετὰ τῆς δυνάμεως, (ἦγε δὲ πεζοὺς δισμυρίους Μακεδόνας, ἱππεῖς δὲ χιλίους καὶ τετρακοσίους) ἀπήντα μετὰ τῶν δημιουργῶν ὁ Ἄρατος αὐτῷ κατὰ θάλατταν εἰς Πηγὰς, λαθὼν τοὺς πολεμίους· οὐ πάνυ τι θαρρῶν τὸν Ἀντίγονον, οὐδὲ πιστεύων τοῖς Μακεδόσιν. Ἤιδει γὰρ ηὐξημένον ἑαυτὸν ἐξ ὧν ἐκείνους κακῶς ἐποίησε, καὶ πρώτην εἰληφὼς μεγίστην ὑπόθεσιν τῆς πολιτείας τὴν πρὸς Ἀντίγονον τὸν παλαιὸν ἔχθραν. Ἀλλ' ὁρῶν ἀπαραίτητον ἐπικειμένην ἀνάγκην, καὶ τὸν καιρὸν, ᾧ δουλεύουσιν οἱ δοκοῦντες ἄρχειν, ἐχώρει πρὸς τὸ δεινόν. Ὁ δ' Ἀντίγονος, ὡς τις αὐτῷ προσιόντα τὸν Ἄρατον ἔφρασε, τοὺς μὲν ἄλλους ἠσπάσατο μετρίως καὶ κοινῶς, ἐκεῖνον δὲ καὶ περὶ τὴν πρώτην ὑπάντησιν ἐδέξατο τῇ τιμῇ περιττῶς, καὶ κατὰ τἆλλα πειρώμενος ἀνδρὸς ἀγαθοῦ καὶ νοῦν ἔχοντος, ἐνδοτέρω τῆς χρείας προσηγάγετο. Καὶ γὰρ ἦν ὁ Ἄρατος οὐ πάνυ

ἐν πράγμασι μεγάλοις ὠφέλιμος, ἀλλὰ καὶ σχολάζοντα βασιλεῖ συγγενέσθαι παρ' ὀντινοῦν ἐπίχαρις. Διὸ, καίπερ ὢν νέος ὁ Ἀντίγονος, ὡς κατενόησε τὴν φύσιν τοῦ ἀνδρὸς μηδὲν ἀργὸν εἰς φιλίαν βασιλικὴν οὖσαν, οὐ μόνον Ἀχαιῶν, ἀλλὰ καὶ Μακεδόνων τῶν σὺν αὐτῷ, πάντα χρώμενος ἐκείνῳ διετέλει· καὶ τὸ σημεῖον ἀπέβαινεν, ὡς ὁ θεὸς ἐπὶ τῶν ἱερῶν ἔδειξε. Λέγεται γὰρ, οὐ πρὸ πολλοῦ θύοντι τῷ Ἀράτῳ δύο χολὰς ἐν ἥπατι φανῆναι μιᾷ πιμελῇ περιεχομένας· καὶ τὸν μάντιν εἰπεῖν, ὡς ταχὺ πρὸς τὰ ἔχθιστα καὶ πολεμιώτατα σύνεσιν εἰς ἄκραν φιλίαν. Τότε μὲν οὖν παρῆνεγκε τὸ ῥηθὲν, οὐδ' ἄλλως πολὺ νέμων πίστεως ἱεροῖς καὶ μαντεύμασιν, ἀλλὰ τῷ λογισμῷ χρώμενος. Ἐπεὶ δ' ὕστερον εὖ χωροῦντι τῷ πολέμῳ συναγαγὼν ὁ Ἀντίγονος ἐστίασιν ἐν Κορίνθῳ, καὶ πολλοὺς ὑποδεχόμενος, τὸν Ἄρατον ἐπάνω κατέκλινεν ἑαυτοῦ· καὶ μετὰ μικρὸν αἰτήσας περιβόλαιον, ἠρώτησεν, εἰ δοκεῖ κἀκείνῳ ψύχος εἶναι· τοῦ δὲ καὶ πάνυ ῥιγοῦν φήσαντος, ἐκέλευσε προσχωρεῖν ἐγγυτέρω, καὶ θάπιδος κομισθείσης, ἀμφοτέρους ὁμοῦ περιβαλὼν οἱ παῖδες· τότε δὴ τὸν Ἄρατον, ἀναμνησθέντα τῶν ἱερῶν ἐκείνων, γέλως ἔλαβε, καὶ διηγεῖτο τῷ βασιλεῖ τὸ σημεῖον καὶ τὴν προαγόρευσιν. Ἀλλὰ ταῦτα μὲν ἐπράχθη χρόνοις ὑστέρου.

XLIV. Ἐν δὲ ταῖς Πηγαῖς ὄντες καὶ λαβόντες ὅρκους, εὐθὺς ἐβάδιζον ἐπὶ τοὺς πολεμίους. Καὶ περὶ τὴν πόλιν ἀγῶνες ἦσαν, εὖ πεφραγμένου νοῦ Κλεομένους, καὶ τῶν Κορινθίων ἀμυνομένων προθύμως. Ἐν τούτῳ δ' Ἀριστοτέλης, ὁ Ἀργεῖος, φίλος ὢν Ἀράτου, διαπέμπεται κρύφα πρὸς αὐτὸν, ὡς ἀποστήσων τὴν πόλιν, εἰ στρατιώτας ἐκεῖνος ἔχων ἔλθοι. Τοῦ δ' Ἀράτου φράσαντος τῷ Ἀντιγόνῳ, καὶ μετὰ χιλίων καὶ πεντακοσίων εἰς Ἐπίδαυρον ἐξ Ἰσθμοῦ πλοίοις κομιζομένου κατὰ τάχος,
1048 οἱ μὲν Ἀργεῖοι προεξαναστάντες ἐπέθεντο τοῖς τοῦ Κλεομένους, καὶ κατέκλεισαν εἰς τὴν ἀκρόπολιν· ὁ δὲ Κλεομένης πυθόμενος ταῦτα, καὶ δεί-

σας, μὴ κατασχόντες οἱ πολέμιοι τὸ Ἄργος ἀποκόψωσιν αὐτὸν τῆς οἴκαδε σωτηρίας, ἐκλιπὼν τὸν Ἀκροκόρινθον, ἔτι νυκτὸς ἐβοήθει. Καὶ παρελθὼν μὲν εἰς Ἄργος ἔφθη, καὶ τροπήν τινα τῶν πολεμίων ἐποίησεν· ὀλίγῳ δ' ὕστερον Ἀράτου προσφερομένου, καὶ τοῦ βασιλέως ἐπιφαινομένου μετὰ τῆς δυνάμεως, ἀπεχώρησεν εἰς Μαντίνειαν. Ἐκ τούτου τοῖς μὲν Ἀχαιοῖς πάλιν αἱ πόλεις ἅπασαι προσεχώρησαν, Ἀντίγονος δὲ τὸν Ἀκροκόρινθον κατέλαβεν, Ἄρατος δὲ στρατηγὸς αἱρεθεὶς ὑπ' Ἀργείων, ἔπεισεν αὐτοὺς Ἀντιγόνῳ τά τε τῶν τυράννων καὶ τὰ τῶν προδοτῶν χρήματα δωρεὰν δοῦναι. Τὸν δ' Ἀριστόμαχον ἐν Κεγχρεαῖς στρεβλώσαντες, κατεπόντισαν· ἐφ' ᾧ καὶ μάλιστα κακῶς ἤκουσεν ὁ Ἄρατος, ὡς ἄνθρωπον οὐ πονηρὸν, ἀλλὰ καὶ κεχρημένον ἐκείνῳ, καὶ πεπεισμένον ἀφεῖναι τὴν ἀρχὴν, καὶ προσαγαγεῖν τοῖς Ἀχαιοῖς τὴν πόλιν, ὅμως περιϊδὼν παρανόμως ἀπολλύμενον.

XLV. Ἤδη δὲ καὶ τῶν ἄλλων ἐκείνῳ τὰς αἰτίας ἐπέφερον· οἷον, ὅτι τὴν μὲν Κορινθίων πόλιν Ἀντιγόνῳ δωρεὰν ἔδωκαν, ὥσπερ κώμην τὴν τυχοῦσαν· τὸν Ὀρχομενὸν δὲ συνεχώρησαν αὐτῷ διαπάσαντι φρουρὰν ἐμβαλεῖν Μακεδονικήν. Ἐψηφίσαντο δ', ἄλλῳ μὴ γράφειν βασιλεῖ, μηδὲ πρεσβεύειν πρὸς ἄλλον, ἄκοντος Ἀντιγόνου· τρέφειν τε καὶ μισθοδοτεῖν ἠναγκάζοντο τοὺς Μακεδόνας. Θυσίας δὲ καὶ πομπὰς καὶ ἀγῶνας Ἀντιγόνῳ συνετέλουν, ἀρξαμένων τῶν Ἀράτου πολιτῶν· καὶ δεξαμένων τῇ πόλει τὸν Ἀντίγονον ὑπ' Ἀράτου ξενιζόμενον, ἠτιῶντο πάντων ἐκεῖνον, ἀγνοοῦντες, ὅτι τὰς ἡνίας ἐκείνῳ παραδεδωκὼς, καὶ τῇ ῥύμῃ τῆς βασιλικῆς ἐφελκόμενος ἐξουσίας, οὐδενὸς ἦν, ἢ μόνης φωνῆς, ἔτι κύριος, ἐπισφαλῆ τὴν παῤῥησίαν ἐχούσης. Ἔπεὶ φανερῶς γε πολλὰ τῶν πραττομένων ἐλύπει τὸν Ἄρατον, ὥσπερ τὸ περὶ τῶν εἰκόνων· ὁ γὰρ Ἀντίγονος τὰς μὲν τῶν ἐν Ἄργει τυράννων καταβεβλημένας ἀνέστησε, τὰς δὲ τῶν ἑλόντων τὸν Ἀκροκόρινθον ἑστώσας ἀνέτρεψε, πλὴν μιᾶς τῆς

ἐκείνου· καὶ πολλὰ περὶ τούτων δεηθεὶς ὁ Ἄρατος οὐκ ἔπεισεν. Ἐδόκει δὲ καὶ τὰ περὶ Μαντίνειαν οὐχ Ἑλληνικῶς διοικεῖσθαι τοῖς Ἀχαιοῖς. Κρατήσαντες γὰρ αὐτῶν δι' Ἀντιγόνου, τοὺς μὲν ἐνδοξοτάτους καὶ πρώτους ἀπέκτειναν, τῶν δ' ἄλλων τοὺς μὲν ἀπέδοντο, τοὺς δ' εἰς Μακεδονίαν ἀπέστειλαν πέδαις δεδεμένους· παῖδας δὲ καὶ γυναῖκας ἠνδραποδίσαντο· τοῦ δὲ συναχθέντος ἀργυρίου τὸ τρίτον αὐτοὶ διείλοντο, τὰς δὲ δύο μοίρας ἐνεμαν τοῖς Μακεδόσι. Καὶ ταῦτα μὲν ἔσχε τὸν τῆς ἀμύνης νόμον· καὶ γὰρ, εἰ δεινὸν, ἀνδρας ὁμοφύλους καὶ συγγενεῖς οὕτω μεταχειρίσασθαι δι' ὀργὴν, ἀλλ' ἐν ἀναγκαίς γλυκὺ γίνεται, καὶ οὐ σκληρὸν, κατὰ Σιμωνίδην, ὥσπερ ἀλγοῦντι τῷ θυμῷ καὶ φλεγμαίνοντι θεραπείαν καὶ ἀναπλήρωσιν προσφερόντων. Τὰ δὲ μετὰ ταῦτα πραχθέντα περὶ τὴν πόλιν, οὔτ' εἰς καλὴν, οὔτ' εἰς ἀναγκαίαν ἐστὶ θέσθαι τῷ Ἀράτῳ πρόφασιν. Τῶν γὰρ Ἀργείων τὴν πόλιν παρ' Ἀντιγόνου δωρεὰν λαβόντων, καὶ κατοικίζειν ἐγνωκότων, αὐτὸς οἰκιστὴς αἱρεθεὶς, καὶ στρατηγὸς ὢν, ἐψηφίσατο, μηκέτι καλεῖν Μαντίνειαν, ἀλλ' Ἀντιγόνειαν· ὃ καὶ μέχρι νῦν καλεῖται. Καὶ δοκεῖ δὲ ἐκεῖνον ἡ μὲν ἐρατεινὴ Μαντίνεια παντάπασιν ἐξαλιλίφθαι, διαμένει δ' ἡ πόλις ἐπώνυμος τῶν ἀπολεσάντων καὶ ἀνελόντων τοὺς πολίτας.

XLVI. Ἐκ τούτου Κλεομένης μὲν, ἡττηθεὶς μάχῃ μεγάλῃ περὶ Σελλασίαν, ἐξέλιπε τὴν Σπάρτην, καὶ ἀπέπλευσεν εἰς Αἴγυπτον· Ἀντίγονος δὲ, πάντα τὰ δίκαια καὶ φιλάνθρωπα τῷ Ἀράτῳ πεποιη-
1049 κὼς, ἀνέζευξεν εἰς Μακεδονίαν, ἐκεῖ νοσῶν ἤδη τὸν διάδοχον τῆς βασιλείας, Φίλιππον, οὕπω πάνυ μειράκιον ὄντα, πέμπων, εἰς Πελοπόννησον, Ἀράτῳ μάλιστα προσέχειν ἐκέλευσε, καὶ δι' ἐκείνου ταῖς πόλεσιν ἐντυγχεῖν, καὶ γνωρισθῆναι τοῖς Ἀχαιοῖς. Καὶ μέντοι καὶ παραλαβὼν αὐτὸν ὁ Ἄρατος, οὕτως διέθηκεν, ὥστε πολλῆς μὲν εὐνοίας πρὸς αὐτὸν, πολλῆς δὲ πρὸς τὰς Ἑλληνικὰς πράξεις φιλοτιμίας καὶ ὁρμῆς μέσον εἰς Μακεδονίαν ἀποστεῖλαι.

XLVII. *Τελευτήσαντος δ' Ἀντιγόνου, καταφρονήσαντες Αἰτωλοὶ τῶν Ἀχαιῶν διὰ τὴν ῥᾳθυμίαν, (ἐθισθέντες γὰρ ἀλλοτρίαις σώζεσθαι χερσὶ, καὶ τοῖς Μακεδόνων ὅπλοις αὐτοὺς ὑπεσταλκότες, ἐν ἀργίᾳ πολλῇ καὶ ἀταξίᾳ διῆγον,) ἐπέθεντο τοῖς κατα Πελοπόννησον πράγμασι· καὶ τὴν μὲν Πατρέων καὶ Δυμαίων λεηλασίαν ὁδοῦ πάρεργον ἐποιήσαντο, τὴν δὲ Μεσσήνην ἐμβαλόντες ἐπόρθουν. Ἐφ' οἷς ὁ Ἄρατος ἀγανακτῶν, καὶ τὸν στρατηγοῦντα τότε τῶν Ἀχαιῶν, Τιμόξενον, ὁρῶν ὀκνοῦντα καὶ διατρίβοντα τὸν χρόνον, ἤδη τῆς στρατηγίας αὐτῷ τελευτώσης, αὐτὸς ἠρημένος ἄρχειν μετ' ἐκεῖνον, προέλαβεν ἡμέραις πέντε τὴν ἀρχὴν ἕνεκα τοῦ βοηθῆσαι Μεσσηνίοις. Καὶ συναγαγὼν τοὺς Ἀχαιοὺς, τοῖς τε σώμασιν ἀγυμνάστους ὄντας, καὶ ταῖς διανοίαις ἐκλελυμένους πρὸς τὸν πόλεμον, ἥττᾶται περὶ Καφύας· καὶ θυμικώτερον ἐστρατηγηκέναι δόξας, οὕτως αὖ πάλιν ἀπημβλύνθη, καὶ προήκατο τὰ πράγματα καὶ τὰς ἐλπίδας, ὥστε πολλάκις λαβὴν τοὺς Αἰτωλοὺς παρασχόντας ἀνέχεσθαι καὶ περιορᾶν ὥσπερ κωμάζοντας ἐν τῇ Πελοποννήσῳ μετὰ πολλῆς ἀσελγείας καὶ θρασύτητος. Αὖθις οὖν τὰς χεῖρας ὀρέγοντες εἰς Μακεδονίαν, ἐπεσπῶντο καὶ κατῆγον ἐπὶ τὰς Ἑλληνικὰς πράξεις τὸν Φίλιππον, οὐχ ἥκιστα διὰ τὴν πρὸς τὸν Ἄρατον εὔνοιαν αὐτοῦ καὶ πίστιν ἐλπίζοντες εὐκόλῳ περὶ πάντα χρήσεσθαι καὶ χειροήθει.*

XLVIII. *Καὶ τότε πρῶτον Ἀπελλοῦ καὶ Μεγαλαίου καὶ τινων αὐλικῶν ἄλλων διαβαλλόντων τὸν Ἄρατον, ἀναπεισθεὶς ὁ βασιλεὺς, καὶ συναρχαιρεσιάσας τοῖς ἀπὸ τῆς ἐναντίας στάσεως, ἐσπουδασε τοὺς Ἀχαιοὺς ἑλέσθαι στρατηγὸν Ἐπήρατον. Ὡς δ', ἐκείνου μὲν καταφρονουμένου τελείως ὑπὸ τῶν Ἀχαιῶν, τοῦ δ' Ἀράτου παραμελοῦντος, ἐγίνετο τῶν χρησίμων οὐδὲν, ἔγνω διαμαρτάνων τοῦ παντὸς ὁ Φίλιππος. Καὶ ἀνακρουσάμενος αὖθις ἐπὶ τὸν Ἄρατον, ὅλος ἦν ἐκείνου, καὶ τῶν πραγμάτων αὐτῷ πρός τε δύναμιν καὶ πρὸς εὐδοξίαν ἐπι-*

διδόντων, ἐξήρτητο τοῦ ἀνδρὸς, ὡς δι' ἐκεῖνον εὐδοκιμῶν καὶ αὐξόμενος. Ἐδόκει τε πᾶσιν ὁ Ἄρατος οὐ μόνον δημοκρατίας, ἀλλὰ καὶ βασιλείας ἀγαθὸς εἶναι παιδαγωγός. Ἡ γὰρ προαίρεσις αὐτοῦ καὶ τὸ ἦθος, ὡς χρῶμα, ταῖς πράξεσι τοῦ βασιλέως ἐπεφαίνετο. Καὶ γὰρ ἡ πρὸς Λακεδαιμονίους ἁμαρτόντας μετριότης τοῦ νεανίσκου, καὶ ἡ πρὸς Κρῆτας ὁμιλία, δι' ἧς ὅλην προσηγάγετο τὴν νῆσον ἡμέραις ὀλίγαις, ἥ τε πρὸς Αἰτωλοὺς στρατεία γενομένη θαυμαστῶς ἐνεργὸς, εὐπειθείας μὲν τῷ Φιλίππῳ δόξαν, εὐβουλίας δὲ τῷ Ἀράτῳ προσεπίθει. Καὶ διὰ ταῦτα μᾶλλον οἱ βασιλικοὶ φθονοῦντες, ὡς οὐδὲν ἐπέραινον κρύφα διαβάλλοντες, ἀναφανδὸν ἐλοιδοροῦντο καὶ προσέκρουον αὐτῷ παρὰ τοὺς πότους μετὰ πολλῆς ἀσελγείας καὶ βωμολοχίας· ἅπαξ δὲ καὶ λίθοις βάλλοντες ἀπιόντα εἰς τὴν σκηνὴν μετὰ τὸ δεῖπνον κατεδίωξαν. Ἐφ' οἷς ὁ Φίλιππος ὀργισθεὶς, εὐθὺς μὲν αὐτοὺς ἐζημίωσεν εἴκοσι ταλάντοις, ὕστερον δὲ μνησικακεῖσθαι τὰ πράγματα καὶ παράττειν δοκοῦντας ἀπέκτεινεν.

XLIX. Ἐπεὶ δὲ, τῆς τύχης εὐροούσης, ἐπαιρόμενος τοῖς πράγμασι, πολλὰς μὲν ἀνέφυε καὶ μεγάλας ἐπιθυμίας, ἡ δ' ἔμφυτος κακία, τὸν παρὰ φύσιν σχηματισμὸν ἐκβιαζομένη καὶ ἀναδύουσα, κατὰ μικρὸν ὑπεγύμνου καὶ διέφαινεν αὐτοῦ τὸ ἦθος· πρῶτον μὲν ἰδίᾳ τὸν νεώτερον Ἄρατον ἠβίκει περὶ τὴν γυναῖκα, καὶ πολὺν χρόνον ἐλάνθανεν, ἐφέστιος ὢν καὶ ξενιζόμενος ὑπ' αὐτῶν· ἔπειτα πρὸς τὰς Ἑλληνικὰς ἐξετραχύνετο πολιτείας, καὶ φανερὸς ἦν ἤδη τὸν Ἄρατον ἀποσειόμενος. Ἀρχὴν δ' ὑποψίας τὰ Μεσσηνιακὰ παρέσχε. Στασιασάντων γὰρ αὐτῶν, ὁ μὲν Ἄρατος ὑστέρει βοηθῶν, ὁ δὲ Φίλιππος, ἡμέρᾳ μιᾷ πρότερον ἐλθὼν εἰς τὴν πόλιν, εὐθὺς οἴστρόν τινα κατ' ἀλλήλων ἐνέβαλε τοῖς ἀνθρώποις, ἰδίᾳ μὲν ἐρωτῶν τοὺς στρατηγοὺς τῶν Μεσσηνίων, εἰ νόμους κατὰ τῶν πολλῶν οὐκ ἔχουσιν· ἰδίᾳ δὲ πάλιν τοὺς τῶν πολλῶν προεστῶτας, εἰ χεῖρας κατὰ τῶν τυραννούντων οὐκ ἔχουσιν. Ἐπ

δὲ τούτου θαρρήσαντες, οἱ μὲν ἄρχοντες ἐπελαμβάνοντο τῶν δημαγωγῶν, ἐκεῖνοι δὲ μετὰ τῶν πολλῶν ἐπελθόντες, τούς τ' ἄρχοντας ἀπέκτειναν, καὶ τῶν ἄλλων ὀλίγον ἀπολείποντας διακοσίων.

L. Οὕτω δὲ δεινὸν ἔργον ἐξειργασμένου τοῦ Φιλίππου, καὶ συγκρούοντος ἔτι μᾶλλον ἑαυτοῖς τοὺς Μεσσηνίους, ἐπελθὼν ὁ Ἄρατος, αὐτός τε θῆλός ἦν φέρων βαρέως, καὶ τὸν υἱὸν ἐπιτιμῶντα πικρῶς τῷ Φιλίππῳ καὶ λοιδορούμενον οὐκ ἐκώλυσεν. Ἐδόκει δ' ὁ νεανίσκος ἐρᾶν τοῦ Φιλίππου· καὶ τότε λέγων εἶπε πρὸς αὐτόν, ὡς οὐδὲ καλὸς ἔτι φαίνοιτο τὴν ὄψιν αὐτῷ, τοιαῦτα δράσας, ἀλλὰ πάντων αἴσχιστος. Ὁ δὲ Φίλιππος ἐκείνῳ μὲν οὐδὲν ἀντεῖπε, καίπερ ἐπίδοξος ὢν ὑπ' ὀργῆς, καὶ πολλάκις ἐξυλακτήσας λέγοντος αὐτοῦ· τὸν δὲ πρεσβύτερον, ὡς ἐνηνοχὼς πράως τὰ λεχθέντα, καί τις ὢν μέτριος καὶ πολιτικὸς τὴν φύσιν, ἀνέστησεν ἐκ τοῦ θεάτρου, τὴν δεξιὰν ἐμβαλών· καὶ προῆγεν εἰς τὸν Ἰθωμάταν, τῷ τε Διῒ θύσων, καὶ θεωρήσων τὸν τόπον. Ἔστι γὰρ οὐχ ἧττον εὐερκὴς τοῦ Ἀκροκορίνθου· καὶ λαβὼν φρουρὰν γίνεται χαλεπὸς καὶ δυσεκβίαστος τοῖς παροικοῦσιν. Ἀναβὰς δὲ καὶ θύσας, ὡς προσήνεγκεν αὐτῷ τὰ σπλάγχνα τοῦ βοὸς ὁ μάντις, ἀμφοτέραις ταῖς χερσὶν ὑπολαβὼν, ἐδείκνυε τῷ τε Ἀράτῳ καὶ τῷ Φαρίῳ Δημητρίῳ, παρὰ μέρος ἀποκλίνων εἰς ἑκάτερον, καὶ πυνθανόμενος, τί καθορῶσιν ἐν τοῖς ἱεροῖς· κρατοῦντα τῆς ἄκρας αὐτὸν, ἢ τοῖς Μεσσηνίοις ἀποδιδόντα. Γελάσας οὖν ὁ Δημήτριος· „Εἰ μὲν, ἔφη, μάντεως ἔχεις ψυχὴν, ἀφήσεις τὸν τόπον· εἰ δὲ βασιλέως, ἀμφοτέρων τῶν κεράτων τὸν βοῦν καθέξεις.“ αἰνιττόμενος τὴν Πελοπόννησον, ὡς, εἰ προσλάβοι τὸν Ἰθωμάταν τῷ Ἀκροκορίνθῳ, παντάπασιν ἐσομένην ὑποχείριον καὶ ταπεινήν. Ὁ δ' Ἄρατος ἐπὶ πολὺ μὲν ἡσύχαζε, δεομένου δὲ τοῦ Φιλίππου τὸ φαινόμενον λέγειν· „Πολλὰ μὲν, εἶπεν, ὦ Φίλιππε, Κρητῶν ὄρη καὶ μεγάλα, πολλαὶ δὲ Βοιωτῶν ἄκραι καὶ Φωκέων ἐκπεφύκασι τῆς γῆς· εἰσὶ δὲ

που πολλοὶ καὶ τῶν Ἀκαρνάνων, τοῦτο μὲν χέρσαῖοι, τοῦτο δ' ἔναλοι τόποι θαυμαστὰς ὀχυρότητας ἔχοντες· ἀλλ' αὐδένα τούτων κατείληφας, καὶ πάντες ἑκουσίως σοι ποιοῦσι τὸ πρόστασσόμενον. Λῃσταὶ γὰρ ἐμφύονται πέτραις, καὶ κρημνῶν περιέχονται· βασιλεῖ δὲ πίστεως καὶ χάριτος ἰσχυρότερον οὐδέν, οὐδ' ὀχυρώτερον. Ταῦτά σοι τὸ Κρητικὸν ἀνοίγει πέλαγος, ταῦτα τὴν Πελοπόννησον. Ἀπὸ τούτων ὁρμώμενος σὺ, τοσοῦτος τὴν ἡλικίαν, τῶν μὲν ἡγεμὼν, τῶν δὲ κύριος ἤδη καθέστηκας." Ἔτι λέγοντος αὐτοῦ, τὰ μὲν σπλάγχνα τῷ μάντει παρέδωκεν ὁ Φίλιππος, ἐκεῖνον δὲ τῆς χειρὸς ἐπισπασάμενος· ,,Δεῦρο τοίνυν, ἔφη, τὴν αὐτὴν ὁδὸν ἴωμεν·" ὥσπερ ἐκβεβιασμένος ὑπ' αὐτοῦ, καὶ τὴν πόλιν ἀφηρημένος.

LI. Ὁ δ' Ἄρατος, ἀπορρέων ἤδη τῆς αὐλῆς, καὶ κατὰ μικρὸν ἑαυτὸν ἀνακομιζόμενος ἐκ τῆς πρὸς
1051 τὸν Φίλιππον συνηθείας, διαβαίνοντος εἰς Ἤπειρον αὐτοῦ, καὶ δεομένου συστρατεύειν, ἀπείπατο, καὶ κατέμεινε, δεδιὼς ἀναπλησθῆναι δόξης πονηρᾶς, ἀφ' ὧν ἐκεῖνος ἔπραττεν. Ἐπεὶ δὲ, τάς τε ναῦς ὑπὸ Ῥωμαίων ἀπολέσας αἴσχιστα, καὶ ὅλως ἀπρτυχὼν ταῖς πράξεσιν, ἐπανῆλθεν εἰς Πελοπόννησον, καὶ τοὺς Μεσσηνίους αὖθις ἐπιχειρήσας φενακίζειν, καὶ μὴ λαθὼν, ἠδίκει φανερῶς, καὶ τὴν χώραν αὐτῶν ἐπόρθει· παντάπασιν ὁ Ἄρατος ἀπεστράφη καὶ διεβλήθη πρὸς αὐτὸν, ἤδη καὶ τῶν περὶ τὴν γυναικωνῖτιν ἀδικημάτων αἰσθόμενος, καὶ φέρων ἀνιαρῶς αὐτὸς, ἀποκρυπτόμενος δὲ τὸν υἱόν· εἰδέναι γὰρ ὑβρισμένον περιῆν, ἄλλο δ' οὐδὲν, ἀμύνασθαι μὴ δυναμένῳ. Μεγίστην γὰρ ὁ Φίλιππος δοκεῖ καὶ παραλογωτάτην μεταβαλέσθαι μεταβολὴν, ἐξ ἡμέρου βασιλέως καὶ μειρακίου σώφρονος ἀνὴρ ἀσελγὴς καὶ τύραννος ἐξώλης γενόμενος. Τὸ δ' οὐκ ἦν ἄρα μεταβολὴ φύσεως, ἀλλ' ἐπίδειξις ἐν ἀδείᾳ κακίας πολὺν χρόνον διὰ φόβον ἀγνοηθείσης.

LII. Ὅτι γὰρ ἦν μεμιγμένον αἰσχύνῃ καὶ φόβῳ τὸ πρὸς τὸν Ἄρατον αὐτοῦ πάθος ἀπ' ἀρχῆς

συντεθραμμένον, ἐδήλωσεν, οἷς ἔπραξε περὶ αὐτόν. Ἐπιθυμῶν γὰρ ἀνελεῖν τὸν ἄνδρα, καὶ νομίζων, οὐδ' ἂν ἐλεύθερος, ἐκείνου ζῶντος, εἶναι, μή τί γε τύραννος, ἢ βασιλεὺς, βίᾳ μὲν οὐδὲν ἐπεχείρησε, Ταυρίωνα δὲ, τῶν στρατηγῶν τινα καὶ φίλων, ἐκέλευσεν ἀδήλῳ τρόπῳ τοῦτο πρᾶξαι, μάλιστα διὰ φαρμάκων, αὐτοῦ μὴ παρόντος. Ὁ δὲ ποιησάμενος τὸν Ἄρατον συνήθη, φάρμακον αὐτῷ δίδωσιν, οὐκ ὀξὺ καὶ σφοδρὸν, ἀλλὰ τῶν θέρμας τε μαλακὰς τὸ πρῶτον ἐν τῷ σώματι καὶ βῆχα κινούντων ἀμβλεῖαν, εἶτα οὕτως κατὰ μικρὸν εἰς φθορὰν περαινόντων. Οὐ μὴν ἔλαθέ γε τὸν Ἄρατον· ἀλλ' ὡς οὐδὲν ἦν ὄφελος ἐλέγχοντι, πράως καὶ σιωπῇ τὸ πάθος, ὡς δή τινα νόσον κοινὴν καὶ συνήθη νοσῶν, διήντλει. Πλὴν ἑνός γε τῶν συνήθων ἐν τῷ δώματίῳ παρόντος, ἀναπτύσας δίαιμον, ἰδόντος ἐκείνου καὶ θαυμάσαντος· „Ταῦτ', εἶπεν, ὦ Κεφάλων, ἐπίχειρα τῆς βασιλικῆς φιλίας.“

LIII. Οὕτω δ' αὐτοῦ τελευτήσαντος ἐν Αἰγίῳ, τὸ ἑπτακαιδέκατον στρατηγοῦντος, καὶ τῶν Ἀχαιῶν φιλοτιμουμένων ἐκεῖ γενέσθαι ταφὰς καὶ μνήματα πρέποντα τῷ βίῳ τοῦ ἀνδρὸς, Σικυώνιοι συμφορὰν ἐποιοῦντο μὴ παρ' αὐτοῖς τεθῆναι τὸ σῶμα. Καὶ τοὺς μὲν Ἀχαιοὺς ἔπεισαν ἀφιέναι, νόμου δ' ὄντος ἀρχαίου, μηδένα θάπτεσθαι τειχῶν ἐντὸς, ἰσχυρᾷ τε τῷ νόμῳ δεισιδαιμονίας προσούσης, ἔπεμψαν εἰς Δελφοὺς, ὑπὲρ τούτων ἐρησόμενοι τὴν Πυθίαν. Ἡ δ' αὐτοῖς ἀναιρεῖ τὸν χρησμὸν τόνδε·

Βουλεύῃ, Σικυών, ζωάγριον αἰὲν Ἀράτου,
Ἀμφ' ὁσίῃ θαλίῃ τε κατοιχομένοιο ἄνακτος.
Ὡς τὸ βαρυνόμενον τῷδ' ἀνέρι καὶ τὸ βαρῦπον,
Γαίης ἔσθ' ἁσίβημα καὶ οὐρανοῦ ἠδὲ θαλάσσης.

Κομισθείσης δὲ τῆς μαντείας, οἵ τ' Ἀχαιοὶ σύμπαντες ἤσθησαν, καὶ διαφερόντως οἱ Σικυώνιοι· οἵ μεταβαλόντες εἰς ἑορτὴν τὸ πένθος, εὐθὺς ἐκ τοῦ Αἰγίου τὸν νεκρὸν ἐστεφανωμένοι καὶ λευχειμονοῦντες ὑπὸ παιάνων καὶ χορῶν εἰς τὴν πόλιν ἀνῆγον, καὶ τόπον ἐξελόμενοι περίοπτον, ἅσπερ οἰκε-

στὴν καὶ σωτῆρα τῆς πόλεως ἐκήδευσαν. Καὶ καλεῖται μέχρι νῦν Ἀράτειον, καὶ θύουσιν αὐτῷ θυσίαν, τὴν μὲν, ᾗ τὴν πόλιν ἀπήλλαξε τῆς τυραννίδος, ἡμέρᾳ πέμπτῃ Δαισίου μηνὸς, ὃν Ἀθηναῖοι καλοῦσιν Ἀνθεστηριῶνα, καὶ τὴν θυσίαν ἐκείνην Σωτήρια προσαγορεύουσι· τὴν δὲ τοῦ μηνὸς, ἐν
1052 ᾧ γενέσθαι τὸν ἄνδρα διαμνημονεύουσι. Τῆς μὲν οὖν προτέρας ὁ τοῦ Διὸς τοῦ Σωτῆρος κατήρχετο θυηπόλος, τῆς δὲ δευτέρας ὁ τοῦ Ἀράτου, στρόφιον οὐχ ὅλον λευκὸν, ἀλλὰ μεσοπόρφυρον ἔχων. Μέλη δ' ᾄδετο πρὸς κιθάραν ὑπὸ τῶν περὶ τὸν Διόνυσον τεχνιτῶν· καὶ συνεπόμπευεν ὁ γυμνασίαρχος, ἡγούμενος τῶν τε παίδων καὶ τῶν ἐφήβων, εἶτ' ἐφείπετο ἡ βουλὴ στεφανηφοροῦσα, καὶ τῶν ἄλλων πολιτῶν ὁ βουλόμενος. Ὧν ἔτι δείγματα μικρὰ ταῖς ἡμέραις ἐκείναις ἐξοσιούμενοι διαφυλάττουσιν· αἱ δὲ πλείσται τῶν τιμῶν ὑπὸ χρόνου καὶ πραγμάτων ἄλλων ἐκλελοίπασιν.

LIV. Ἀλλὰ γὰρ ὁ μὲν πρεσβύτερος Ἄρατος οὕτω βιῶσαι καὶ τοιοῦτος γενέσθαι τὴν φύσιν ἱστορεῖται· τὸν δ' υἱὸν αὐτοῦ, μιαρὸς ὢν φύσει καὶ μετ' ὠμότητος ὑβριστὴς ὁ Φίλιππος, οὐ θανασίμοις, ἀλλὰ μανικοῖς, ἐξέστησε τοῦ λογισμοῦ φαρμάκοις· καὶ παρέτρεψεν εἰς δεινὰς καὶ ἀλλοκότους ἐπιφορὰς, πράξεων ἀτόπων καὶ σὺν αἰσχύνῃ παθῶν ὀλεθρίων ὀρεγόμενον· ὥστε τὸν θάνατον αὐτῷ, καίπερ ὄντι νέῳ καὶ ἀνθοῦντι, μὴ συμφορὰν, ἀλλ' ἀπόλυσιν κακῶν καὶ σωτηρίαν γενέσθαι. Δίκας γε μὴν ὁ Φίλιππος οὐ μεμπτὰς Διὶ ξενίῳ καὶ φιλίῳ τῆς ἀνοσιουργίας ταύτης τίνων διετέλεσε. Καταπολεμηθεὶς μὲν γὰρ ὑπὸ Ῥωμαίων, ἐπέτρεψεν ἐκείνοις τὰ καθ' αὑτόν· ἐκπεσὼν δὲ τῆς ἄλλης ἀρχῆς, καὶ τὰς ναῦς, πλὴν πέντε, πάσας προέμενος, καὶ χίλια προσεκτίσειν ὁμολογήσας τάλαντα, καὶ τὸν υἱὸν ὁμηρεύσοντα παραδοὺς, δι' οἴκτου ἔτυχε Μακεδονίας καὶ τῶν συντελούντων. Ἀποκτείνων δ' ἀεὶ τοὺς ἀρίστους καὶ συγγενεστάτους, φρίκης ἐνέπλησε καὶ μίσους ὅλην τὴν βασιλείαν πρὸς αὐτόν. Ἓν δὲ μόνον ἐν

τοσούτοις κακοῖς εὐτύχημα κτησάμενος, υἱὸν ἀρετῇ διαφέροντα, τοῦτον φθόνῳ καὶ ζηλοτυπίᾳ τῆς παρὰ Ῥωμαίοις τιμῆς ἀνεῖλε· Περσεῖ δὲ θατέρῳ τὴν ἀρχὴν παρέδωκεν, ὃν οὐ γνήσιον, ἀλλ' ὑπόβλητον εἶναι φασὶν, ἐκ Γναθαινίου τινὸς ἀκεστρίας γενόμενον. Τοῦτον Αἰμίλιος ἐθριάμβευσεν· καὶ κατέστρεψεν ἐνταῦθα τῆς Ἀντιγονικῆς βασιλείας ἡ διαδοχή. Τὸ δ' Ἀράτου γένος ἐν τῇ Σικυῶνι καὶ τῇ Πελλήνῃ διέμεινε παθ' ἡμᾶς.

ΓΑΛΒΑΣ.

1053 Ὁ μὲν Ἀθηναῖος Ἰφικράτης τὸν μισθοφόρον ἠξίου στρατιώτην καὶ φιλόπλουτον εἶναι καὶ φιλήδονον, ὅπως ταῖς ἐπιθυμίαις χορηγίαν ἐπιζητῶν ἀγωνίζηται παραβολώτερον· οἱ δὲ πλεῖστοι, καθάπερ ἐρρωμένον σῶμα, τὸ στρατιωτικὸν ἀξιοῦσιν, ἰδίᾳ μηδέποτε χρώμενον ὁρμῇ, συγκινεῖσθαι τῇ τοῦ στρατηγοῦ. Διὸ καὶ Παῦλον Αἰμίλιον λέγουσι τὴν ἐν Μακεδονίᾳ δύναμιν παραλαβόντα λαλιᾶς καὶ περιεργίας, οἷον διαστρατηγοῦσαν, ἀνάπλεων, παρεγγυῆσαι τὴν χεῖρα ποιεῖν ἑτοίμην καὶ τὴν μάχαιραν ὀξεῖαν ἕκαστον, αὐτῷ δὲ τῶν ἄλλων μέλησειν. Ὁ δὲ Πλάτων, οὐδὲν ἔργον ὁρῶν ἄρχοντος ἀγαθοῦ καὶ στρατηγοῦ, στρατιᾶς μὴ σωφρονούσης, μηδ' ὁμοπαθούσης, ἀλλὰ τὴν πειθαρχικὴν ἀρετὴν, ὁμοίως τῇ βασιλικῇ, νομίζων φύσεώς τε γενναίας καὶ τροφῆς φιλοσόφου δεῖσθαι, μάλιστα τῷ πρᾴῳ καὶ φιλανθρώπῳ τὸ θυμοειδὲς καὶ δραστήριον ἐμμελῶς ἀνακεραννυμένης, ἄλλα τε πάθη πολλὰ καὶ τὰ Ῥωμαίοις συμπεσόντα μετὰ τὴν Νέρωνος τελευτὴν ἔχει μαρτύρια καὶ παραδείγματα τοῦ μηδὲν εἶναι φοβερώτερον ἀπαιδεύτοις χρωμένης καὶ ἀλόγοις ὁρμαῖς ἐν ἡγεμονίᾳ στρατιωτικῆς δυνάμεως. Δημάδης μὲν γὰρ, Ἀλεξάνδρου τελευτήσαντος, εἴκαζε τὴν Μακεδόνων στρατιὰν ἐκτετυφλωμένῳ τῷ Κύκλωπι, πολ-

λὰς κινουμένην ὁρῶν κινήσεις ἀτάκτους καὶ παραφόρους. Τὴν δὲ Ῥωμαίων ἡγεμονίαν ὅμοια τοῖς λεγομένοις Τιτανικοῖς πάθεσι καὶ κινήμασι κατελάμβανεν, εἰς πολλὰ διασπωμένην ἅμα καὶ πολλαχόθεν αὖθις ἑαυτῇ συμπίπτουσαν, οὐχ οὕτως ὑπὸ φιλαρχίας τῶν ἀναγορευομένων αὐτοκρατόρων, ὡς φιλοπλουτίας καὶ ἀκολασίας τοῦ στρατιωτικοῦ, δι' ἀλλήλων, ὥσπερ ἥλους, τοὺς ἡγεμόνας ἐκκρούοντος. Καίτοι Διονύσιος Φεραῖον ἄρξαντα Θετταλῶν δέκα μῆνας, εἶτ' εὐθὺς ἀναιρεθέντα, τὸν τραγικὸν ἀνεκάλει τύραννον, ἐπισκώπτων τὸ τάχος τῆς μεταβολῆς. Ἡ δὲ τῶν Καισάρων ἑστία, τὸ Παλάτιον, ἐν ἐλάσσονι χρόνῳ τέσσαρας αὐτοκράτορας ὑπεδέξατο, τὸν μὲν εἰσαγόντων ὥσπερ διὰ σκηνῆς, τὸν δ' ἐξαγόντων. Ἀλλ' ἦν γε παραμυθία τοῖς κακῶς πάσχουσι μία, τὸ μὴ δεηθῆναι δίκης ἑτέρας ἐπὶ τοὺς αἰτίους, ἀλλ' ὁρᾶν αὐτοὺς ὑφ' ἑαυτῶν φονευομένους· πρῶτον δὲ, καὶ δικαιότατα πάντων, τὸν δελεάσαντα καὶ διδάξαντα τοσοῦτον ἐλπίζειν ἐπὶ μεταβολῇ Καίσαρος, ὅσον αὐτὸς ὑπέσχετο, κάλλιστον ἔργον διαβαλὼν τῷ μισθῷ, τὴν ἀπὸ Νέρωνος ἀποστασίαν, προδοσίαν γενομένην.

II. Νυμφίδιος γὰρ Σαβῖνος, ὢν ἔπαρχος, ὥσπερ εἴρηται, μετὰ Τιγελλίνου τῆς αὐλῆς, ἐπεὶ τὰ Νέρωνος ἀπέγνωστο παντάπασι, καὶ δῆλος ἦν ἀποδρασόμενος εἰς Αἴγυπτον, ἔπεισε τὸ στρατιωτικὸν, ὡς μηκέτι παρόντος, ἀλλ' ἤδη πεφευγότος, αὐτοκράτορα Γάλβαν ἀναγορεῦσαι, καὶ δωρεὰν ὑπέσχετο κατ' ἄνδρα τοῖς αὐλικοῖς καὶ στρατηγικοῖς προσαγορευομένοις δραχμὰς ἑπτακισχιλίας πεντακοσίας, τοῖς δ' ἐκτὸς στρατευομένοις πεντήκοντα καὶ διακοσίας ἐπὶ χιλίαις, ὅσον ἀμήχανον ἦν συναγαγεῖν μὴ πλείονα μυριάκις κακὰ παρασχόντα πᾶσιν 1054 ἀνθρώποις, ὧν Νέρων παρέσχε. Τοῦτο γὰρ εὐθὺς μὲν ἀπώλεσε Νέρωνα, μετ' ὀλίγον δὲ καὶ Γάλβαν. Τὸν μὲν γὰρ ὡς ληψόμενοι προήκαντο, τὸν δὲ μὴ λαμβάνοντες ἀπέκτειναν. Εἶτα τὸν τοσοῦτον δώσοντα ζητοῦντες, ἔφθησαν ἐν ταῖς ἀποστάσεσι

καὶ προδοσίας ἀναλύσαντες αὐτοὺς, ἢ τυχόντες ὧν ἤλπισαν. Τὰ μὲν οὖν καθ' ἕκαστα τῶν γενομένων ἀπαγγέλλειν ἀκριβῶς, τῆς πραγματικῆς ἱστορίας ἐστίν· ὅσα δ' ἄξια λόγου τοῖς τῶν Καισάρων ἔργοις καὶ πάθεσι συμπέπτωκεν, οὐδὲ ἐμοὶ προσήκει παρελθεῖν.

III. Γάλβας Σουλπίκιος, ὅτι μὲν ἰδιώτης πλουσιώτατος ἁπάντων εἰς τὸν Καισάρων παρῆλθεν οἶκον, ὁμολογεῖται· μέγα δ' ἔχων εὐγενείας ἀξίωμα, τὸν Σερουίων οἶκον, αὐτὸς ἐφρόνει μᾶλλον ἐπὶ τῇ Κάτλου συγγενείᾳ, πρωτεύσαντος ἀνδρὸς ἀρετῇ καὶ δόξῃ τῶν καθ' ἑαυτὸν, εἰ καὶ τὸ δύνασθαι μᾶλλον ἑκὼν ἑτέροις παρῆκεν. Ἦν δέ τι καὶ Λιβίᾳ, τῇ Καίσαρος γυναικὶ, κατὰ γένος προσῆκων ὁ Γάλβας, καὶ διὰ ταῦτο, Λιβίας παρασχούσης, ὕπατος ἐκ Παλατίου προῆλθε. Λέγεται δὲ καὶ στρατεύματος ἐν Γερμανίᾳ καλῆς ἄρξαι, καὶ Λιβύης ἀνθύπατος γενόμενος, οὐκ ὀλίγοις ἐπαινεθῆναι. Τὸ δ' εὔκολον αὐτοῦ τῆς φαιδρᾶς καὶ φειδωλὸν ἐν δαπάναις καὶ ἀπέριττον, αἰτίαν ἔσχεν αὐτοκράτορος γενομένου μικρολογίας· ἦν δὲ κολόν τινα δόξαν εὐταξίας ἔφερε καὶ σωφροσύνης. Ἐπέμφθη δ' ὑπὸ Νέρωνος Ἰβηρίας ἄρχων, οὕτω δεδιδαγμένου φοβεῖσθαι τοὺς ἐν ἀξιώμασι μεγάλους τῶν πολιτῶν. Ἐκείνῳ δὲ καὶ φύσει δοκοῦντι πρᾴῳ γεγονέναι προσετέθη πίστιν εὐλαβείας τὸ γῆρας.

IV. Ἐπεὶ δὲ, τῶν αἰτιητῶν ἐπιτρόπων ὠμῶς καὶ ἀγρίως τὰς ἐπαρχίας ἐκείνῳ διαφορούντων, ἄλλο μὲν εἶχεν οὐδὲν βοηθεῖν, αὐτὸ δὲ τὸ φανερῶς εἶναι συναλγῶν καὶ συναδικούμενος, ἀμωσγέπως ἀναπνοήν τινα καὶ παραμυθίαν τοῖς καταδικαζομένοις καὶ πωλουμένοις παρέσχε· καὶ ποιημάτων εἰς Νέρωνα γενομένων, καὶ πολλαχοῦ περιφερομένων καὶ ᾀδομένων, οὐκ ἐκώλυεν, οὐδὲ συνηγανάκτει τοῖς ἐπιτρόποις· ἐφ' οἷς ἔτι μᾶλλον ἠγαπᾶτο ὑπὸ τῶν ἀνθρώπων. Καὶ γὰρ ἦν ἤδη συνήθης, ἔτος ὄγδοον ἐκεῖνο τὴν ἀρχὴν ἔχων· ἐν ᾧ Ἰούνιος Οὐίνδιξ ἐπανέστη Νέρωνι, Γαλατίας ὢν στρατηγός. Λέγεται μὲν οὖν καὶ πρὸ τῆς ἐμφανοῦς ἀποστάσεως γράμ-

ματα πρὸς αὐτὸν ἀφικέσθαι παρὰ τοῦ Οὐίνδικος, ὃς μήτε πιστεῦσαι, μήτε μηνῦσαι καὶ κατειπεῖν, ὡς ἕτεροι τῶν ἡγεμονικῶν ἐπιστολὰς αὐτοῖς γραφείσας ἔπεμψαν πρὸς Νέρωνα, καὶ διέφθειραν, ὅσον ἐπ' αὐτοῖς, τὴν πρᾶξιν, ἧς ὕστερον μετασχόντες ὡμολόγησαν, αὐτῶν οὐδὲν ἧττον, ἢ ἐκείνου, προθυμότεροι γεγονέναι. Ἀλλ' ἐπειδὴ λαμπρῶς τὸν πόλεμον ἤρατο ὁ Οὐίνδιξ ἔγραψε τῷ Γάλβᾳ παρακαλῶν ἀναδέξασθαι τὴν ἡγεμονίαν, καὶ παρασχεῖν ἑαυτὸν ἰσχυρῷ σώματι ζητοῦντι κεφαλὴν τοῖς Γαλατικοῖς, δέκα μυριάδας ἀνδρῶν ὡπλισμένων ἐχούσαις, ἄλλας τε πλείονας ὁπλίσαι δυναμένοις, προὐτέθη βουλὴ τοῖς φίλοις. Ὧν οἱ μὲν ἠξίουν περιμένειν, παραδοκοῦντα, τίνα κίνησιν ἡ Ῥώμη καὶ φορὰν ἕξει πρὸς τὸν νεωτερισμόν. Τίτος δὲ Ὄθωνος, ὁ τοῦ στρατιωτικοῦ τάγματος ἡγεμών, αὐτὸς εἶπεν· „Ὦ Γάλβα, τίνα τρόπον βουλεύεσθε; τὸ γὰρ ζητεῖν, Νέρωνι εἰ πιστοὶ μένουμεν, ἤδη μενόντων ἐστίν. Ὧ οὖν ὑπάρχοντες ἐχθροῦ Νέρωνος, οὐ δὴ προετέον τὴν τοῦ Οὐίνδικος φιλίαν, ἢ καὶ κατηγορητέον εὐθὺς αὐτοῦ καὶ πολεμητέον, ὅτι σὲ βούλεται Ῥωμαίους ἔχειν ἄρχοντα μᾶλλον, ἢ Νέρωνα τύραννον."

V. Ἐκ τούτου προγράμματι μὲν ἐδήλωσεν ὁ Γάλβας ἡμέραν, ἐν ᾗ τὰς κατὰ μέρος ἐλευθερώσεις ἀποδώσει τοῖς δεομένοις· λαλιὰ δὲ καὶ φήμη προεκπεσοῦσα πλῆθος ἀνθρώπων ἤθροισε προθύμων ἐπὶ τὸν νεωτερισμόν. Οὐκ ἔφθη γοῦν φανερῶς ἐπὶ τοῦ βήματος γενόμενος, καὶ πάντες αὐτὸν ὁμοφώνως αὐτοκράτορα προσεῖπον. Ὁ δὲ ταύτην μὲν εὐθὺς οὐ προσεδέξατο τὴν προσηγορίαν· κατηγορήσας δὲ τοῦ Νέρωνος, καὶ τῶν ἀνηρημένων ἀνδρῶν ὑπ' αὐτοῦ τοὺς ἐπιφανεστάτους ὀλοφυράμενος, ὡμολόγησεν, ἐπιδώσειν τῇ πατρίδι τὴν ἑαυτοῦ πρόνοιαν, οὔτε Καῖσαρ, οὔτ' αὐτοκράτωρ, στρατηγὸς δὲ συγκλήτου καὶ δήμου Ῥωμαίων ὀνομαζόμενος. Ὅτι δ' ὀρθῶς ὁ Οὐίνδιξ καὶ λελογισμένως ἐξεκαλέσατο τὸν Γάλβαν ἐπὶ τὴν ἡγεμονίαν, ἐπιστώσατο μάρτυρι τῷ Νέρωνι. Προσποιούμενος γὰρ ἐκείνου φαταφρονεῖν,

1055

καὶ παρ' οὐδὲν ἡγεῖσθαι τὰ Γαλατῶν, ἅμα τῷ πυθέσθαι τὰ περὶ Γάλβαν (ἔτυχε δὲ λελουμένος καὶ ἀριστῶν) ἀνέτρεψε τὴν τράπεζαν. Οὐ μὴν ἀλλὰ συγκλήτου ψηφισαμένης πολέμιον τὸν Γάλβαν, αὐτὸς τε παίζειν καὶ θρασύνεσθαι πρὸς τοὺς φίλους βουλόμενος, οὐ φαύλην ἔφη πρόφασιν ἐμπεπτωκέναι λογισμοῦ δεομένῳ χρημάτων αὐτῷ· καὶ τὰ μὲν Γαλατῶν, ὅταν ὑποχείριοι γένωνται, λαφυραγωγήσεσθαι καὶ λίαν· ἡ δὲ Γάλβα πάρεστιν οὐσία, χρῆσθαι καὶ πωλεῖν, ἤδη πολεμίου περιγνότος. Οὗτός τε δὴ τὰ Γάλβα πιπράσκειν ἐκέλευε· καὶ Γάλβας ἀκούσας, ὅσα Νέρωνος ἦν ἐν Ἰβηρίᾳ κηρύττων, εὗρισκε πολλοὺς προθυμοτέρους ὄντας.

VI. Ἀφισταμένων δὲ πολλῶν τοῦ Νέρωνος, καὶ πάντων ἐπιεικῶς τῷ Γάλβᾳ προστιθεμένων, μόνος Κλώδιος Μάκρος ἐν Λιβύῃ, καὶ Οὐεργίνιος Ῥοῦφος ἐν Γαλατίᾳ τοῦ Γερμανικοῦ στρατεύματος ἡγούμενος, αὐτοὶ καθ' ἑαυτοὺς ἔπραττον, οὐ τὴν αὐτὴν αἵρεσιν ἔχοντες. Ἀλλ' ὁ μὲν Κλώδιος, ἐν ἁρπαγαῖς πραγμάτων γεγονὼς καὶ φόνοις ἀνδρῶν δι' ὁμοιότητα καὶ πλεονεξίαν, δῆλος ἦν ἐν τῷ μήτε κατέχειν, μήτ' ἀφιέναι τὴν ἀρχὴν δύνασθαι περιφερόμενος· Οὐεργίνιος δὲ, ταγμάτων ἐπιστατῶν δυνατωτάτων, πολλάκις αὐτὸν ἀναγορευόντων αὐτοκράτορα καὶ βιαζομένων, οὔτ' αὐτὸς ἔφη λήψεσθαι τὴν ἡγεμονίαν, οὔτ' ἄλλῳ περιόψεσθαι διδομένην, ὃν ἂν μὴ ἡ σύγκλητος ἕληται. Ταῦτα τὸν Γάλβαν οὐ μετρίως ἐθορύβει τὸ πρῶτον· ἐπεὶ δὲ τὰ Οὐεργινίου καὶ Οὐίνδικος στρατεύματα τρόπον τινὰ βίᾳ τοὺς ἡγεμόνας, ὥσπερ τοὺς ἡνιόχους κρατῆσαι χαλινῶν μὴ δυνηθέντας, εἰς μάχην ἐξενεγκόντα μεγάλην συνέβαλλον, καὶ Οὐίνδικος ἑαυτὸν ἀνελόντος ἐπὶ δισμυρίοις Γαλατῶν πεσοῦσι, δῆλος ἦν λόγος, ὡς βουλομένων πάντων ἐπὶ νίκῃ τοσαύτῃ τὸν Οὐεργίνιον ἀναδέξασθαι τὴν ἡγεμονίαν, ἢ πάλιν μεταβαλλομένων πρὸς Νέρωνα, τότε δὴ παντάπασι περίφοβος γενόμενος ὁ Γάλβας ἔγραψε τῷ Οὐεργινίῳ, παρακαλῶν συνοπαδεῖν καὶ διαφυλάσσειν ἅμα τὴν

ἡγεμονίαν καὶ τὴν ἐλευθερίαν Ῥωμαίοις. αὖθις δὲ μετὰ τῶν φίλων εἰς Κολούνιαν, Ἰβηρικὴν πόλιν, ἀναχωρήσας, ἐν τῷ μετανοεῖν περὶ τῶν γεγονότων, καὶ ποθεῖν τὴν συνήθη καὶ σύντροφον ἀπραγμοσύνην μᾶλλον, ἢ πράττειν τι τῶν ἀναγκαίων, διέτριβεν.

VII. Ἦν δὲ θέρος ἤδη, καὶ βραχὺ πρὸ δείλης ἧκεν ἀπὸ Ῥώμης Σικελὸς ἄνηρ ἀπελεύθερος, ἑβδομαῖος. Πυθόμενος δὲ, τὸν Γάλβαν ἀναπαύεσθαι καθ' ἑαυτὸν, ἐβάδιζε συντόνως ἐπὶ τὸ δωμάτιον αὐτοῦ, καὶ βίᾳ τῶν θαλαμηπόλων ἀνοίξας καὶ παρελθὼν, ἀπήγγειλεν, ὅτι, καὶ ζῶντος ἔτι τοῦ Νέρωνος, οὐκ ὄντος δὲ φανεροῦ, τὸ στράτευμα πρῶτον, εἶτα ὁ δῆμος καὶ ἡ σύγκλητος αὐτοκράτορα τὸν Γάλβαν ἀναγορεύσειεν, ὀλίγον δ' ὕστερον ἀπαγγελθείη τεθνηκὼς ἐκεῖνος· οὐ μὴν αὐτός γε πιστεύσας ἔφη τοῖς ἀπαγγέλλουσιν, ἀλλ' ἐπελθὼν τῷ νεκρῷ καὶ πείμενον θεασάμενος, οὕτως ἐξελθεῖν. Ταῦτ' ἀπαγγέλλομενα λαμπρὸν ἦρε τὸν Γάλβαν, καὶ συνέδραμε πλῆθος ἀνδρῶν ἐπὶ θύρας ἑκτε- 1056
θαῤῥηκότων ὑπ' αὐτοῦ βεβαίως. Καίτοι τὸ τάχος ἦν ἄπιστον. Ἀλλὰ καὶ θυσίαν ἡμέραις Ὀβίννιος Τίτος πολλὰ τῶν ἀπὸ στρατοπέδου μεθ' ἑτέρων ἀφίκετο τὰ δόξαντα τῇ συγκλήτῳ καθ' ἕκαστον ἀπαγγέλλων. Οὗτος μὲν οὖν εἰς τάξιν ἔντιμον προήχθη· τῷ δ' ἀπελευθέρῳ δακτυλίους τε χρυσοῦς ἔδωκε, καὶ Μαρκιανὸς Οὐϊτέλλιος ἤδη καλούμενος εἶχε τὴν πρώτην ἐν τοῖς ἀπελευθέροις δύναμιν.

VIII. Ἐν δὲ Ῥώμῃ Νυμφίδιος Σαβῖνος οὐκ ἠρέμα καὶ κατὰ μικρὸν, ἀλλὰ συλλήβδην ὁμοῦ, πάντα πράγματα φέρων περιήνεγκεν εἰς ἑαυτὸν, ὡς Γάλβαν μὲν ὄντα πρεσβύτην, καὶ μόλις εἰς Ῥώμην ἐξαρκέσοντα φοράδην κομισθῆναι διὰ γῆρας· ἦν γὰρ ἐτῶν τριῶν καὶ ἑβδομήκοντα· τὰ δ' αὐτόθι στρατεύματα καὶ πάλαι πρὸς αὐτὸν εὐνόως ἔχοντα, καὶ νῦν ἑνὸς ἐξηρτημένα μόνου, διὰ τὸ τῆς δωρεᾶς μέγεθος εὐεργέτην ἐκεῖνον ἡγεῖσθαι, Γάλβαν δὲ χρεωφειλέτην. Εὐθὺς οὖν Τιγελλίνῳ μὲν, τῷ συν-

ἄρχοντι, προστάξαι ἀποθέσθαι τὸ ξίφος· ὑποδεχὰς δὲ ποιούμενος, ἐδείκνυε τοὺς ὑπατικοὺς καὶ τοὺς ἡγεμονικούς, ἔτι τὸ Γάλβα προστιθεὶς ὄνομα ταῖς πλήσεσιν, ἐν τε τῷ στρατοπέδῳ πολλοὺς παρασκεύασε λέγειν, ὡς πεμπτέον ἐστὶ πρὸς Γάλβαν, αἰτουμένους ἔπαρχον ἐσαεὶ Νυμφίδιον ἄνευ συνάρχοντος. Ἃ δ' ἡ σύγκλητος εἰς τιμὴν ἔπραττεν αὐτοῦ καὶ δύναμιν, ἀνακαλοῦσα εὐεργέτην, καὶ συντρέχουσα καθ' ἡμέραν ἐπὶ θύρας, καὶ παντὸς ἔξαρχειν δόγματος ἀξιοῦσα καὶ βεβαιοῦν, ἔτι πραοτέρα τόλμης ἀνῆγεν αὐτόν· ὥστε ὀλίγου χρόνου τοῖς θεραπεύουσι μὴ μόνον ἐπίφθονον, ἀλλὰ καὶ φοβερὸν εἶναι. Τῶν δ' ὑπάτων οἰκέτας δημοσίους προχειρισαμένων τὰ δόγματα κομίζοντες τῷ αὐτοκράτορι, καὶ τὰ καλούμενα διπλώματα ἀσημασμένα δόντων, ἃ γνωρίζοντες οἱ κατὰ πόλιν ἄρχοντες ἐν ταῖς τῶν ὀχημάτων ἀμοιβαῖς ἐπισπεύδουσι τὰς προπομπὰς τῶν γραμματηφόρων, οὐ μετρίως ἠγανάκτησεν, ὅτι μὴ παρ' αὐτοῦ καὶ σφραγῖδα καὶ στρατιώτας λαβόντες ἀνέπεμψαν. Ἀλλὰ λέγεται καὶ βουλεύσασθαι περὶ τῶν ὑπάτων, εἶτα τὴν ὀργὴν ἀπολογησαμένοις καὶ δεηθεῖσιν ἀνῆκε. Τῷ δὲ δήμῳ χαριζόμενος, οὐκ ἐκώλυε τὸν παραπίπτοντα τῶν Νέρωνος ἀποτυμπανίζειν. Σπῖκλον μὲν οὖν, τὸν μονομάχον, ἀνδριάσι Νέρωνος ἑλκομένοις ὑποβαλόντες ἐν ἀγορᾷ διέφθειραν· Ἀπόνιον δέ τινα τῶν κατηγορμῶν ἀγατρέψαντες, ἁμάξας λιθοφόρους ἐπήγαγον, ἄλλους δὲ διέσπασαν πολλούς, ἐνίους μηδὲν ἀδικοῦντας· ὥστε καὶ Μαυρίσιον, ἄνδρα τῶν ἀρίστων καὶ ὄντα καὶ δοκοῦντα, πρὸς τὴν σύγκλητον εἰπεῖν, ὅτι φοβεῖται, μὴ ταχὺ Νέρωνα ἐπιθυμήσωσιν.

IX. Οὕτω δὲ προσάγων ὁ Νυμφίδιος ἐγγυτέρω ταῖς ἐλπίσιν, οὐκ ἔφευγε Γαΐου Καίσαρος υἱὸς λέγεσθαι τοῦ μετὰ Τιβέριον ἄρξαντος. Ἐμφαίνει γὰρ ὁ Γαΐος, ὡς ἔοικε, τὴν τεκοῦσαν αὐτὸν, ἔτι μειράκιον ὤν, οὐκ ἀειδῆ τὴν ὄψιν οὖσαν, ἐκ δ' ἀπεστρίας ἐπὶ μισθῷ Καλλίστῳ, Καίσαρος ἀπελευθέρῳ

γεγενημένην. Ἀλλ' ἦν ἡ πρὸς Γάϊον ἔντευξις αὐτῆς, ὡς ἔοικε, νεωτέρα τῆς Νυμφιδίου γενέσεως. Αἰτίαν δ' ἔσχεν, ἐκ Μαρτιανοῦ, τοῦ μονομάχου, γεγονέναι, τῆς Νυμφιδίας ἐρασθείσης διὰ δόξαν αὐτοῦ, καὶ μᾶλλον ἐδόκει καθ' ὁμοιότητα τῆς ἰδέας ἐκείνῳ προσήκειν. Ἀλλ' ὁμολογῶν γε Νυμφιδίας εἶναι μητρὸς, ἔργον μὲν αὐτοῦ μόνου τὴν Νέρωνος ἐποιεῖτο κατάλυσιν, ἆθλα δ' αὐτῆς οὐ νομίζων ἱκανὰ καρποῦσθαι τὰς τιμὰς καὶ τὰ χρήματα, καὶ τὸ Σπόρῳ τῷ Νέρωνος συγκαθεύδειν, ὃν εὐθὺς ἀπὸ τῆς πυρᾶς ἔτι καιομένου τοῦ νεκροῦ μεταπεμψάμενος ἐκεῖνος ἐν γαμετῆς εἶχε τάξει, καὶ Ποππαίαν 1057 προσηγόρευεν, ἐπὶ τὴν διαδοχὴν παρεδύετο τῆς ἡγεμονίας. Καὶ τὰ μὲν αὐτὸς ἐν Ῥώμῃ διὰ τῶν φίλων ὑπειργάζετο, καὶ γυναικῶν τινων αὐτῷ καὶ συγκλητικῶν ἀνδρῶν κρύφα συλλαμβανομένων· ἕνα δὲ τῶν φίλων, Γελλιανὸν, εἰς Ἰβηρίαν ἔπεμψεν — — καὶ παρείκει κατασκευόμενον.

X. Τῷ δὲ Γάλβᾳ μετὰ τὴν Νέρωνος τελευτὴν ἐχώρει πάντα. Οὐεργίνιος δὲ Ῥοῦφος, ἀμφίβολος ὢν ἔτι, φροντίδα παρεῖχε, μὴ τῷ δυνάμεως πολλῆς καὶ μαχιμωτάτης ἄρχειν προσειληφὼς τὸ νενικηκέναι Οὐίνδικα, καὶ κεχειρῶσθαι μέγα μέρος τῆς Ῥωμαίων ἡγεμονίας, ἐν σάλῳ γενομένην ἀποστατικῶς Γαλατίαν ἅπασαν, ὑπακούσαι τοῖς παρακαλοῦσιν αὐτὸν ἐπὶ τὴν ἀρχήν. Οὐδενὸς γὰρ ἦν ὄνομα μεῖζον, οὐδ' εἶχε δόξαν οὐδεὶς, ὅσον ὁ Οὐεργίνιος, ὡς μεγίστῃ ῥοπῇ τοῖς Ῥωμαίων πράγμασι τυραννίδος ὁμοῦ χαλεπῆς καὶ Γαλατικῶν πολέμων ἀπαλλαγὴ γενόμενος. Ἀλλ' ἐκεῖνος τότε τοῖς ἐξ ἀρχῆς ἐμμένων λογισμοῖς, ἐφύλαττε τῇ συγκλήτῳ τὴν αἵρεσιν τοῦ αὐτοκράτορος. Καίτοι φανερᾶς γε τῆς Νέρωνος τελευτῆς γενομένης, τό τε πλῆθος ἐτέκειτο τῷ Οὐεργινίῳ πάλιν, καὶ τῶν χιλιάρχων τις τῶν ἐν τῇ σκηνῇ, σπασάμενος τὸ ξίφος, ἐκέλευε τὸν Οὐεργίνιον δέχεσθαι τὴν ἡγεμονίαν, ἢ τὸν σίδηρον. Ἐπεὶ δὲ Φάβιος Οὐάλης, ἄρχων ἑνὸς τάγματος, ὤρκωσε πρῶτος εἰς Γάλβαν, καὶ γράμματα ἧκεν

ἀπὸ Ῥώμης περὶ ὧν ἡ σύγκλητος ἐψηφίσατο, χαλεπῶς μὲν καὶ μόλις, ἔπεισε δ' οὖν τοὺς στρατιώτας αὐτοκράτορα τὸν Γάλβαν εἰπεῖν· καὶ πέμψαντος αὐτοῦ διάδοχον Φλάκκον Ὀρδεάνιον ἐδέξατο. Καὶ παραδοὺς ἐκείνῳ τὴν δύναμιν, αὐτὸς ἀπήντησε τῷ Γάλβᾳ πρόσω χωροῦντι, καὶ συνανέστρεφεν, οὔτ' ὀργῆς, οὔτε τιμῆς ἐπιδήλου τυγχάνων. Αἴτιος δὲ τοῦ μὲν αὐτὸς ὁ Γάλβας, αἰδούμενος τὸν ἄνδρα, τοῦ δ' οἱ φίλοι· καὶ μάλιστα Ὀβίννιος Τίτος, ὑπὸ φθόνου τοῦ Ουεργινίου οἰόμενος μὲν κολούειν, ἠγνόει δ' ἄρα τῷ Ουεργινίου χρηστῷ δαίμονι συνεργῶν, ἤδη τὸν ἄνδρα πολέμων καὶ πακῶν, ὅσα τοὺς ἄλλους ἡγεμόνας κατέσχεν, ἐκτὸς εἰς βίον ἀκύμονα καὶ γῆρας εἰρήνης καὶ ἡσυχίας μεστὸν ὑπεκτιθεμένῳ.

XI. Γάλβαν δὲ περὶ Νάρβωνα, πόλιν Γαλατικὴν, οἱ παρὰ τῆς συγκλήτου πρέσβεις ἐντυγχάνοντες ἠσπάζοντο, καὶ παρεκάλουν ἐπιφανῆναι τῷ δήμῳ ποθοῦντι ταχέως. Ὁ δὲ τάς τ' ἄλλας παρεῖχεν ἐντεύξεις καὶ συνουσίας αὐτοῖς φιλανθρώπους καὶ δημοτικὰς, πρός τε τὰς ἐστιάσεις πολλῆς κατασκευῆς καὶ θεραπείας ἡλίκης παρούσης, ἣν ἐκ τῶν Νέρωνος ὁ Νυμφίδιος αὐτῷ προσέπεμψεν, οὐδενὶ χρώμενος ἐκείνων, ἀλλὰ τοῖς ἑαυτοῦ πᾶσιν, εὐδοκίμει, μεγαλόφρων ἀνὴρ καὶ πρέπων ἀπειροπαλίας φαινόμενος. Ταχὺ μέντοι τὰ γενναῖα ταῦτα καὶ ἄτυφα καὶ πολιτικὰ δημαγωγίαν Ὀβίννιος ἀποφαίνων, καὶ καμψύτητα μεγάλων ἀπαξιοῦσαν αὐτὴν, ἔπεισε χρήμασί τε χρῆσθαι τοῖς Νέρωνος, καὶ περὶ τὰς ὑποδοχὰς μὴ φείδεσθαι τῆς βασιλικῆς πολυτελείας. Καὶ ὅλως αἴσθησιν αὐτοῦ κατὰ μικρὸν ὑπὸ τῷ Ὀβιννίῳ γενησομένου παρεῖχεν ὁ πρεσβύτης.

XII. Ἦν δ' Ὀβίννιος ἀρχηγέτου μὲν ἐσχάτως καὶ παρ' ὀντινοῦν ἥττων, ἔνοχος δὲ καὶ τοῖς περὶ γυναῖκας ἁμαρτήμασιν. Ἔτι γὰρ ὢν νέος, καὶ στρατευόμενος ὑπὸ Καλβισίῳ Σαβίνῳ τὴν πρώτην στρατείαν, ἀκόλαστον οὖσαν τὴν γυναῖκα τοῦ ἡγεμόνος παρεισήγαγε νύκτωρ εἰς τὸ στρατόπεδον ἐν ἐσθῆτι στρατιωτικῇ, καὶ διέφθειρεν ἐν τοῖς ἀρχείοις,

ἃ Πρίγκιπια καλοῦσι Ῥωμαῖοι. Ἐπὶ τούτῳ δὲ Γάϊος Καῖσαρ ἔθησεν αὐτόν· ἐκείνου δ' ἀποθανόντος, εὐτυχίᾳ χρησάμενος ἀπελύθη. Δεινῶν δὲ παρὰ 1058
Κλαυδίῳ Καίσαρι ποτήριον ἀργυροῦν ὑφείλετο. Πυθόμενος δ' ὁ Καῖσαρ, τῇ ὑστεραίᾳ πάλιν αὐτὸν ἐπὶ δεῖπνον ἐκάλεσεν· ἐλθόντι δ' ἐκέλευσεν ἐκείνῳ μηδὲν ἀργυροῦν, ἀλλὰ κεράμεια πάντα προσφέρειν καὶ παρατιθέναι τοὺς ὑπηρέτας. Τοῦτο μὲν οὖν διὰ τὴν Καίσαρος μετριότητα κωμικωτέραν γενομένην γέλωτος, οὐκ ὀργῆς, ἄξιον ἔδοξεν· ἃ δὲ τὸν Γάλβαν ἔχων ὑπ' αὐτῷ καὶ δυνάμενος μέγιστον ἐπὶ χρήμασιν ἔπραττε, τραγικῶν παθῶν καὶ συμφορῶν μεγάλων, τοῖς μὲν αἰτίαν, τοῖς δὲ πρόφασιν παρέσχεν.

XIII. Ὁ γὰρ Νυμφίδιος, εὐθὺς ἐπανελθόντος τοῦ Γελλιανοῦ πρὸς αὐτὸν, ὃν ἔπεμψε τοῦ Γάλβα τρόπον τινὰ κατάσκοπον, ἀκούσας, τῆς μὲν αὐλῆς καὶ τῶν δορυφόρων ἔπαρχον ἀποδεδεῖχθαι Κορνήλιον Λάκωνα, τὸ δὲ σύμπαν εἶναι τοῦ Ὀβιννίου κράτος, αὐτῷ δὲ μηδέποτε τοῦ Γάλβα στῆναι πλησίον ἐγγεγονέναι, μηδ' ἐντυχεῖν ἰδίᾳ, πάντων αὐτὸν ὑφορωμένων καὶ διαφυλαττόντων, ἐθορυβήθη· καὶ συναγαγὼν τοὺς ἡγεμόνας τοῦ στρατεύματος, ἔφη, Γάλβαν μὲν αὐτὸν εἶναι πρεσβύτην ἐπιεικῆ καὶ μέτριον, ἐλάχιστα δὲ τοῖς αὐτοῦ χρώμενον λογισμοῖς, ὑπὸ δ' Ὀβιννίου καὶ Λάκωνος οὐκ εὖ διοικεῖσθαι. Πρὶν οὖν λαθεῖν αὐτοὺς ἣν ἔσχε Τιγελλῖνος ἰσχὺν ἐν τοῖς πράγμασι κτησαμένους, πεμπτέον εἶναι πρὸς τὸν ἡγεμόνα πρέσβεις ἀπὸ στρατοπέδου, τοὺς διδάξοντας, ὅτι τῶν φίλων δύο μόνους τούτους ἀποσκευασάμενος, ἡδίων παρέσται πᾶσι καὶ ποθεινότερος. Ἐπεὶ δὲ ταῦτα λέγων οὐκ ἔπειθεν, ἀλλ' ἄτοπον ἐδόκει καὶ ἀλλόκοτον, ἡγεμόνα πρεσβύτην, ὥσπερ ἄρτι γενόμενον ἐξουσίας μειράκιον, οἷς χρήσεται φίλοις, ἢ μὴ, ῥυθμίζειν, ἑτέραν ὁδὸν τραπόμενος, ἔγραφε τῷ Γάλβᾳ δεδιττόμενος, νῦν μὲν, ὡς ὕπουλα καὶ μετέωρα πολλὰ τῆς πόλεως ἐχούσης, νῦν δὲ, Κλώδιον Μάκρον ἐν Λιβύῃ τὰ σιτηρὰ κατέχειν, αὐθις

δὲ, παρακινεῖν τὰ Γερμανικὰ τάγματα; καὶ περὶ τῶν ἐν Συρίᾳ καὶ Ἰουδαίᾳ δυνάμεων ὁμοια πυνθάνεσθαι. Τοῦ δὲ Γάλβα μὴ πάνυ τὸν νοῦν προσέχοντος αὐτῷ, μηδὲ πιστεύοντος, ἔγνω προεπιχειρεῖν· καίτοι Κλώδιος Κέλσος Ἀντιοχεὺς, ἀνὴρ ἔμφρων, εὔνους δ' ἐκείνῳ καὶ πιστὸς, ἀπηγόρευε, λέγων, οὐκ ἂν οἴεσθαι μίαν ἐν Ῥώμῃ συνοικίαν Καίσαρα προσειπεῖν Νυμφίδιον. Ἀλλὰ πολλοὶ κατεγέλων, καὶ Μιθριδάτης, ὁ Ποντικὸς, ἐπισκώπτων τὴν φαλακρότητα καὶ ῥυσότητα τοῦ Γάλβα, νῦν ἔφη τινὰ δοκεῖν εἶναι Ῥωμαίοις, ὀφθέντα δὲ φανεῖσθαι τῶν ἡμερῶν τούτων, ἃς καλεῖται Καῖσαρ, ὄνειδος.

XIV. Ἔδοξεν οὖν περὶ μέσας νύκτας εἰς τὴν παρεμβολὴν παραγαγόντας ἀναδεικνύειν αὐτοκράτορα τὸν Νυμφίδιον. Πρῶτος δὲ τῶν χιλιάρχων, Ἀντώνιος Ὀνωράτος, ἔσπερας γενομένης, τοὺς ὑφ' ἑαυτῷ στρατιώτας συναγαγὼν, ἐκάκιζε μὲν αὐτὸν, ἐκάκιζε δ' ἐκείνους ἐν ὀλίγῳ χρόνῳ τροπὰς τοσαύτας τρεπομένους, κατ' οὐδένα λογισμὸν, οὐδ' αἵρεσιν ἀμεινόνων, ἀλλὰ δαίμονός τινος αὐτοὺς ἐκ προδοσίας εἰς προδοσίαν ἐλαύνοντος. „Καὶ τὰ μὲν πρῶτα προφάσεις ἔχει τὰ Νέρωνος ἐγκλήματα· νῦν δὲ Γάλβαν προδιδόναι, τίνα φόνον μητρὸς ἐγκαλοῦντας; ἢ σφαγὴν γυναικὸς; ἢ ποίαν αἰδουμένους θυμέλην, ἢ τραγῳδίαν τοῦ αὐτοκράτορος; Ἀλλ' οὐδ' ἐκεῖνον ἐπὶ τούτοις ὑπεμείναμεν ἐγκαταλιπεῖν, ἀλλὰ Νυμφιδίῳ πεισθέντες, ὅτι πρῶτος ἡμᾶς ἐγκατέλιπε, καὶ πέφευγεν εἰς Αἴγυπτον. Πότερον οὖν Νέρωνι Γάλβαν ἐπιθυσώμεθα, καὶ τὸν ἐκ Νυμφιδίας ἑλόμενοι Καίσαρα, τὸν ἐκ Λιβίας ἀνέλωμεν, ὡς τὸν ἐξ Ἀγριππίνης ἀνείλομεν; ἢ τούτῳ δίκην ἐπιθέντες ὧν δέδρακε, τιμωροὶ μὲν Νέρωνος, Γάλ-
1069 βα δὲ φύλακες ἀγαθοὶ καὶ πιστοὶ φανῶμεν;" Ταῦτα λέγοντι τῷ χιλιάρχῳ προσέθεντο πάντες οἱ στρατιῶται, καὶ τοὺς ἄλλους προσιόντες ἐμένειν παρεκάλουν τῇ πρὸς τὸν αὐτοκράτορα πίστει· καὶ τοὺς πλείους μετέστησαν. Ἀρθείσης δὲ βοῆς, εἴτε πεισθεὶς ὁ Νυμφίδιος, ὡς φασιν ἔνιοι, καὶ

ἤδη τοὺς στρατιώτας, εἴτε προλαβεῖν σπεύδων τὸ θορυβοῦν ἔτι καὶ διστάζον, ὑπὸ φωτὶ πολλῷ πρᾳεῖ λόγον τινὰ κομίζων ἐν βιβλίῳ γεγραμμένον ὑπὸ Κιγγωνίου Βάρρωνος, ὃν ἐκμεμελετήκει πρὸς τοὺς στρατιώτας εἰπεῖν. Ἰδὼν δὲ κεκλεισμένας τοῦ στρατοπέδου τὰς πύλας, καὶ περὶ τὰ τείχη πολλοὺς ὡπλισμένους, ἔδεισε καὶ προσιὼν ἠρώτα, τί βούλονται, καὶ τίνος κελεύσαντος ἐν ὅπλοις γεγόνασιν. Ἀπαντώσης δ' αὐτῷ παρὰ πάντων μιᾶς φωνῆς, Γάλβαν αὐτοκράτορα γινώσκειν, κἀκεῖνος ὁμόσε χωρῶν ἐπευφήμει, καὶ τοὺς ἑπομένους ἐκέλευσε. Τῶν δὲ παρὰ τὰς πύλας παρέντων αὐτὸν εἰσελθεῖν μετ' ὀλίγων, αὐτὸς ἀποντίζεται λόγχῃ· καὶ αὐτὴν μὲν ἐδέξατο πρὸ αὐτοῦ θυρεῷ Σεπτίμιος· ἄλλων δὲ γυμνοῖς ξίφεσιν ἐπιφερομένων, φυγὼν καὶ διωχθεὶς, ἐν οἰκήματι στρατιώτου σφάττεται. Καὶ τὸν νεκρὸν εἰς μέσον ἐλπύσαντες, καὶ περιβαλόντες κυνέδην, θέαμα τοῖς βουλομένους μεθ' ἡμέραν παρέσχον.

XV. Οὕτω δὲ τοῦ Νυμφιδίου καταστρέψαντος, ὁ Γάλβας πυθόμενος, καὶ τῶν συνωμοτῶν αὐτοῦ πελεύσας ἀποθανεῖν, ὅσοι μὴ δι' αὐτῶν εὐθὺς ἀπέθανον, ἐν οἷς ἦν καὶ Κιγγώνιος, ὁ τὸν λόγον γράψας, καὶ Μιθριδάτης, ὁ Ποντικὸς, ἔδοξε μὴ νομίμως, εἰ καὶ δικαίως, μηδὲ δημοτικῶς, ἀνῃρηκέναι πρὸ κρίσεως ἄνδρας οὐκ ἀσήμους. Ἕτερον γὰρ ἡγεμονίας σχῆμα προσεδέχοντο πάντες, ἐξαπατωμενοὶ συνήθως ὑπὸ τῶν ἐν ἀρχῇ λεγομένων. Ἔτι δὲ μᾶλλον ᾠήσατο αὐτοὺς ἀνὴρ ὑπατικὸς καὶ Νέρωνι πιστὸς ἀποθανεῖν πελευσθεὶς, Πετρώνιος Τερτουλιανός. Μάκρωνα γὰρ ἐν Λιβύῃ διὰ Τρεβωνιανοῦ, καὶ Φροντήϊον ἐν Γερμανίᾳ διὰ Οὐάλεντος ἀνελὼν, πρόφασιν εἶχεν ἐν ὅπλοις καὶ στρατοπέδοις ὄντας φοβηθῆναι. Τερτουλιανὸν δὲ, γέροντα γυμνὸν καὶ ἄνοπλον, λόγου μεταλαβεῖν οὐδὲν ἐκώλυεν, εἴ τις ἦν ἐπαγγέλλεται μετριότητα τοῖς πράγμασιν ἔργῳ φυλάξειν ἔμελλε. Ταῦτα μὲν οὖν τοιαύτας ἔχει μέμψεις. Ἐπεὶ δὲ προσιὼν ἀπεῖχε τῆς πό-

λεως περὶ πέντε καὶ εἴκοσι σταδίους, ἐνεύγκαινεν ἀκοσμία καὶ θορύβῳ τῶν ἑρετῶν τὴν ὁδὸν προκατεχόντων καὶ περικεχυμένων πανταχόθεν. Οὗτοι δ' ἦσαν, οὓς εἰς ἓν τάγμα ὁ Νέρων συλλοχίσας, ἀπέφηνε στρατιώτας· καὶ τότε παρόντος ἐκβεβαιώσασθαι τὴν στρατιάν, οὔτ' ὀφθῆναι τοῖς ἀπαντῶσιν, οὔτ' ἀκουσθῆναι, παρίεσαν τὸν αὐτοκράτορα, ἀλλ' ἐθορύβουν βοῇ, σημεῖα τῷ τάγματι καὶ χώραν αἰτοῦντες. Ἐκείνου δ' ὑπερτιθεμένου, καὶ πάλιν εἰπεῖν κελεύσαντος, ἀρνήσεως σχῆμα τὴν ἀναβολὴν εἶναι φάσκοντες, ἠγανάκτουν καὶ παρείποντο, μὴ φειδόμενοι βοῆς. Ἐνίων δὲ καὶ τὰς μαχαίρας σπασαμένων, ἐκέλευσε τοὺς ἱππεῖς ἐμβαλεῖν αὐτοῖς ὁ Γάλβας. Ὑπέστη δ' οὐδεὶς ἐκείνων, ἀλλ' οἱ μὲν εὐθὺς ἀνατραπέντες, οἱ δὲ φεύγοντες διεφθάρησαν, οὐ χρηστὸν, οὐδ' αἴσιον ποιοῦντες τῷ Γάλβᾳ τὸν οἰωνὸν, εἰσιόντι διὰ πολλοῦ φόνου καὶ νεκρῶν τοσούτων εἰς τὴν πόλιν. Ἀλλ' εἰ καί τις αὐτοῦ κατεφρόνει πρότερον, ἀσθενοῦς καὶ γέροντος ὁρωμένου, τότε πᾶσι φρικώδης καὶ φοβερὸς ἐγένετο.

XVI. Βουλόμενος δὲ τῆς περὶ τὰς δωρεὰς ἀμετρίας καὶ πολυτελείας τοῦ Νέρωνος ἀποδεικνύναι μεγάλην μεταβολὴν, ἀστοχεῖν ἐδόκει τοῦ πρέποντος. Κάνου γὰρ αὐλήσαντος αὐτῷ παρὰ δεῖπνον, (ἀπρόσαμα δ' ἦν ὁ Κάνος εὐδοκιμούμενος,) ἐπαινέσας καὶ ἀποδεξάμενος, ἐκέλευσεν αὐτῷ κομισθῆναι τὸ γλωσσόκομον, καὶ λαβὼν χρυσοῦς τινας, ἐπέδωκε τῷ Κάνῳ, φήσας, ἐκ τῶν ἰδίων, οὐκ ἐκ τῶν δημοσίων, χαρίζεσθαι. Τὰς δὲ δωρεὰς, ἃς Νέρων ἔδωκε τοῖς περὶ σκηνὴν καὶ παλαίστρας, ἀπαιτεῖσθαι συντόνως κελεύσας, πλὴν τοῦ δεκάτου μέρους· εἶτα μικρὰ καὶ γλίσχρα νομιζόμενος (ἀνηλώκεσαν γὰρ οἱ πλεῖστοι τῶν λαβόντων, ἐφήμεροι καὶ σαθροὶ τοῖς βίοις ἄνθρωποι) τοὺς πριαμένους παρ' αὐτῶν ἢ λαβόντας ὅτιοῦν ἀνεζήτει, καὶ παρ' ἐκείνων ἐξέπραττε. Τοῦ δὲ πράγματος ὅρον οὐκ ἔχοντος, ἀλλὰ πόρρω νεμομένου καὶ προϊόντος ἐπὶ πολλοὺς, αὐτὸς μὲν ἠδόξει, φθόνον δὲ καὶ μῖσος

εἶχεν Ὀβίννιος, ὡς τοῖς μὲν ἄλλοις ὅπασιν ἀνελεύθερον παρέχων τὸν ἡγεμόνα καὶ μικρολόγον, αὐτὸς δὲ χρώμενος ἀσώτως, καὶ λαμβάνων πάντα καὶ πιπράσκων. Ὁ μὲν γὰρ Ἡσίοδος

Ἀρχομένου τε πίθου καὶ λήγοντος κορέσασθαι

φησὶ δεῖν· ὁ δ' Ὀβίννιος, ὁρῶν ἀσθενῆ καὶ γέροντα τὸν Γάλβαν, ἐνεπίμπλατο τῆς τύχης, ὡς ἅμα μὲν ἀρχομένης, ἅμα δὲ φθινούσης.

XVII. Ὁ δὲ πρεσβύτης ἠθελκτο, τὰ μὲν πρῶτα τοῦ Ὀβιννίου κακῶς διοικοῦντος, ἃ δ' αὐτὸς ὀρθῶς προηρεῖτο διαβάλλοντος, ἢ κωλύοντος· οἷον ἦν τὸ περὶ τὰς κολάσεις τῶν Νερωνιανῶν. Ἀπέκτεινε γὰρ τοὺς πονηροὺς, ἐν οἷς ἦν ὁ Ἡλεῖος, καὶ Πολύκλειτος, καὶ Πετῖνος, καὶ Πατρόβιος. Ὁ δὲ δῆμος ἐκρότει, καὶ δι' ἀγορᾶς αὐτῶν ἀγομένων, ἐβόα, καλὴν μὲν εἶναι καὶ θεοφιλῆ πομπήν· ἀπαιτεῖν δὲ καὶ θεοὺς καὶ ἀνθρώπους τὸν διδάσκαλον καὶ παιδαγωγὸν τῆς τυραννίδος, Τιγελλῖνον. Ἐφθάκει δ' ὁ γενναῖος προειληφὼς ἀρρᾳβῶσι μεγάλοις τὸν Ὀβίννιον. Εἶτα Τερτουλιανὸς μὲν, ὅτι μὴ προεῖδον, μηδ' ἐμίσει τὸν ἡγεμόνα, τοιοῦτον ὄντα, μεμούμενος, ἄλλο δὲ μηδὲ ἓν μέγα συναδικήσας, ἀπέθανεν· ὁ δὲ καὶ ποιήσας ἄξιον θανάτου Νέρωνα, καὶ γενόμενον τοιοῦτον ἐγκαταλιπὼν καὶ προδοὺς, περιῆν μέγα δίδαγμα τοῦ μηδὲν ἄπρακτον εἶναι παρ' Ὀβιννίῳ, μηδ' ἀνέλπιστον τοῖς διδοῦσιν. Οὐδενὸς γὰρ οὕτω θεάματος ἐρασθεὶς ὁ Ῥωμαίων δῆμος, ὡς τοῦ Τιγελλῖνον ἰδεῖν ἀπαγόμενον, οὐδὲ παυσάμενος ἐν πᾶσι θεάτροις καὶ σταδίοις αἰτούμενος ἐκεῖνον, ἐπεπλήχθη διαγράμματι τοῦ αὐτοκράτορος, Τιγελλῖνον μὲν οὐ πολὺν ἔτι βιώσεσθαι φάσκοντος χρόνον, ὑπὸ φθινάδος νόσου δαπανώμενον, ἐκείνους δὲ παραιτουμένου μὴ διαγρωϊνειν, μηδὲ τυραννικὴν ποιεῖν τὴν ἡγεμονίαν. Ἀχθομένου δὲ τοῦ δήμου καταγελῶντες, ὁ μὲν Τιγελλῖνος ἔθυσε σωτήρια, καὶ παρεσκεύασε λαμπρὰν ἑστίασιν· ὁ δ' Ὀβίννιος ἀναστὰς παρὰ τοῦ αὐτοκράτορος μετὰ δεῖπνον, ἐκώμασεν ὡς ἐκεῖνον, ὥσπερ

παρὼν αὐτὸς ἐν Κορίνθῳ, καὶ διατριβὴν οἱ τοῦ Διογένους καὶ γέλωτα πολὺν παρασχόντες ἀπηλλάγησαν. Αὐτὸς δ' ὁ βασιλεὺς ἐκ Μακεδονίας ναῦν ἔπεμψεν, ἐφ' ἧς κομισθήσεται πρὸς αὐτὸν ὁ Ἄρατος δεδεμένος. Πᾶσαν δ' Ἀθηναῖοι πουφότητα κολακείας τῆς πρὸς Μακεδόνας ὑπερβάλλοντες, ἐστεφανηφόρησαν, ὅτε πρῶτον ἠγγέλθη τεθνηκώς. Διὸ καὶ πρὸς ὀργὴν εὐθὺς ἐκστρατεύσας ἐπ' αὐτούς, ἄχρι τῆς Ἀκαδημίας προῆλθεν· εἶτα πεισθείς, οὐδὲν ἠδίκησεν. Οἱ δ' Ἀθηναῖοι, συμφρονήσαντες αὐτοῦ τὴν ἀρετὴν, ἐπεὶ Δημητρίου τελευτήσαντος, ὥρμησαν ἐπὶ τὴν ἐλευθερίαν, ἐκεῖνον ἐκάλουν. Ὁ δὲ, καίπερ ἑτέρου μὲν ἄρχοντος τότε τῶν Ἀχαιῶν, αὐτὸς δὲ δὶ ἀρρωστίαν τινὰ μακρὰν κλινήρης ὑπάρχων, ὅμως ἐν φορείῳ κομιζόμενος ὑπήντησε τῇ πόλει πρὸς τὴν χρείαν, καὶ τὸν ἐπὶ τῆς φρουρᾶς Διογένη συνέπεισεν ἀποδοῦναι τόν τε Πειραιᾶ, καὶ τὴν Μουνυχίαν, καὶ τὴν Σαλαμῖνα, καὶ τὸ Σούνιον, τοῖς Ἀθηναίοις, ἐπὶ πεντήκοντα καὶ ἑκατὸν ταλάντοις, ὧν αὐτὸς ὁ Ἄρατος εἴκοσι τῇ πόλει συνεβάλετο. Προσεχώρησαν δ' εὐθὺς Αἰγινῆται καὶ Ἑρμονεῖς τοῖς Ἀχαιοῖς, ἥ τε πλείστη τῆς Ἀρκαδίας αὐτοῖς συνεστέλλετο. Καὶ Μακεδόνων μὲν ἀσχόλων ὄντων διά τινας προσοίκους καὶ ὁμόρους πολέμους, Αἰτωλῶν δὲ συμμαχούντων, ἐπίδοσιν μεγάλην ἡ τῶν Ἀχαιῶν ἐλάμβανε δύναμις.

XXXV. Ὁ δ' Ἄρατος ἐργαζόμενος τὴν παλαιὰν ὑπόθεσιν, καὶ δυσανασχετῶν τὴν ἐν Ἄργει τυραννίδα γειτνιῶσαν αὐτοῖς, ἔπειθε πέμπειν τὸν Ἀριστόμαχον εἰς μέσον θεῖναι καὶ προσαγαγεῖν τοῖς Ἀχαιοῖς τὴν πόλιν, καὶ ζηλώσαντα Λυσιάδην, ἔθνους τηλικούτου μετ' εὐφημίας καὶ τιμῆς στρατηγὸν εἶναι μᾶλλον, ἢ μιᾶς πόλεως κινδυνεύοντα καὶ μισούμενον τύραννον. Ὑπακούσαντος δὲ τοῦ Ἀριστομάχου, καὶ κελεύσαντος αὐτῷ πεντήκοντα τάλαντα πέμψαι τὸν Ἄρατον, ὅπως ἀπαλλάξῃ καὶ διαλύσηται τοὺς παρ' αὐτῷ στρατευομένους, καὶ τῶν χρημάτων πορίζομένων, ὁ Λυσιάδης ἔτι στρατηγῶν, καὶ

φιλοτιμούμενος ἴδιον αὐτοῦ πολίτευμα τοῦτο πρὸς τοὺς Ἀχαιοὺς γενέσθαι, τοῦ μὲν Ἄρατου κατηγόρει πρὸς Ἀριστόμαχον, ὡς δυσμενῶς καὶ ἀδιαλλάκτως ἀεὶ πρὸς τοὺς τυράννους ἔχοντος, αὐτῷ δὲ πείσας τὴν πρᾶξιν ἐπιτρέψαι, προσήγαγε τοῖς Ἀχαιοῖς τὸν ἄνθρωπον. Ἔνθα δὴ μάλιστα φανερὰν ἐποίησαν οἱ σύνεδροι τῶν Ἀχαιῶν τὴν πρὸς τὸν Ἄρατον εὔνοιαν καὶ πίστιν. Ἀντειπόντος μὲν γὰρ αὐτοῦ, δι' ὀργὴν ἀπήλασαν τοὺς περὶ τὸν Ἀριστόμαχον. Ἐπεὶ δὲ συμπεισθεὶς πάλιν αὐτὸς ἤρξατο περὶ αὐτῶν διαλέγεσθαι παρών, πάντα ταχέως καὶ προθύμως ἐψηφίσαντο, καὶ προσεδέξαντο μὲν τοὺς Ἀργείους καὶ Φλιασίους εἰς τὴν πολιτείαν, ἐνιαυτῷ δ' ὕστερον καὶ τὸν Ἀριστόμαχον εἵλοντο στρατηγόν. Ὁ δ' εὐημερῶν παρὰ τοῖς Ἀχαιοῖς, καὶ βουλόμενος εἰς τὴν Λακωνικὴν ἐμβαλεῖν, ἐκάλει τὸν Ἄρατον ἐξ Ἀθηνῶν. Ὁ δ' ἔγραφε μὲν αὐτῷ τὴν στρατείαν ἀπαγορεύων, καὶ τῷ Κλεομένει θράσος ἔχοντι καὶ παραβόλως αὐξανομένῳ συμπλέκεσθαι τοὺς Ἀχαιοὺς μὴ βουλόμενος· ὡρμημένου δὲ πάντως ὑπήκουσε, καὶ παρὼν συνεστράτευεν. Ὅτε δὴ καὶ κωλύσας περὶ τὸ Παλλάντιον, τοῦ Κλεομένους ἐπιφανέντος αὐτοῖς, μάχην συνάψαι τὸν Ἀριστόμαχον, ὑπὸ Λυσιάδου κατηγορήθη, καὶ περὶ τῆς στρατηγίας εἰς ἀγῶνα καὶ ἀντιπαραγγελίαν αὐτῷ καταστας, ἐκράτησε τῇ χειροτονίᾳ, καὶ τὸ δωδέκατον ἡρέθη στρατηγός.

XXXVI. Ἐν ταύτῃ τῇ στρατηγίᾳ περὶ τὸ Λύκαιον ἡττηθεὶς ὑπὸ τοῦ Κλεομένους ἔφυγε, καὶ 1044
πλανηθεὶς νυκτὸς, ἔδοξε μὲν τεθνάναι, καὶ πάλιν αὐτος ὁ λόγος κατ' αὐτοῦ πολὺς ἐξεφοίτησεν εἰς τοὺς Ἕλληνας· ἀνασωθεὶς δὲ, καὶ τοὺς στρατιώτας συναγαγὼν, οὐκ ἠγάπησεν ἀσφαλῶς ἀπελθεῖν, ἀλλ' ἄριστα τῷ καιρῷ χρησάμενος, οὐδενὸς προσδοκῶντος, οὐδὲ συλλογιζομένου τὸ μέλλον, ἐξαίφνης ἐπέπεσε Μαντινεῦσι, συμμάχοις οὖσι τοῦ Κλεομένους· καὶ τὴν πόλιν ἑλὼν, φρουρὰν ἐνέβαλε, καὶ τοὺς μετοίκους πολίτας ἐποίησεν αὐτῶν, καὶ μόνος, ἃ νικῶντες οὐκ

ἂν ῥᾳδίως ἔσχον, ἐκτήσατο νενικημένοις τοῖς Ἀχαιοῖς. Αὖθις δὲ τῶν Λακεδαιμονίων ἐπὶ Μεγάλην πόλιν στρατευσάντων, βοηθήσας, ὥκνει μὲν ἀψιμαχοῦντι τῷ Κλεομένει λαβὴν παρασχεῖν, καὶ τοῖς Μεγαλοπολίταις βιαζομένοις ἀντεῖχεν· οὔτ' ἄλλως πρὸς τὰς κατὰ στόμα μάχας εὖ πεφυκὼς, καὶ τότε λειπόμενός τε πλήθει, καὶ πρὸς ἄνδρα τολμητὴν καὶ νέον ἤδη παρακμάζοντι τῷ θυμῷ καὶ κεκολασμένῃ τῇ φιλοτιμίᾳ συνεστηκώς· καὶ νομίζων, ἣν διὰ τοῦ τολμᾶν ἐκεῖνος ἐξ οὐχ ὑπαρχόντων ἐκτᾶτο δόξαν, αὐτῷ κεκτημένῳ φυλακτέον εἶναι διὰ τῆς εὐλαβείας.

XXXVII. Οὐ μὴν ἀλλὰ τῶν ψιλῶν ἐκδραμόντων καὶ ὠσαμένων τοὺς Σπαρτιάτας ἄχρι τοῦ στρατοπέδου, καὶ περὶ τὰς σκηνὰς διασπαρέντων, ὁ μὲν Ἄρατος οὐδ' ὡς ἐπήγαγεν, ἀλλ' ἐν μέσῳ λαβὼν χαράδραν, ἐπέστησε καὶ κατεκώλυσε διαβῆναι τοὺς ὁπλίτας· ὁ δὲ Λυσιάθης περιπαθῶν πρὸς τὰ γινόμενα, καὶ τὸν Ἄρατον κακίζων, ἀνεκαλεῖτο τοὺς ἱππεῖς, ὡς αὐτὸς ἀξιῶν ἐπιφανῆναι τοῖς διώκουσι, καὶ μὴ προέσθαι τὸ νίκημα, μηδ' ἐγκαταλιπεῖν αὐτὸν ὑπὲρ τῆς πατρίδος ἀγωνιζόμενον. Πολλῶν δὲ συστραφέντων καὶ ἀγαθῶν, ἐπιῤῥωσθεὶς ἐνέβαλε τῷ δεξιῷ τῶν πολεμίων, καὶ τρεψάμενος ἐδίωκεν· ὑπὸ θυμοῦ δὲ καὶ φιλοτιμίας ἀταμιεύτως ἐπισπασθεὶς εἰς χωρία σκολιὰ καὶ μεστὰ δένδρων πεφυτευμένων καὶ τάφρων πλατειῶν, εὐθὺς ἐπιθεμένου τοῦ Κλεομένους, ἔπεσε, λαμπρῶς ἀγωνισάμενος τὸν κάλλιστον τῶν ἀγώνων ἐπὶ θύραις τῆς πατρίδος. Οἱ δ' ἄλλοι φεύγοντες εἰς τὴν φάλαγγα, καὶ συνταράξαντες τοὺς ὁπλίτας, ὅλον τὸ στράτευμα τῆς ἥττης ἐνέπλησαν. Αἰτίαν δὲ μεγάλην ὁ Ἄρατος ἔλαβε, δόξας προέσθαι τὸν Λυσιάθην· καὶ βιασθεὶς ὑπὸ τῶν Ἀχαιῶν ἀπερχομένων πρὸς ὀργὴν, ἠκολούθησεν αὐτοῖς εἰς Αἴγιον. Ἐκεῖ δὲ συνελθόντες ἐψηφίσαντο, μὴ διδόναι χρήματα αὐτῷ, μηδὲ μισθοφόρους τρέφειν, ἀλλ' αὐτῷ πορίζειν, εἰ δέοιτο πολεμεῖν.

XXXVIII. Οὕτω δὲ προπηλακισθεὶς, ἐβουλεύσατο μὲν εὐθὺς ἀποθέσθαι τὴν σφραγῖδα, καὶ τὴν στρατηγίαν ἀφεῖναι· λογισμῷ δὲ χρησάμενος, τότε μὲν ὑπέμεινε, καὶ πρὸς Ὀρχομενὸν ἐξαγαγὼν τοὺς Ἀχαιοὺς, μάχην ἔθετο πρὸς τὸν Μεγιστόνουν, τὸν Κλεομένους πατρωόν· ἐν ᾗ κρατήσας τριακοσίους μὲν ἀπέκτεινε, ζῶντα δὲ τὸν Μεγιστόνουν συνέλαβεν. Εἰωθὼς δὲ στρατηγεῖν παρ' ἐνιαυτὸν, ὡς ἡ τάξις αὐτῷ περιῆλθε, καλούμενος ἐξωμόσατο, καὶ Τιμόξενος ἡρέθη στρατηγός. Ἐδόκει δ' ἡ μὲν πρὸς τοὺς ὄχλους ὀργὴ πρόφασις εἶναι λεγομένη τῆς ἐξωμοσίας ἀπίθανος, αἰτία δ' ἀληθὴς τὸ περιεστῶτα τοὺς Ἀχαιούς· οὐκέθ' ὡς πρότερον ἀτρέμα καὶ σχέδην τοῦ Κλεομένους ἐπιβαίνοντος, οὐδ' ἐμπλεκομένου ταῖς πολιτικαῖς ἀρχαῖς, ἀλλ' ἐπεὶ τοὺς Ἐφόρους ἀποκτείνας, καὶ τὴν χώραν ἀναδασάμενος, καὶ πολλοὺς τῶν μετοίκων ἐμβαλὼν εἰς τὴν πολιτείαν, ἔσχεν ἐσχὺν ἀνυπεύθυνον, εὐθὺς ἐπικειμένου τοῖς Ἀχαιοῖς, καὶ τῆς ἡγεμονίας ἑαυτὸν ἀξιοῦντος. Διὸ καὶ μέμφονται τὸν Ἄρατον, ἐν σάλῳ μεγάλῳ καὶ χειμῶνι τῶν πραγμάτων φερομένων, ὥσπερ κυβερνήτην ἀφέντα καὶ προέμενον ἑτέρῳ τοὺς οἴακας, ὅτε καλῶς 1045
εἶχε καὶ ἀκόντων ἐπιστάντα σώζειν τὸ κοινόν· εἰ δ' ἀπεγνώκει τὰ πράγματα καὶ τὴν δύναμιν τῶν Ἀχαιῶν, εἶξαι τῷ Κλεομένει, καὶ μὴ πάλιν τὴν Πελοπόννησον ἐκβαρβαρῶσαι φρουραῖς Μακεδόνων, μήτε πληρῶσαι τὸν Ἀκροκόρινθον Ἰλλυρικῶν ὅπλων καὶ Γαλατικῶν· μηδ' οὓς αὐτὸς ἐν ταῖς πράξεσι καταστρατηγῶν καὶ καταπολιτευόμενος, ἐν δὲ τοῖς ὑπομνήμασι λοιδορῶν διετέλει, τούτους ἐπάγεσθαι δεσπότας ταῖς πόλεσι, συμμάχους ὑποκοριζόμενον. Εἰ δὲ Κλεομένης ἦν, λεγέσθω γὰρ οὕτως, παράνομος καὶ τυραννικὸς, ἀλλ' Ἡρακλεῖδαι πατέρες αὐτῷ καὶ Σπάρτη πατρὶς, ἧς τὸν ἀφανέστατον ἠξίουν ἄν, ἀντὶ τοῦ πρώτου Μακεδόνων, ἡγεμόνα ποιεῖσθαι, τοὺς ἔν τινι λόγῳ τὴν Ἑλληνικὴν τιθεμένους εὐγένειαν. Καίτοι Κλεομένης ἤτει τὴν ἀρχὴν παρὰ τῶν Ἀχαιῶν, ὡς πολλὰ ποιήσων ἀγαθὰ τὰς πόλεις· ἀντὶ τῆς τι-

μῆς καὶ τῆς προσηγορίας ἐκείνης· Ἀντίγονος δὲ, καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν αὐτοκράτωρ ἡγεμὼν ἀναγορευθεὶς, οὐχ ὑπήκουσε, πρὶν τὸν μισθὸν αὐτῷ τῆς ἡγεμονίας ὁμολογηθῆναι τὸν Ἀκροκόρινθον ἀτεχνῶς τὸν Αἰσώπου μιμησάμενος κυνηγόν. Οὐ γὰρ πρότερον ἐπέβη τοῖς Ἀχαιοῖς δεομένοις καὶ ὑποβάλλουσιν αὐτοὺς διὰ τῶν πρεσβειῶν καὶ τῶν ψηφισμάτων, ἢ τῇ φρουρᾷ καὶ τοῖς ὁμήροις ὥσπερ χαλινουμένους ἀνασχέσθαι. Καίτοι πᾶσαν ὁ Ἄρατος ἀφίησι φωνὴν, ἀπολογιζόμενος τὴν ἀνάγκην. Ὁ Πολύβιος δ' αὐτὸν ἐκ πολλοῦ φησὶ καὶ πρὸ τῆς ἀνάγκης ὑφορώμενον τὸ θράσος τὸ τοῦ Κλομένους, κρύφα τῷ Ἀντιγόνῳ διαλέγεσθαι, καὶ τοὺς Μεγαλοπολίτας προκαθιέναι δεομένους Ἀχαιῶν ἐπικαλεῖσθαι τὸν Ἀντίγονον. Οὗτοι γὰρ ἐπιέζοντο μάλιστα συνεχῶς τῷ πολέμῳ, ἄγοντος αὐτοὺς καὶ φέροντος τοῦ Κλομένους. Ὁμοίως δὲ καὶ Φύλαρχος ἱστόρηκε περὶ τούτων, ᾧ, μὴ τοῦ Πολυβίου μαρτυροῦντος, οὐ πάνυ τι πιστεύειν ἄξιον ἦν. Ἐνθουσιᾷ γάρ, ὅταν ἅψηται τοῦ Κλομένους, ὑπ' εὐνοίας, καὶ καθάπερ ἐν δίκῃ τῇ ἱστορίᾳ τῷ μὲν ἀντιδικῶν διατελεῖ, τῷ δὲ συναγορεύων.

XXXIX. Ἀπεβάλοντο δ' οὖν οἱ Ἀχαιοὶ τὴν Μαντίνειαν, πάλιν ἑλόντος αὐτὴν τοῦ Κλομένους· καὶ μάχῃ μεγάλῃ περὶ τὸ Ἑκατόμβαιον ἡττηθέντες, οὕτω κατεπλάγησαν, ὥστε πέμπειν εὐθὺς ἐφ' ἡγεμονίᾳ τὸν Κλομένη καλοῦντες εἰς Ἄργος. Ὁ δ' Ἄρατος ὡς ἤσθετο βαδίζοντα καὶ περὶ Λέρναν ὄντα μετὰ τῆς δυνάμεως, φοβηθεὶς ἀπέστειλε πρέσβεις, τοὺς ἀξιοῦντας ὡς παρὰ φίλους καὶ συμμάχους αὐτὸν ἥκειν μετὰ τριακοσίων· εἰ δ' ἀπιστεῖ, λαβεῖν ὁμήρους. Ταῦτα ὕβρει εἶναι καὶ χλευασμὸν αὐτοῦ φήσας ὁ Κλομένης, ἀνέζευξεν, ἐπιστολὴν γράψας τοῖς Ἀχαιοῖς, ἐγκλήματα πολλὰ κατὰ τοῦ Ἄρατου καὶ διαβολὰς ἔχουσαν. Γέγραφε δὲ κἀκεῖνος ἐπιστολὰς κατὰ τοῦ Κλομένους· καὶ ἐφέροντο λοιδορίαι καὶ βλασφημίαι μέχρι γάμων καὶ γυναικῶν ἀλλήλους κακῶς λεγόντων. Ἐκ τούτου κήρυκα πέμψας ὁ Κλεο-

μένης πόλεμον προεροῦντα τοῖς Ἀχαιοῖς, μικροῦ μὲν ἔλαθε τὴν Σικυωνίων πόλιν ἁρπάσας διὰ προδοσίας· ἐκεῖθεν δ' ἀποτραπεὶς, Πελλήνη προσέβαλε, καὶ, τοῦ στρατηγοῦ τῶν Ἀχαιῶν ἐκπεσόντος, ἔσχε τὴν πόλιν. Ὀλίγῳ δ' ὕστερον καὶ Φενεὸν ἔλαβε καὶ Πενταλειον. Εἶτ' εὐθὺς Ἀργεῖοι προσεχώρησαν αὐτῷ, καὶ Φλιάσιοι φρουρὰν ἐδέξαντο· καὶ ὅλως οὐδὲν ἔτι τῶν ἐπικτήτων βέβαιον ἦν τοῖς Ἀχαιοῖς, ἀλλὰ θόρυβος πολὺς ἄφνω περιειστήκει τὸν Ἄρατον, ὁρῶντα τὴν Πελοπόννησον κραδαινομένην, καὶ τὰς πόλεις ἐξανισταμένας ὑπὸ τῶν νεωτεριζόντων πανταχόθεν.

XL. Ἠτρέμει γὰρ οὐδὲν, οὐδ' ἔστεργεν ἐπὶ τοῖς παροῦσιν· ἀλλὰ καὶ Σικυωνίων αὐτῶν καὶ 1046
Κορινθίων ἐγένοντο πολλοὶ καταφανεῖς διειλεγμένοι τῷ Κλεομένει, καὶ πάλαι πρὸ τοῦ κοινὸν ἰδίων ἐπιθυμίᾳ δυναστειῶν ὑπούλως ἔχοντες. Ἐπὶ τούτους ἐξουσίαν ἀνυπεύθυνον ὁ Ἄρατος λαβὼν, τοὺς μὲν ἐν Σικυωνίᾳ ἐφθαρμένους ἀπέκτεινε, τοὺς δ' ἐν Κορίνθῳ πειρώμενος ἀναζητεῖν καὶ κολάζειν, ἐξηγρίαινε τὸ πλῆθος, ἤδη νοσοῦν καὶ βαρυνόμενον τὴν ὑπὸ τοῖς Ἀχαιοῖς πολιτείαν. Συνδραμόντες οὖν εἰς τὸ τοῦ Ἀπόλλωνος ἱερὸν, μετεπέμποντο τὸν Ἄρατον, ἀκκελεῖν ἢ συλλαβεῖν πρὸ τῆς ἀποστάσεως ἐγνωκότες. Ὁ δ' ἦκε μὲν αὐτὸς ἐφελκόμενος τὸν ἵππον, ὡς οὐκ ἀπιστῶν, οὐδ' ὑποπτεύων· ἀναπηδησάντων δὲ πολλῶν, καὶ λοιδορουμένων αὐτῷ καὶ κατηγορούντων, εὖ πως καθεστῶτι τῷ προσώπῳ καὶ τῷ λόγῳ πράως, ἐκέλευσε καθίσαι, καὶ μὴ βοᾶν ἀτάκτως ἑστῶτας, ἀλλὰ καὶ τοὺς περὶ θύρας ὄντας εἴσω παριέναι· καὶ ταῦθ' ἅμα λέγων ὑπεξῆει βάδην, ὡς παραδώσων τινὶ τὸν ἵππον. Οὕτως δ' ὑπεκδὺς, καὶ τοῖς ὑπαντῶσι τῶν Κορινθίων ἀθορύβως διαλεγόμενος, καὶ πελεύων πρὸς τὸ Ἀπολλώνειον βαδίζειν, ὡς ἔλαθε πλησίον τῆς ἄκρας γενόμενος, ἀναπηδήσας ἐπὶ τὸν ἵππον, καὶ Κλεοπάτρᾳ, τῷ ἄρχοντι τῆς φρουρᾶς, διακελευσάμενος ἐγκρατῶς φυλάττειν, ἀφίππευσεν εἰς Σικυῶνα, τριάκοντα μὲν αὐτῷ στρατιωτῶν

ἑπομένων, τῶν δ' ἄλλων ἐγκαταλιπόντων καὶ διαρρυέντων. Αἰσθόμενοι δ' οἱ Κορίνθιοι μετ' ὀλίγον τὴν ἀπόδρασιν αὐτοῦ, καὶ διώξαντες, ὡς οὐ κατέλαβον, μετεπέμψαντο τὸν Κλεομένην, καὶ παρέδοσαν τὴν πόλιν, οὐδὲν οἰομένῳ λαμβάνειν παρ' αὐτῶν τοσοῦτον, ὅσου διημαρτεν, ἀφέντων Ἀρατον. Οὗτος μὲν οὖν, προσγενομένων αὐτῷ τῶν τὴν λεγομένην Ἀκτὴν κατοικούντων, καὶ τὰς πόλεις ἐγχειρισάντων, ἀπεσταύρου καὶ περιετείχιζε τὸν Ἀκροκόρινθον.

XLI. Τῷ δ' Ἀράτῳ συνῆλθον εἰς Σικυῶνα τῶν Ἀχαιῶν οὐ πολλοί, καὶ γενομένης ἐκκλησίας, ᾑρέθη στρατηγὸς αὐτοκράτωρ· καὶ περιεστήσατο φρουρὰν ἐκ τῶν ἑαυτοῦ πολιτῶν, τριάκοντα μὲν ἔτη καὶ τρία πεπολιτευμένος ἐν τοῖς Ἀχαιοῖς, πεπρωτευκὼς δὲ καὶ δυνάμει καὶ δόξῃ τῶν Ἑλλήνων· τότε δ' ἔρημος καὶ ἄπορος συντετριμμένος, ὥσπερ ἐπὶ ναυαγίου τῆς πατρίδος ἐν τοσούτῳ σάλῳ καὶ κινδύνῳ διαφερόμενος. Καὶ γὰρ Αἰτωλοὶ, δεομένου βοηθεῖν, ἀπείπαντο, καὶ τὴν Ἀθηναίων πόλιν, χάριτι τοῦ Ἀράτου πρόθυμον οὖσαν, οἱ περὶ Εὐκλείδην καὶ Μικίωνα διεκώλυσαν. Ὄντων δὲ τῷ Ἀράτῳ καὶ χρημάτων ἐν Κορίνθῳ καὶ οἰκίας, ὁ Κλεομένης ἥψατο μὲν οὐδενὸς, οὐδ' ἄλλον εἴασε, μεταπεμψάμενος δὲ τοὺς φίλους αὐτοῦ καὶ τοὺς διοικητὰς, ἐκέλευε πάντα ποιεῖν καὶ φυλάττειν, ὡς Ἀράτῳ λόγον ὑφέξοντας· ἰδίᾳ δὲ πρὸς αὐτὸν ἔπεμψε Τρίπυλον, καὶ πάλιν Μεγιστόνουν, τὸν πατρωὸν, ὑπισχνούμενος ἄλλα τε πολλὰ, καὶ δώδεκα τάλαντα σύνταξιν ἐνιαύσιον, ὑπερβαλλόμενος τῷ ἡμίσει Πτολεμαῖον· ἐκεῖνος γὰρ ἓξ τάλαντα τῷ Ἀράτῳ κατ' ἐνιαυτὸν ἀπέστελλεν. Ἠξίου δὲ τῶν Ἀχαιῶν ἡγεμὼν ἀναγορευθῆναι, καὶ κοινῇ μετ' αὐτῶν φυλάσσειν τὸν Ἀκροκόρινθον. Τοῦ δ' Ἀράτου φήσαντος, ὡς οὐκ ἔχοι τὰ πράγματα, μᾶλλον δ' ὑπ' αὐτῶν ἔχοιτο, καὶ κατειρωνεύσασθαι δόξαντος, ἐμβαλὼν εὐθὺς τὴν Σικυωνίαν ἐπόρθει καὶ κατέφθειρε, καὶ προσεκάθητο τῇ πόλει τρεῖς μῆνας, ἐγκαρτεροῦντος τοῦ Ἀράτου, καὶ διαπορουμένου,

εἰ δέξεται τὸν Ἀντίγονον ἐπὶ τῷ παραδοῦναι τὸν Ἀκροκόρινθον· ἄλλως γὰρ οὐκ ἐβούλετο βοηθεῖν.

XLII. Οἱ μὲν οὖν Ἀχαιοὶ συνελήλυθότες εἰς Αἴγιον, ἐκεῖ τὸν Ἄρατον ἐκάλουν. Ἦν δὲ κίνδυνος, τοῦ Κλεομένους πρὸς τῇ πόλει στρατοπεδεύοντος, διελθεῖν. Καὶ κατεῖχον οἱ πολῖται δεόμενοι, καὶ προ- 1047
ήσεσθαι τὸ σῶμα, τῶν πολεμίων ἐγγὺς ὄντων, οὐ φάσκοντες· ἐξήρτηντο δ' αὐτοῦ καὶ γυναῖκες ἤδη καὶ παῖδες, ὥσπερ πατρὸς κοινοῦ καὶ σωτῆρος περιέχόμενοι καὶ δακρύοντες. Οὐ μὴν ἀλλὰ θαρρύνας καὶ παραμυθησάμενος αὐτοὺς, ἐξίππευσεν ἐπὶ τὴν θάλασσαν, ἔχων δέκα φίλους, καὶ τὸν υἱὸν ἤδη νεανίαν ὄντα· καὶ παρορμούντων ἐκεῖ πλοίων ἐπιβάντες, εἰς Αἴγιον παρεκομίσθησαν ἐπὶ τὴν ἐκκλησίαν, ἐν ᾗ καλεῖν τὸν Ἀντίγονον ἐψηφίσαντο, καὶ παραδιδόναι τὸν Ἀκροκόρινθον. Ἔπεμψε δὲ καὶ τὸν υἱὸν Ἄρατος πρὸς αὐτὸν μετὰ τῶν ἄλλων ὁμήρων. Ἐφ' οἷς οἱ Κορίνθιοι χαλεπῶς φέροντες, τά τε χρήματα διήρπασαν αὐτοῦ, καὶ τὴν οἰκίαν τῷ Κλεομένει δωρεὰν ἔδωκαν.

XLIII. Τοῦ δ' Ἀντιγόνου προσιόντος ἤδη μετὰ τῆς δυνάμεως, (ἦγε δὲ πεζοὺς δισμυρίους Μακεδόνας, ἱππεῖς δὲ χιλίους καὶ τετρακοσίους) ἀπήντα μετὰ τῶν δημιουργῶν ὁ Ἄρατος αὐτῷ κατὰ θάλατταν εἰς Πηγὰς, λαθὼν τοὺς πολεμίους· οὐ πάνυ τι θαρρῶν τὸν Ἀντίγονον, οὐδὲ πιστεύων τοῖς Μακεδόσιν. Ἤιδει γὰρ ηὐξημένον ἑαυτὸν ἐξ ὧν ἐκείνους κακῶς ἐποίησε, καὶ πρώτην εἰληφὼς μεγίστην ὑπόθεσιν τῆς πολιτείας τὴν πρὸς Ἀντίγονον τὸν παλαιὸν ἔχθραν. Ἀλλ' ὁρῶν ἀπαραίτητον ἐπικειμένην ἀνάγκην, καὶ τὸν καιρὸν, ᾧ δουλεύουσιν οἱ δοκοῦντες ἄρχειν, ἐχώρει πρὸς τὸ δεινόν. Ὁ δ' Ἀντίγονος, ὡς τις αὐτῷ προσιόντα τὸν Ἄρατον ἔφρασε, τοὺς μὲν ἄλλους ἠσπάσατο μετρίως καὶ κοινῶς, ἐκεῖνον δὲ καὶ περὶ τὴν πρώτην ὑπάντησιν ἐδέξατο τῇ τιμῇ περιττῶς, καὶ κατὰ τἆλλα πειρώμενος ἀνδρὸς ἀγαθοῦ καὶ νοῦν ἔχοντος, ἐνδοτέρω τῆς χρείας προσηγάγετο. Καὶ γὰρ ἦν ὁ Ἄρατος οὐ μόνον

ἐν πράγμασι μεγάλοις ὠφελιμος, ἀλλὰ καὶ σχολάζοντα βασιλεῖ συγγενέσθαι παρ' ὀντινοῦν ἐπίχαρις. Διὸ, καίπερ ὢν νέος ὁ Ἀντίγονος, ὡς κατενόησε τὴν φύσιν τοῦ ἀνδρὸς μηδὲν ἀργὸν εἰς φιλίαν βασιλικὴν οὖσαν, οὐ μόνον Ἀχαιῶν, ἀλλὰ καὶ Μακεδόνων τῶν σὺν αὐτῷ, πάντα χρώμενος ἐκείνῳ διετέλει· καὶ τὸ σημεῖον ἀπέβαινεν, ὡς ὁ θεὸς ἐπὶ τῶν ἱερῶν ἔδειξε. Λέγεται γὰρ, οὐ πρὸ πολλοῦ θύοντι τῷ Ἀράτῳ δύο χολὰς ἐν ἥπατι φανῆναι μιᾷ πιμελῇ περιεχομένας· καὶ τὸν μάντιν εἰπεῖν, ὡς ταχὺ πρὸς τὰ ἔχθιστα καὶ πολεμιώτατα σύνεσιν εἰς ἄκραν φιλίαν. Τότε μὲν οὖν παρήνεγκε τὸ ῥηθὲν, οὐδ' ἄλλως πολὺ νέμων πίστεως ἱεροῖς καὶ μαντεύμασιν, ἀλλὰ τῷ λογισμῷ χρώμενος. Ἐπεὶ δ' ὕστερον εὖ χωροῦντι τῷ πολέμῳ συναγαγὼν ὁ Ἀντίγονος ἐστίασιν ἐν Κορίνθῳ, καὶ πολλοὺς ὑποδεχόμενος, τὸν Ἄρατον ἐπάνω κατέκλινεν ἑαυτοῦ· καὶ μετὰ μικρὸν αἰτήσας περιβόλαιον, ἠρώτησεν, εἰ δοκεῖ κἀκείνῳ ψύχος εἶναι· τοῦ δὲ καὶ πάνυ ῥιγοῦν φήσαντος, ἐκέλευσε προσχωρεῖν ἐγγυτέρω, καὶ δαπιδος κομισθείσης, ἀμφοτέρους ὁμοῦ περιέβαλον οἱ παῖδες· τότε δὴ τὸν Ἄρατον, ἀναμνησθέντα τῶν ἱερῶν ἐκείνων, γέλως ἔλαβε, καὶ διηγεῖτο τῷ βασιλεῖ τὸ σημεῖον καὶ τὴν προαγόρευσιν. Ἀλλὰ ταῦτα μὲν ἐπράχθη χρόνοις ὑστέρου.

XLIV. Ἐν δὲ ταῖς Πηγαῖς ὄντες καὶ λαβόντες ὅρκους, εὐθὺς ἐβάδιζον ἐπὶ τοὺς πολεμίους. Καὶ περὶ τὴν πόλιν ἀγῶνες ἦσαν, εὖ πεφραγμένου νοῦ Κλεομένους, καὶ τῶν Κορινθίων ἀμυνομένων προθύμως. Ἐν τούτῳ δ' Ἀριστοτέλης, ὁ Ἀργεῖος, φίλος ὢν Ἀράτου, διαπέμπεται κρύφα πρὸς αὐτὸν, ὡς ἀποστήσων τὴν πόλιν, εἰ στρατιώτας ἐκεῖνος ἔχων ἔλθοι. Τοῦ δ' Ἀράτου φράσαντος τῷ Ἀντιγόνῳ, καὶ μετὰ χιλίων καὶ πεντακοσίων εἰς Ἐπίδαυρον ἐξ Ἰσθμοῦ πλοίοις κομιζομένου κατὰ τάχος,
1048 οἱ μὲν Ἀργεῖοι προεξαναστάντες ἐπέθεντο τοῖς τοῦ Κλεομένους, καὶ κατέκλεισαν εἰς τὴν ἀκρόπολιν· ὁ δὲ Κλεομένης πυθόμενος ταῦτα, καὶ δεί-

σας, μὴ κατασχόντες οἱ πολέμιοι τὸ Ἄργος ἀποκόψωσιν αὐτὸν τῆς οἰκαδε σωτηρίας, ἐκλιπὼν τὸν Ἀκροκόρινθον, ἔτι νυκτὸς ἐβοήθει. Καὶ παρελθὼν μὲν εἰς Ἄργος ἔφθη, καὶ τροπήν τινα τῶν πολεμίων ἐποίησεν· ὀλίγῳ δ' ὕστερον Ἀράτου προσφερομένου, καὶ τοῦ βασιλέως ἐπιφαινομένου μετὰ τῆς δυνάμεως, ἀπεχώρησεν εἰς Μαντίνειαν. Ἐκ τούτου τοῖς μὲν Ἀχαιοῖς πάλιν αἱ πόλεις ἅπασαι προσεχώρησαν, Ἀντίγονος δὲ τὸν Ἀκροκόρινθον κατέλαβεν, Ἄρατος δὲ στρατηγὸς αἱρεθεὶς ὑπ' Ἀργείων, ἔπεισεν αὐτοὺς Ἀντιγόνῳ τά τε τῶν τυράννων καὶ τὰ τῶν προδοτῶν χρήματα δωρεὰν δοῦναι. Τὸν δ' Ἀριστόμαχον ἐν Κεγχρεαῖς στρεβλώσαντες, κατεπόντισαν· ἐφ' ᾧ καὶ μάλιστα κακῶς ἤκουσεν ὁ Ἄρατος, ὡς ἄνθρωπον οὐ πονηρὸν, ἀλλὰ καὶ κεχρημένον ἐκείνῳ, καὶ πεπεισμένον ἀφεῖναι τὴν ἀρχὴν, καὶ προσαγαγεῖν τοῖς Ἀχαιοῖς τὴν πόλιν, ὅμως περιϊδὼν παρανόμως ἀπολλύμενον.

XLV. Ἤδη δὲ καὶ τῶν ἄλλων ἐκείνῳ τὰς αἰτίας ἐπέφερον· οἷον, ὅτι τὴν μὲν Κορινθίων πόλιν Ἀντιγόνῳ δωρεὰν ἔδωκαν, ὥσπερ κώμην τινὰ τυχοῦσαν· τὸν Ὀρχομενὸν δὲ συνεχώρησαν αὐτῷ διαπάσαντι φρουρὰν ἐμβαλεῖν Μακεδονικήν. Ἐψηφίσαντο δ', ἄλλῳ μὴ γράφειν βασιλεῖ, μηδὲ πρεσβεύειν πρὸς ἄλλον, ἄκοντος Ἀντιγόνου· τρέφειν τε καὶ μισθοδοτεῖν ἠναγκάζοντο τοὺς Μακεδόνας. Θυσίας δὲ καὶ πομπὰς καὶ ἀγῶνας Ἀντιγόνῳ συνετέλουν, ἀρξαμένων τῶν Ἀράτου πολιτῶν· καὶ δεξαμένων τῇ πόλει τὸν Ἀντίγονον ὑπ' Ἀράτου ξενιζόμενον, ἠτιῶντο πάντων ἐκεῖνον, ἀγνοοῦντες, ὅτι τὰς ἡνίας ἐκείνῳ παραδεδωκὼς, καὶ τῇ ῥύμῃ τῆς βασιλικῆς ἐφελκόμενος ἐξουσίας, οὐδενὸς ἦν, ἢ μόνης φωνῆς, ἔτι κύριος, ἐπισφαλῆ τὴν παρῥησίαν ἐχούσης. Ἔπεὶ φανερῶς γε πολλὰ τῶν πραττομένων ἐλύπει τὸν Ἄρατον, ὥσπερ τὸ περὶ τῶν εἰκόνων· ὁ γὰρ Ἀντίγονος τὰς μὲν τῶν ἐν Ἄργει τυράννων καταβεβλημένας ἀνέστησε, τὰς δὲ τῶν ἑλόντων τὸν Ἀκροκόρινθον ἑστώσας ἀνέτρεψε, πλὴν μιᾶς τῆς

ἐκείνου· καὶ πολλὰ περὶ τούτων δεηθεὶς ὁ Ἄρατος οὐκ ἔπεισεν. Ἐδόκει δὲ καὶ τὰ περὶ Μαντίνειαν οὐχ Ἑλληνικῶς διοικεῖσθαι τοῖς Ἀχαιοῖς. Κρατήσαντες γὰρ αὐτῶν δι' Ἀντιγόνου, τοὺς μὲν ἐνδοξοτάτους καὶ πρώτους ἀπέκτειναν, τῶν δ' ἄλλων τοὺς μὲν ἀπέδοντο, τοὺς δ' εἰς Μακεδονίαν ἀπέστειλαν πέδας δεδεμένους· παῖδας δὲ καὶ γυναῖκας ἠνδραποδίσαντο· τοῦ δὲ συναχθέντος ἀργυρίου τὸ τρίτον αὐτοὶ διείλοντο, τὰς δὲ δύο μοίρας ἐνεῖμαν τοῖς Μακεδόσι. Καὶ ταῦτα μὲν ἔσχε τὸν τῆς ἀμύνης νόμον· καὶ γὰρ, εἰ δεινὸν, ἀνδρας ὁμοφύλους καὶ συγγενεῖς οὕτω μεταχειρίσασθαι δι' ὀργὴν, ἀλλ' ἐν ἀναγκαις γλυκὺ γίνεται, καὶ οὐ σκληρὸν, κατὰ Σιμωνίδην, ὥσπερ ἀλγοῦντι τῷ θυμῷ καὶ φλεγμαίνοντι θεραπείαν καὶ ἀναπλήρωσιν προσφερόντων. Τὰ δὲ μετὰ ταῦτα πραχθέντα περὶ τὴν πόλιν, οὔτ' εἰς καλὴν, οὔτ' εἰς ἀναγκαίαν ἐστὶ θέσθαι τῷ Ἀράτῳ πρόφασιν. Τῶν γὰρ Ἀργείων τὴν πόλιν παρ' Ἀντιγόνου δωρεὰν λαβόντων, καὶ κατοικίζειν ἐγνωκότων, αὐτὸς οἰκιστὴς αἱρεθεὶς, καὶ στρατηγὸς ὢν, ἐψηφίσατο, μηκέτι καλεῖν Μαντίνειαν, ἀλλ' Ἀντιγόνειαν· ὃ καὶ μέχρι νῦν καλεῖται. Καὶ δοκεῖ δὲ ἐκεῖνον ἡ μὲν ἐρατεινὴ Μαντίνεια παντάπασιν ἐξαλειφθαι, διαμένει δ' ἡ πόλις ἐπώνυμος τῶν ἀπολεσάντων καὶ ἀνελόντων τοὺς πολίτας.

XLVI. Ἐκ τούτου Κλεομένης μὲν, ἡττηθεὶς μάχῃ μεγάλῃ περὶ Σελλασίαν, ἐξέλιπε τὴν Σπάρτην, καὶ ἀπέπλευσεν εἰς Αἴγυπτον· Ἀντίγονος δὲ, πάντα τὰ δίκαια καὶ φιλάνθρωπα τῷ Ἀράτῳ πεποιη-
1049 κὼς, ἀνέζευξεν εἰς Μακεδονίαν, ἤδη κἀκεῖ νοσῶν ἤδη τὸν διάδοχον τῆς βασιλείας, Φίλιππον, οὔπω πάνυ μειράκιον ὄντα, πέμπων, εἰς Πελοπόννησον, Ἀράτῳ μάλιστα προσέχειν ἐκέλευσε, καὶ δι' ἐκείνου ταῖς πόλεσιν ἐντυγχεῖν, καὶ γνωρισθῆναι τοῖς Ἀχαιοῖς. Καὶ μέντοι καὶ παραλαβὼν αὐτὸν ὁ Ἄρατος, οὕτως διέθηκεν, ὥστε πολλῆς μὲν εὐνοίας πρὸς αὐτὸν, πολλῆς δὲ πρὸς τὰς Ἑλληνικὰς πράξεις φιλοτιμίας καὶ ὁρμῆς μεστὸν εἰς Μακεδονίαν ἀποστεῖλαι.

XLVII. *Τελευτήσαντος δ' Ἀντιγόνου, καταφρονήσαντες Αἰτωλοὶ τῶν Ἀχαιῶν διὰ τὴν ῥᾳθυμίαν, (ἐθισθέντες γὰρ ἀλλοτρίαις σώζεσθαι χερσὶ, καὶ τοῖς Μακεδόνων ὅπλοις αὐτοὺς ὑπεσταλκότες, ἐν ἀργίᾳ πολλῇ καὶ ἀταξίᾳ διῆγον,) ἐπέθεντο τοῖς κατα Πελοπόννησον πράγμασι· καὶ τὴν μὲν Πατρέων καὶ Δυμαίων λεηλασίαν ὁδοῦ πάρεργον ἐποιήσαντο, τὴν δὲ Μεσσήνην ἐμβαλόντες ἐπόρθουν. Ἐφ' οἷς ὁ Ἄρατος ἀγανακτῶν, καὶ τὸν στρατηγοῦντα τότε τῶν Ἀχαιῶν, Τιμόξενον, ὁρῶν ὀκνοῦντα καὶ διατρίβοντα τὸν χρόνον, ἤδη τῆς στρατηγίας αὐτῷ τελευτώσης, αὐτὸς ἠρημένος ἄρχειν μετ' ἐκεῖνον, προέλαβεν ἡμέραις πέντε τὴν ἀρχὴν ἕνεκα τοῦ βοηθῆσαι Μεσσηνίοις. Καὶ συναγαγὼν τοὺς Ἀχαιοὺς, τοῖς τε σώμασιν ἀγυμνάστους ὄντας, καὶ ταῖς διανοίαις ἐκλελυμένους πρὸς τὸν πόλεμον, ἡττᾶται περὶ Καφυὰς· καὶ θυμικώτερον ἐστρατηγηκέναι δόξας, οὕτως αὖ πάλιν ἀπημβλύνθη, καὶ προήκατο τὰ πράγματα καὶ τὰς ἐλπίδας, ὥστε πολλάκις λαβὴν τοὺς Αἰτωλοὺς παρασχόντας ἀνέχεσθαι καὶ περιορᾶν ὥσπερ κωμάζοντας ἐν τῇ Πελοποννήσῳ μετὰ πολλῆς ἀσελγείας καὶ θρασύτητος. Αὖθις οὖν τὰς χεῖρας ὀρέγοντες εἰς Μακεδονίαν, ἐπεσπῶντο καὶ κατῆγον ἐπὶ τὰς Ἑλληνικὰς πράξεις τὸν Φίλιππον, οὐχ ἥκιστα διὰ τὴν πρὸς τὸν Ἄρατον εὔνοιαν αὐτοῦ καὶ πίστιν ἐλπίζοντες εὐκόλῳ περὶ πάντα χρήσεσθαι καὶ χειροήθει.*

XLVIII. *Καὶ τότε πρῶτον Ἀπελλοῦ καὶ Μεγαλαίου καὶ τινων αὐλικῶν ἄλλων διαβαλλόντων τὸν Ἄρατον, ἀναπεισθεὶς ὁ βασιλεὺς, καὶ συναρχαιρεσιάσας τοῖς ἀπὸ τῆς ἐναντίας στάσεως, ἐσπούδασε τοὺς Ἀχαιοὺς ἑλέσθαι στρατηγὸν Ἐπήρατον. Ὡς δ', ἐκείνου μὲν καταφρονουμένου τελείως ὑπὸ τῶν Ἀχαιῶν, τοῦ δ' Ἀράτου παραμελοῦντος, ἐγίνετο τῶν χρησίμων οὐδέν, ἔγνω διαμαρτάνων τοῦ παντὸς ὁ Φίλιππος. Καὶ ἀνακρουσάμενος αὖθις ἐπὶ τὸν Ἄρατον, ὅλος ἦν ἐκείνου, καὶ τῶν πραγμάτων αὐτῷ πρός τε δύναμιν καὶ πρὸς εὐδοξίαν ἐπι-*

διδόντων, ἐξήρτητο τοῦ ἀνδρὸς, ὡς δὲ ἐκεῖνον εὐδοκιμοῦν καὶ αὐξόμενος. Ἐδόκει τε πᾶσιν ὁ Ἄρατος οὐ μόνον δημοκρατίας, ἀλλὰ καὶ βασιλείας ἀγαθὸς εἶναι παιδαγωγός. Ἡ γὰρ προαίρεσις αὐτοῦ καὶ τὸ ἦθος, ὡς χρῶμα, ταῖς πράξεσι τοῦ βασιλέως ἐπεφαίνετο. Καὶ γὰρ ἡ πρὸς Λακεδαιμονίους ἁμαρτόντας μετριότης τοῦ νεανίσκου, καὶ ἡ πρὸς Κρῆτας ὁμιλία, δι' ἧς ὅλην προσηγάγετο τὴν νῆσον ἡμέραις ὀλίγαις, ἥ τε πρὸς Αἰτωλοὺς στρατεία γενομένη θαυμαστῶς ἐνεργὸς, εὐπειθείας μὲν τῷ Φιλίππῳ δόξαν, εὐβουλίας δὲ τῷ Ἀράτῳ προσεῖθει. Καὶ διὰ ταῦτα μᾶλλον οἱ βασιλικοὶ φθονοῦντες, ὡς οὐθὲν ἐπέραινον κρύφα διαβάλλοντες, ἀναφανδὸν ἐλοιδοροῦντο καὶ προσέκρουον αὐτῷ παρὰ τοὺς πότους μετὰ πολλῆς ἀσελγείας καὶ βωμολοχίας· ἅπαξ δὲ καὶ λίθοις βάλλοντες ἀπιόντα εἰς τὴν σκηνὴν μετὰ τὸ δεῖπνον κατεδίωξαν. Ὑφ' οἷς ὁ Φίλιππος ὀργισθεὶς, εὐθὺς μὲν αὐτοὺς ἐζημίωσεν εἴκοσι ταλάντοις, ὕστερον δὲ νουμαίνεσθαι τὰ πράγματα καὶ ταράττειν δοκοῦντας ἀπέκτεινεν.

XLIX. Ἐπεὶ δὲ, τῆς τύχης εὐροούσης, ἐπαιρόμενος τοῖς πράγμασι, πολλὰς μὲν ἀνέφυε καὶ με-
1050 γάλας ἐπιθυμίας, ἡ δ' ἔμφυτος κακία, τὸν παρὰ φύσιν σχηματισμὸν ἐκβιαζομένη καὶ ἀναδύουσα, κατὰ μικρὸν ἀμεγέθη καὶ διάφανες αὐτοῦ τὸ ἦθος· πρῶτον μὲν ἰδίᾳ τὸν νεώτερον Ἄρατον ἠθικεῖ περὶ τὴν γυναῖκα, καὶ πολὺν χρόνον ἐλάνθανεν, ἐφέστιος ὢν καὶ ξενιζόμενος ὑπ' αὐτῶν· ἔπειτα πρὸς τὰς Ἑλληνικὰς ἐξετραχύνετο πολιτείας, καὶ φανερὸς ἦν ἤδη τὸν Ἄρατον ἀποσειόμενος. Ἀρχὴν δ' ὑποψίας τὰ Μεσσηνιακὰ παρέσχε. Στασιασάντων γὰρ αὐτῶν, ὁ μὲν Ἄρατος ὑστέρει βοηθῶν, ὁ δὲ Φίλιππος, ἡμέρᾳ μιᾷ πρότερον ἐλθὼν εἰς τὴν πόλιν, εὐθὺς οἶστρόν τινα κατ' ἀλλήλων ἐνέβαλε τοῖς ἀνθρώποις, ἰδίᾳ μὲν ἐρωτῶν τοὺς στρατηγοὺς τῶν Μεσσηνίων, εἰ νόμους κατὰ τῶν πολλῶν οὐκ ἔχουσιν· ἰδίᾳ δὲ πάλιν τοὺς τῶν πολλῶν προεστῶτας, εἰ χεῖρας κατὰ τῶν τυραννούντων οὐκ ἔχουσιν. Ἐκ

δὲ τούτου θαρρήσαντες, οἱ μὲν ἄρχοντες ἐπελαμβάνοντο τῶν δημαγωγῶν, ἐκεῖνοι δὲ μετὰ τῶν πολλῶν ἐπελθόντες, τούς τ' ἄρχοντας ἀπέκτειναν, καὶ τῶν ἄλλων ὀλίγον ἀπολείποντας διακοσίων.

L. Οὕτω δὲ δεινὸν ἔργον ἐξειργασμένου τοῦ Φιλίππου, καὶ συγκρούοντος ἔτι μᾶλλον ἑαυτοῖς τοὺς Μεσσηνίους, ἐπελθὼν ὁ Ἄρατος, αὐτός τε θῆλυς ἦν φέρων βαρέως, καὶ τὸν υἱὸν ἐπιτιμῶντα πικρῶς τῷ Φιλίππῳ καὶ λοιδορούμενον οὐκ ἐκώλυσεν. Ἐδόκει δ' ὁ νεανίσκος ἐρᾶν τοῦ Φιλίππου· καὶ τότε λέγων εἶπε πρὸς αὐτόν, ὡς οὐδὲ καλὸς ἔτι φαίνοιτο τὴν ὄψιν αὐτῷ, τοιαῦτα δράσας, ἀλλὰ πάντων αἴσχιστος. Ὁ δὲ Φίλιππος ἐκείνῳ μὲν οὐδὲν ἀντεῖπε, καίπερ ἐπίδοξος ὢν ὑπ' ὀργῆς, καὶ πολλάκις ἐξυλακτήσας λέγοντος αὐτοῦ· τὸν δὲ πρεσβύτερον, ὡς ἐνηνοχὼς πράως τὰ λεχθέντα, καί τις ὢν μέτριος καὶ πολιτικὸς τὴν φύσιν, ἀνέστησεν ἐκ τοῦ θεάτρου, τὴν δεξιὰν ἐμβαλών· καὶ προῆγεν εἰς τὸν Ἰθωμάταν, τῷ τε Διῒ θύσων, καὶ θεωρήσων τὸν τόπον. Ἔστι γὰρ οὐχ ἥττον εὔερκὴς τοῦ Ἀκροκορίνθου· καὶ λαβὼν φρουρὰν γίνεται χαλεπὸς καὶ δυσεκβίαστος τοῖς παροικοῦσιν. Ἀναβὰς δὲ καὶ θύσας, ὡς προσηνέγκει αὐτῷ τὰ σπλάγχνα τοῦ βοὸς ὁ μάντις, ἀμφοτέραις ταῖς χερσὶν ὑπολαβών, ἐδείκνυε τῷ τε Ἄρατῳ καὶ τῷ Φαρίῳ Δημητρίῳ, παρὰ μέρος ἀποκλίνων εἰς ἑκάτερον, καὶ πυνθανόμενος, τί καθορῶσιν ἐν τοῖς ἱεροῖς· κρατοῦντα τῆς ἄκρας αὐτὸν, ἢ τοῖς Μεσσηνίοις ἀποδιδόντα. Γελάσας οὖν ὁ Δημήτριος· „Εἰ μὲν, ἔφη, μάντεως ἔχεις ψυχὴν, ἀφήσεις τὸν τόπον· εἰ δὲ βασιλέως, ἀμφοτέρων τῶν κεράτων τὸν βοῦν καθέξεις.“ αἰνιττόμενος τὴν Πελοπόννησον, ὡς, εἰ προσλάβοι τὸν Ἰθωμάταν τῷ Ἀκροκορίνθῳ, παντάπασιν ἐσομένην ὑποχείριον καὶ ταπεινήν. Ὁ δ' Ἄρατος ἐπὶ πολὺ μὲν ἡσύχαζε, δεομένου δὲ τοῦ Φιλίππου τὸ φαινόμενον λέγειν· „Πολλὰ μὲν, εἶπεν, ὦ Φίλιππε, Κρητῶν ὄρη καὶ μεγάλα, πολλαὶ δὲ Βοιωτῶν ἄκραι καὶ Φωκέων ἐκπεφύκασι τῆς γῆς· εἰσὶ δὲ

που πολλοὶ καὶ τῶν Ἀκαρνάνων, τοῦτο μὲν χέρσαιοι, τοῦτο δ' ἕναλοι τόποι θαυμαστὰς ὀχυρότητας ἔχοντες· ἀλλ' οὐδένα τούτων κατείληφάς, καὶ πάντες ἑκουσίως σοι ποιοῦσι τὸ προστασσόμενον. Λῃσταὶ γὰρ ἐμφύονται πέτραις, καὶ κρημνῶν περιέχονται· βασιλεῖ δὲ πίστεως καὶ χάριτος ἰσχυρότερον οὐδέν, οὐδ' ὀχυρώτερον. Ταῦτά σοι τὸ Κρητικὸν ἀνοίγει πέλαγος, ταῦτα τὴν Πελοπόννησον. Ἀπὸ τούτων ὁρμώμενος σὺ, τοσοῦτος τὴν ἡλικίαν, τῶν μὲν ἡγεμιῶν, τῶν δὲ κύριος ἤδη καθέστηκας." Ἔτι λέγοντος αὐτοῦ, τὰ μὲν σπλάγχνα τῷ μάντει παρέδωκεν ὁ Φίλιππος, ἐκεῖνον δὲ τῆς χειρὸς ἐπισπασάμενος· „Λεῦρο τοίνυν, ἔφη, τὴν αὐτὴν ὁδὸν ἴωμεν·" ὥσπερ ἐκβεβιασμένος ὑπ' αὐτοῦ, καὶ τὴν πόλιν ἀφῃρημένος.

LI. Ὁ δ' Ἄρατος, ἀποῤῥέων ἤδη τῆς αὐλῆς, καὶ κατὰ μικρὸν ἑαυτὸν ἀνακομιζόμενος ἐκ τῆς πρὸς
1051 τὸν Φίλιππον συνηθείας, διαβαίνοντος εἰς Ἤπειρον αὐτοῦ, καὶ δεομένου συστρατεύειν, ἀπείπατο, καὶ κατέμεινε, δεδιὼς ἀναπλησθῆναι δόξης πονηρᾶς, ἀφ' ὧν ἐκεῖνος ἔπραττεν. Ἐπεὶ δὲ, τάς τε ναῦς ὑπὸ Ῥωμαίων ἀπολέσας αἴσχιστα, καὶ ὅλως ἀποτυχὼν ταῖς πράξεσιν, ἐπανῆλθεν εἰς Πελοπόννησον, καὶ τοὺς Μεσσηνίους αὖθις ἐπιχειρήσας φενακίζειν, καὶ μὴ λαθὼν, ἠδίκει φανερῶς, καὶ τὴν χώραν αὐτῶν ἐπόρθει· παντάπασιν ὁ Ἄρατος ἀπεστράφη καὶ διεβλήθη πρὸς αὐτὸν, ἤδη καὶ τῶν περὶ τὴν γυναικωνῖτιν ἀδικημάτων αἰσθόμενος, καὶ φέρων ἀναρῶς αὐτὸς, ἀποκρυπτόμενος δὲ τὸν υἱόν· εἰδέναι γὰρ ὑβρισμένον περιῆν, ἄλλο δ' οὐδὲν, ἀμύνασθαι μὴ δυναμένῳ. Μεγίστην γὰρ ὁ Φίλιππος δοκεῖ καὶ παραλογωτάτην μεταβαλέσθαι μεταβολὴν, ἐξ ἡμέρου βασιλέως καὶ μειρακίου σώφρονος ἀνὴρ ἀσελγὴς καὶ τύραννος ἐξώλης γενόμενος. Τὸ δ' οὐκ ἦν ἄρα μεταβολὴ φύσεως, ἀλλ' ἐπίδειξις ἐν ἀδείᾳ κακίας πολὺν χρόνον διὰ φόβον ἀγνοηθείσης.

LII. Ὅτι γὰρ ἦν μεμιγμένον αἰσχύνῃ καὶ φόβῳ τὸ πρὸς τὸν Ἄρατον αὐτοῦ πάθος ἀπ' ἀρχῆς

συντεθραμμένον, ἐδήλωσεν, οἷς ἔπραξε περὶ αὐτόν. Ἐπιθυμῶν γὰρ ἀνελεῖν τὸν ἄνδρα, καὶ νομίζων, οὐδ' ἂν ἐλεύθερος, ἐκείνου ζῶντος, εἶναι, μή τί γε τύραννος, ἢ βασιλεύς; βίᾳ μὲν οὐδὲν ἐπεχείρησε, Ταυρίωνα δὲ, τῶν στρατηγῶν τινα καὶ φίλων, ἐκέλευσεν ἀδήλῳ τρόπῳ τοῦτο πρᾶξαι, μάλιστα διὰ φαρμάκων, αὐτοῦ μὴ παρόντος. Ὁ δὲ πυθόμενος τὸν Ἄρατον συνήθη, φάρμακον αὐτῷ δίδωσιν, οὐκ ὀξὺ καὶ σφοδρὸν, ἀλλὰ τῶν θέρμας τε μαλακὰς τὸ πρῶτον ἐν τῷ σώματι καὶ βῆχα κινούντων ἀμβλεῖαν, εἶτα οὕτως κατὰ μικρὸν εἰς φθορὰν περαινόντων. Οὐ μὴν ἔλαθέ γε τὸν Ἄρατον· ἀλλ' ὡς οὐδὲν ἦν ὄφελος ἐλέγχοντι, πράως καὶ σιωπῇ τὸ πάθος, ὡς δή τινα νόσον κοινὴν καὶ συνήθη νοσῶν, διήντλει. Πλὴν ἑνός γε τῶν συνήθων ἐν τῷ δώματίῳ παρόντος, ἀναπτύσας δίαιμον, ἰδόντος ἐκείνου καὶ θαυμάσαντος· „Ταῦτ', εἶπεν, ὦ Κεφάλων, ἐπίχειρα τῆς βασιλικῆς φιλίας.“

LIII. Οὕτω δ' αὐτοῦ τελευτήσαντος ἐν Αἰγίῳ, τὸ ἑπτακαιδέκατον στρατηγοῦντος, καὶ τῶν Ἀχαιῶν φιλοτιμουμένων ἐκεῖ γενέσθαι ταφὰς καὶ μνήματα πρέποντα τῷ βίῳ τοῦ ἀνδρὸς, Σικυώνιοι συμφορὰν ἐποιοῦντο μὴ παρ' αὐτοῖς τεθῆναι τὸ σῶμα. Καὶ τοὺς μὲν Ἀχαιοὺς ἔπεισαν ἀφιέναι, νόμου δ' ὄντος ἀρχαίου, μηδένα θάπτεσθαι τειχῶν ἐντὸς, ἰσχυρᾷς τε τῷ νόμῳ δεισιδαιμονίας προσούσης, ἔπεμψαν εἰς Δελφοὺς, ὑπὲρ τούτων ἐρησόμενοι τὴν Πυθίαν. Ἡ δ' αὐτοῖς ἀναιρεῖ τὸν χρησμὸν τόνδε·

> Βουλεύῃ, Σικυών, ζωάγριον αἶψα Ἀράτου,
> Ἀμφ' ὁσίῃ θαλίῃ τε κατοιχομένοιο ἄνακτος.
> Ὡς τὸ βαρυνόμενον τῷδ' ἀνέρι καὶ τὸ βιαῖον,
> Γαίης ἐσ' ἀσέβημα καὶ οὐρανοῦ ἠδὲ θαλάσσης.

Κομισθείσης δὲ τῆς μαντείας, οἵ τ' Ἀχαιοὶ σύμπαντες ἤσθησαν, καὶ διαφερόντως οἱ Σικυώνιοι· οἳ μεταβαλόντες εἰς ἑορτὴν τὸ πένθος, εὐθὺς ἐκ τοῦ Αἰγίου τὸν νεκρὸν ἐστεφανωμένοι καὶ λευχειμονοῦντες ὑπὸ παιάνων καὶ χορῶν εἰς τὴν πόλιν ἀνῆγον, καὶ τόπον ἐξελόμενοι περίοπτον, ὥσπερ οἰκε-

στὴν καὶ σωτῆρα τῆς πόλεως ἐκήδευσαν. Καὶ καλεῖται μέχρι νῦν Ἀράτειον, καὶ θύουσιν αὐτῷ θυσίαν, τὴν μὲν, ἢ τὴν πόλιν ἀπήλλαξε τῆς τυραννίδος, ἡμέρᾳ πέμπτῃ Δαισίου μηνὸς, ὃν Ἀθηναῖοι καλοῦσιν Ἀνθεστηριῶνα, καὶ τὴν θυσίαν ἐκείνην Σωτήρια προσαγορεύουσι· τὴν δὲ τοῦ μηνὸς, ἐν
1052 ᾧ γενέσθαι τὸν ἄνδρα διαμνημονεύουσι. Τῆς μὲν οὖν προτέρας ὁ τοῦ Διὸς τοῦ Σωτῆρος κατηρχετο θυηπόλος, τῆς δὲ δευτέρας ὁ τοῦ Ἀράτου, στρόφιον οὐχ ὅλον λευκὸν, ἀλλὰ μεσοπόρφυρον ἔχων. Μέλη δ' ᾄδετο πρὸς κιθάραν ὑπὸ τῶν περὶ τὸν Διόνυσον τεχνιτῶν· καὶ συνεπόμπευεν ὁ γυμνασίαρχος, ἡγούμενος τῶν τε παίδων καὶ τῶν ἐφήβων, εἶτ' ἐφείπετο ἡ βουλὴ στεφανηφοροῦσα, καὶ τῶν ἄλλων πολιτῶν ὁ βουλόμενος. Ὧν ἔτι δείγματα μικρὰ ταῖς ἡμέραις ἐκείναις ἐξοσιούμενοι διαφυλάττουσιν· αἱ δὲ πλεῖσται τῶν τιμῶν ὑπὸ χρόνου καὶ πραγμάτων ἄλλων ἐκλελοίπασιν.

LIV. Ἀλλὰ γὰρ ὁ μὲν πρεσβύτερος Ἄρατος οὕτω βιῶσαι καὶ τοιοῦτος γενέσθαι τὴν φύσιν ἱστορεῖται· τὸν δ' υἱὸν αὐτοῦ, μιαρὸς ὢν φύσει καὶ μετ' ὠμότητος ὑβριστὴς ὁ Φίλιππος, οὐ θανασίμοις, ἀλλὰ μανικοῖς, ἐξέστησε τοῦ λογισμοῦ φαρμάκοις· καὶ παρέτρεψεν εἰς δεινὰς καὶ ἀλλοκότους ἐπιφορὰς, πράξεων ἀτόπων καὶ σὺν αἰσχύνῃ παθῶν ὀλεθρίων ὀρεγόμενον· ὥστε τὸν θάνατον αὐτῷ, καίπερ ὄντι νέῳ καὶ ἀνθοῦντι, μὴ συμφορὰν, ἀλλ' ἀπόλυσιν κακῶν καὶ σωτηρίαν γενέσθαι. Δίκας γε μὴν ὁ Φίλιππος οὐ μεμπτὰς Διὶ ξενίῳ καὶ φιλίῳ τῆς ἀνοσιουργίας ταύτης τίνων διετέλεσε. Καταπολεμηθεὶς μὲν γὰρ ὑπὸ Ῥωμαίων, ἐπέτρεψεν ἐκείνοις τὰ καθ' αὑτόν· ἐκπεσὼν δὲ τῆς ἄλλης ἀρχῆς, καὶ τὰς ναῦς, πλὴν πέντε, πάσας προέμενος, καὶ χίλια προσεκτίσειν ὁμολογήσας τάλαντα, καὶ τὸν υἱὸν ὁμηρεύσοντα παραδοὺς, δι' οἴκτου ἔτυχε Μακεδονίας καὶ τῶν συντελούντων. Ἀποκτείνων δ' ἀεὶ τοὺς ἀρίστους καὶ συγγενεστάτους, φρίκης ἐνέπλησε καὶ μίσους ὅλην τὴν βασιλείαν πρὸς αὐτόν. Ἓν δὲ μόνον ἐν

τοσούτοις κακοῖς εὐτύχημα κτησάμενος, υἱὸν ἀρετῇ διαφέροντα, τοῦτον φθόνῳ καὶ ζηλοτυπίᾳ τῆς παρὰ Ῥωμαίοις τιμῆς ἀνεῖλε· Περσεῖ δὲ θατέρῳ τὴν ἀρχὴν παρέδωκεν, ὃν οὐ γνήσιον, ἀλλ' ὑπόβλητον εἶναι φασὶν, ἐκ Γναθαινίου τινὸς ἀκεστρίας γενόμενον. Τοῦτον Λἰμίλιος ἐθριάμβευσεν· καὶ κατέστρεψεν ἐνταῦθα τῆς Ἀντιγονικῆς βασιλείας ἡ διαδοχή. Τὸ δ' Ἀράτου γένος ἐν τῇ Σικυῶνι καὶ τῇ Πελλήνῃ διέμεινε καθ' ἡμᾶς.

ΓΑΛΒΑΣ.

1053 Ὁ μὲν Ἀθηναῖος Ἰφικράτης τὸν μισθοφόρον ἠξίου στρατιώτην καὶ φιλόπλουτον εἶναι καὶ φιλήδονον, ὅπως ταῖς ἐπιθυμίαις χορηγίαν ἐπιζητῶν ἀγωνίζηται παραβολώτερον· οἱ δὲ πλεῖστοι, καθάπερ ἐρρωμένον σῶμα, τὸ στρατιωτικὸν ἀξιοῦσιν, ἰδίᾳ μηδέποτε χρώμενον ὁρμῇ, συγκινεῖσθαι τῇ τοῦ στρατηγοῦ. Διὸ καὶ Παῦλον Αἰμίλιον λέγουσι τὴν ἐν Μακεδονίᾳ δύναμιν παραλαβόντα λαλιᾶς καὶ περιεργίας, οἷον διαστρατηγοῦσαν, ἀνάπλεων, παρεγγυῆσαι τὴν χεῖρα ποιεῖν ἑτοίμην καὶ τὴν μαχαιραν ὀξεῖαν ἕκαστον, αὐτῷ δὲ τῶν ἄλλων μελήσειν. Ὁ δὲ Πλάτων, οὐδὲν ἔργον ὁρῶν ἄρχοντος ἀγαθοῦ καὶ στρατηγοῦ, στρατιᾶς μὴ σωφρονούσης, μηδ' ὁμοπαθούσης, ἀλλὰ τὴν πειθαρχικὴν ἀρετὴν, ὁμοίως τῇ βασιλικῇ, νομίζων φύσεώς τε γενναίας καὶ τροφῆς φιλοσόφου δεῖσθαι, μάλιστα τῷ πρᾴῳ καὶ φιλανθρώπῳ τὸ θυμοειδὲς καὶ δραστήριον ἐμμελῶς ἀνακερανυμένης, ἄλλα τε πάθη πολλὰ καὶ τὰ Ῥωμαίοις συμπεσόντα μετὰ τὴν Νέρωνος τελευτὴν ἔχει μαρτύρια καὶ παραδείγματα τοῦ μηδὲν εἶναι φοβερώτερον ἀπαιδεύτοις χρωμένης καὶ ἀλόγοις ὁρμαῖς ἐν ἡγεμονίᾳ στρατιωτικῆς δυνάμεως. Δημάδης μὲν γὰρ, Ἀλεξάνδρου τελευτήσαντος, ἔκαζε τὴν Μακεδόνων στρατιὰν ἐκτετυφλωμένῳ τῷ Κύκλωπι, πολ-

λαῖς κινουμένην ὁρῶν πνήσεις ἀτάκτους καὶ παραφόρους. Τὴν δὲ Ῥωμαίων ἡγεμονίαν ὅμοια τοῖς λεγομένοις Τιτανικοῖς πάθεσι καὶ πνίγμασι κατελάμβανεν, εἰς πολλὰ διασπωμένην ἅμα καὶ πολλαχόθεν αὖθις ἑαυτῇ συμπίπτουσαν, οὐχ οὕτως ὑπὸ φιλαρχίας τῶν ἀναγορευομένων αὐτοκρατόρων, ὡς φιλοπλουτίας καὶ ἀπολασίας τοῦ στρατιωτικοῦ, δι' ἀλλήλων, ὥσπερ ἤλους, τοὺς ἡγεμόνας ἐκπρούοντος. Καίτοι Δυούσιος Φεραῖον ἄρξαντα ἑπτὰ μῆνας, εἶτ' εὐθὺς ἀναιρεθέντα, τὸν τραγικὸν ἀνεκάλει κύρανον, ἐπισκώπτων τὸ τάχος τῆς μεταβολῆς. Ἡ δὲ τῶν Καισάρων ἑστία, τὸ Παλάτιον, ἐν ἐλάσσονι χρόνῳ τέσσαρας αὐτοκράτορας ὑπέδεξατο, τὸν μὲν εἰσαγόντων ὥσπερ διὰ σκηνῆς, τὸν δ' ἐξαγόντων. Ἀλλ' ἦν γε παραμυθία τοῖς κακῶς πάσχουσι βία, τὸ μὴ δεηθῆναι δίκης ἑτέρας ἐπὶ τοὺς αἰτίους, ἀλλ' ὁρᾶν αὐτοὺς ὑφ' ἑαυτῶν φονευομένους· πρῶτον δὲ καὶ δικαιότατα πάντων, τὸν δειλάσαντα καὶ διδάξαντα τοσοῦτον ἐλπίζειν ἐπὶ μεταβολῇ Καίσαρος, ὅσον αὐτὸς ὑπέσχετο, κάλλιστον ἔργον διαβαλὼν τῷ μισθῷ, τὴν ἀπὸ Νέρωνος ἀποστασίαν, προδοσίαν γενομένην.

II. Νυμφίδιος γὰρ Σαβῖνος, ὢν ἔπαρχος, ὥσπερ εἴρηται, μετὰ Τιγελλίνου τῆς αὐλῆς, ἐπεὶ τὰ Νέρωνος ἀπέγνωστο παντάπασι, καὶ δῆλος ἦν ἀποδρασόμενος εἰς Αἴγυπτον, ἔπεισε τὸ στρατιωτικὸν, ὡς μηκέτι παράντος, ἀλλ' ἤδη πεφευγότος, αὐτοκράτορα Γάλβαν ἀναγορεῦσαι, καὶ δωρεὰν ὑπέσχετο κατ' ἄνδρα τοῖς αὐλικοῖς καὶ στρατηγικοῖς προσαγορευομένοις δραχμὰς ἑπτακισχιλίας πεντακοσίας, τοῖς δ' ἐκτὸς στρατευομένοις πεντήκοντα καὶ διακοσίας ἐπὶ χιλίαις, ὅσον ἀμήχανον ἦν συναγαγεῖν μὴ πλείονα μυριάκις κακὰ παρασχόντα πᾶσιν 1054 ἀνθρώποις, ὧν Νέρων παρέσχε. Τοῦτο γὰρ εὐθὺς μὲν ἀπώλεσε Νέρωνα, μετ' ὀλίγον δὲ καὶ Γάλβαν. Τὸν μὲν γὰρ ὡς ληψόμενοι προήκαντο, τὸν δὲ μὴ λαμβάνοντες ἀπέκτειναν. Εἶτα τὸν τοσοῦτον δώσοντα ζητοῦντες, ἔφθησαν ἐν ταῖς ἀποστάσεσι

καὶ προδοσίας ἀναλύσαντες αὐτοὺς, ἢ τυχόντες ὧν ἤλπισαν. Τὰ μὲν οὖν καθ' ἕκαστα τῶν γενομένων ἀπαγγέλλειν ἀκριβῶς, τῆς πραγματικῆς ἱστορίας ἐστίν· ὅσα δ' ἄξια λόγου τοῖς τῶν Καισάρων ἔργοις καὶ πάθεσι συμπέπτωκεν, οὐδ' ἐμοὶ προσήκει παρελθεῖν.

III. Γάλβας Σουλπίκιος, ὅτι μὲν ἰδιώτης πλουσιώτατος ἁπάντων εἰς τὸν Καισάρων παρῆλθεν οἶκον, ὁμολογεῖται· μέγα δ' ἔχων εὐγενείας ἀξίωμα, τὸν Σερουίων οἶκον, αὐτὸς ἐφρόνει μεῖζον ἐπὶ τῇ Κάτλου συγγενείᾳ, πρωτεύσαντος ἀνδρὸς ἀρετῇ καὶ δόξῃ τῶν καθ' ἑαυτὸν, εἰ καὶ τὸ δύνασθαι μᾶλλον ἑκὼν ἑτέροις παρῆκεν. Ἦν δέ τι καὶ Λιβίᾳ, τῇ Καίσαρος γυναικὶ, κατὰ γένος προσῆκων ὁ Γάλβας, καὶ διὰ ῥώθωνος, Λιβίας παρασχούσης, ὕπατος ἐκ Παλατίου προῆλθε. Λέγεται δὲ καὶ στρατεύματος ἐν Γερμανίᾳ καλῶς ἄρξαι, καὶ Λιβύης ἀνθύπατος γενόμενος, σὺν ὀλίγοις ἐπαινεθῆναι. Τὸ δ' εὔκολον αὐτοῦ τῆς φαύλης καὶ φειδωλῆς ἐν δαπάναις καὶ ἀπέριττον, αἰτίαν ἔσχεν αὐτοκράτορος γενομένου μικρολογίας· ἦν ἔωλόν τινα δόξαν εὐταξίας ἔφερε καὶ σωφροσύνης. Ἐπέμφθη δ' ὑπὸ Νέρωνος Ἰβηρίας ἄρχων, οὔπω θεθιδαγμένου φοβεῖσθαι τοὺς ἐν ἀξιώμασι μεγάλους τῶν πολιτῶν. Ἐκείνῳ δὲ καὶ φύσει δοκοῦντι πρᾴῳ γεγονέναι προσετέθη πίστιν εὐλαβείας τὸ γῆρας.

IV. Ἐπεὶ δὲ, τῶν ἀλιτηρίων ἐπιτρόπων ὠμῶς καὶ ἀγρίως τὰς ἐπαρχίας ἐκείνῳ διαφορούντων, ἄλλο μὲν εἶχεν οὐδὲν βοηθεῖν, αὐτὸ δὲ τὸ φανερῶς εἶναι συναλγῶν καὶ συναδικούμενος, ἀμωσγέπως ἀναπνοήν τινα καὶ παραμυθίαν τοῖς καταδικαζομένοις καὶ πωλουμένοις παρέσχε· καὶ ποιημάτων εἰς Νέρωνα γενομένων, καὶ πολλαχοῦ περιφερομένων καὶ ᾀδομένων, οὐκ ἐκώλυεν, οὐδὲ συνηγανάκτει τοῖς ἐπιτρόποις· ἐφ' οἷς ἔτι μᾶλλον ἠγαπᾶτο ὑπὸ τῶν ἀνθρώπων. Καὶ γὰρ ἦν ἤδη συνήθης, ἔτος ὄγδοον ἐκεῖνο τὴν ἀρχὴν ἔχων· ἐν ᾧ Ἰούνιος Οὐίνδιξ ἐπανέστη Νέρωνι, Γαλατίας ὢν στρατηγός. Λέγεται μὲν οὖν καὶ πρὸ τῆς ἐμφανοῦς ἀποστάσεως γράμ-

ματα πρὸς αὐτὸν ἀφικέσθαι παρὰ τοῦ Οὐίνδικος, ὡς μήτε πιστεῦσαι, μήτε μηνῦσαι καὶ κατειπεῖν, ὡς ἕτερα τῶν ἡγεμονικῶν ἐπιστολὰς αὐτοῖς γραφείσας ἔπεμψαν πρὸς Νέρωνα, καὶ διέφθειραν, ὅσον ἐπ' αὐτοῖς, τὴν πρᾶξιν, ἧς ὕστερον μετασχόντες ὡμολόγησαν, αὐτῶν οὐδὲν ἧττον, ἢ ἐκείνου, προδόται γεγονέναι. Ἀλλ' ἐπειδὴ λαμπρῶς τὸν πόλεμον ἐκφήνας ὁ Οὐίνδιξ ἔγραψε τῷ Γάλβᾳ παρακαλῶν ἀναδέξασθαι τὴν ἡγεμονίαν, καὶ παρασχεῖν ἑαυτὸν ἰσχυρῷ σώματι ζητοῦντι κεφαλὴν ταῖς Γαλατίαις, δέκα μυριάδας ἀνδρῶν ὡπλισμένων ἐχούσαις, ἄλλας τε πλείονας ὁπλίσαι δυναμένας, προὔθηκε βουλὴν τοῖς φίλοις. Ὧν οἱ μὲν ἠξίουν περιμένειν, κατασκοποῦντα, τίνα κίνησιν ἡ Ῥώμη καὶ φορὰν ἔξει πρὸς τὸν νεωτερισμόν· Τίτος δὲ Ὄβίνιος, ὁ τοῦ στρατιωτικοῦ τάγματος ἡγεμών, αὐτὸς εἶπεν· „Ὦ Γάλβα, τίνα τρόπον βουλεύεσθε; τὸ γὰρ ζητεῖν, Νέρωνι εἰ πιστοὶ μένομεν, ἤδη μανέντων ἐστίν. Ὧ οὖν ὑπάρχοντος ἐχθροῦ Νέρωνος, οὐ δὴ προετέον τὴν τοῦ Οὐίνδικος φιλίαν, ἢ καὶ κατηγορητέον εὐθὺς αὐτοῦ καὶ πολεμητέον, ὅτι σὲ βούλεται Ῥωμαίους ἔχειν ἄρχοντα μᾶλλον, ἢ Νέρωνα τύραννον."

V. Ἐκ τούτου προγράμματι μὲν ἐδήλωσεν ὁ Γάλβας ἡμέραν, ἐν ᾗ τὰς κατὰ μέρος ἐλευθερώσεις ἀποδώσει τοῖς δεομένοις· λαλιὰ δὲ καὶ φήμη προεκπεσοῦσα πλῆθος ἀνθρώπων ἤθροισε προθύμων ἐπὶ τὸν νεωτερισμόν. Οὐκ ἔφθη γοῦν φανερῶς ἐπὶ τοῦ βήματος γενόμενος, καὶ πάντες αὐτὸν ὁμοφώνως αὐτοκράτορα προσεῖπον. Ὁ δὲ ταύτην μὲν εὐθὺς οὐ προσεδέξατο τὴν προσηγορίαν· κατηγορήσας δὲ τοῦ Νέρωνος, καὶ τῶν ἀνηρημένων ἀνδρῶν ὑπ' αὐτοῦ τοὺς ἐπιφανεστάτους ὀλοφυράμενος, ὡμολόγησεν, ἐπιδώσειν τῇ πατρίδι τὴν ἑαυτοῦ πρόνοιαν, οὔτε Καῖσαρ, οὔτ' αὐτοκράτωρ, στρατηγὸς δὲ συγκλήτου καὶ δήμου Ῥωμαίων ὀνομαζόμενος. Ὅτι δ' ὀρθῶς ὁ Οὐίνδιξ καὶ λελογισμένως ἐξεκαλέσατο τὸν Γάλβαν ἐπὶ τὴν ἡγεμονίαν, ἐπιστώσατο μάρτυρι τῷ Νέρωνι. Προσποιούμενος γὰρ ἐκείνου καταφρονεῖν,

1055

καὶ παρ' οὐδὲν ἡγεῖσθαι τὰ Γαλατῶν, ἅμα τῷ πυθέσθαι τὰ περὶ Γάλβαν (ἔτυχε δὲ λελουμένος καὶ ἀριστῶν) ἀνέτρεψε τὴν τράπεζαν. Οὐ μὴν ἀλλὰ συγκλήτου ψηφισαμένης πολέμιον τὸν Γάλβαν, αὐτὸς τε παίζειν καὶ θρασύνεσθαι πρὸς τοὺς φίλους βουλόμενος, οὐ φαύλην ἔφη πρόφασιν ἐμπεπτωκέναι λογισμοῦ δεομένῳ χρημάτων αὐτῷ· καὶ τὰ μὲν Γαλατῶν, ὅταν ὑποχείριοι γένωνται, λαφυραγωγήσεσθαι καὶ λίαν· ἡ δὲ Γάλβα πάρεστιν οὐσία, χρῆσθαι καὶ πωλεῖν, ἤδη πολεμίου πεφηνότος. Οὑτός τε δὴ τὰ Γάλβα πιπράσκειν ἐκέλευε· καὶ Γάλβας ἀκούσας, ὅσα Νέρωνος ἦν ἐν Ἰβηρίᾳ κηρυττῶν, εὗρισκε πολλοὺς προθυμοτέρους ὄντας.

VI. Ἀφισταμένων δὲ πολλῶν τοῦ Νέρωνος, καὶ πάντων ἐπιεικῶς τῷ Γάλβᾳ προστιθεμένων, μόνος Κλώδιος Μάκρος ἐν Λιβύῃ, καὶ Οὐεργίνιος Ῥοῦφος ἐν Γαλατίᾳ τοῦ Γερμανικοῦ στρατεύματος ἡγούμενος, αὐτοὶ καθ' ἑαυτοὺς ἔπρακτον, οὐ τὴν αὐτὴν αἵρεσιν ἔχοντες. Ἀλλ' ὁ μὲν Κλώδιος, ἐν ἁρπαγαῖς πραγμάτων γεγονὼς καὶ φόνοις ἀνδρῶν δι' ὠμότητα καὶ πλεονεξίαν, δῆλος ἦν ἐν τῷ μήτε κατέχειν, μήτ' ἀφιέναι τὴν ἀρχὴν δύνασθαι περιφερόμενος· Οὐεργίνιος δὲ, ταγμάτων ἐπιστατῶν δυνατωτάτων, πολλάκις αὐτὸν ἀναγορευόντων αὐτοκράτορα καὶ βιαζομένων, οὔτ' αὐτὸς ἔφη λήψεσθαι τὴν ἡγεμονίαν, οὔτ' ἄλλῳ περιόψεσθαι διδομένην, ὃν ἂν μὴ ἡ σύγκλητος ἕληται. Ταῦτα τὸν Γάλβαν οὐ μετρίως ἐθορύβει τὸ πρῶτον· ἐπεὶ δὲ τὰ Οὐεργινίου καὶ Οὐίνδικος στρατεύματα τρόπον τινὰ βίᾳ τοὺς ἡγεμόνας, ὥσπερ τοὺς ἡνιόχους ἡρπηκότα χαλινῶν μὴ συνηθέντας, εἰς μάχην ἐξενεγκόντα μεγάλην συνέρραξαν, καὶ Οὐίνδικος ἑαυτὸν ἀνελόντος ἐπὶ θυσίαις Γαλατῶν πεσοῦσι, δῆλος ἦν λόγος, ὡς βουλομένων πάντων ἐπὶ νίκῃ τοσαύτῃ τὸν Οὐεργίνιον ἀναδέξασθαι τὴν ἡγεμονίαν, ἢ πάλιν μεταβαλλομένων πρὸς Νέρωνα, τότε δὴ πανταπασι περίφοβος γενόμενος ὁ Γάλβας ἔγραψε τῷ Οὐεργινίῳ, παρακαλῶν κοινοπραγεῖν καὶ διαφυλάσσειν ἅμα τὴν

ἡγεμονίαν καὶ τὴν ἐλευθερίαν Ῥωμαίοις· αὖθις δὲ μετὰ τῶν φίλων εἰς Κολουνίαν, Ἰβηρικὴν πόλιν, ἀναχωρήσας, ἐν τῷ μετανοεῖν περὶ τῶν γεγονότων, καὶ ποθεῖν τὴν συνήθη καὶ σύντροφον ἀπραγμοσύνην μᾶλλον, ἢ πράττειν τι τῶν ἀναγκαίων, διέτριβεν.

VII. Ἦν δὲ θέρος ἤδη, καὶ βραχὺ πρὸ δείλης ἦκεν ἀπὸ Ῥώμης Σικελὸς ἄνηρ ἀπελεύθερος, ἑβδομαῖος. Πυθόμενος δὲ, τὸν Γάλβαν ἀναπαύεσθαι καθ' ἑαυτὸν, ἐβάδιζε συντόνως ἐπὶ τὸ δωμάτιον αὐτοῦ, καὶ βίᾳ τῶν θαλαμηπόλων ἀνοίξας καὶ παρελθὼν, ἀπήγγειλεν, ὅτι, καὶ ζῶντος ἔτι τοῦ Νέρωνος, οὐκ ὄντος δὲ φανεροῦ, τὸ στράτευμα πρῶτον, εἶτα ὁ δῆμος καὶ ἡ σύγκλητος αὐτοκράτορα τὸν Γάλβαν ἀναγορεύσειεν, ὀλίγον δ' ὕστερον ἀπαγγελθείη τεθνηκὼς ἐκεῖνος· οὐ μὴν αὐτός γε πιστεύσας ἔφη τοῖς ἀπαγγέλλουσιν, ἀλλ' ἐπελθὼν τῷ νεκρῷ καὶ κείμενον θεασάμενος, οὕτως ἐξελθεῖν. Ταῦτ' ἀπαγγελλόμενα λαμπρὸν ἦρε τὸν Γάλβαν, καὶ συνέδραμε πλῆθος ἀνδρῶν ἐπὶ θύρας ἐκτε- 1056
θαρρηκότων ὑπ' αὐτοῦ βεβαίως. Καίτοι τὸ τάχος ἦν ἄπιστον. Ἀλλὰ καὶ φύσιν ἡμέρας Ὀβίννιος Τίτος πολλὰ τῶν ἀπὸ στρατοπέδου μεθ' ἑτέρων ἀφίκετο τὰ δόξαντα τῇ συγκλήτῳ καθ' ἕκαστον ἀπαγγέλλων. Οὗτος μὲν οὖν εἰς τάξιν ἔντιμον προήχθη· τῷ δ' ἀπελευθέρῳ δακτυλίους τε χρυσοῦς ἔδωκε, καὶ Μαρκιανὸς Οὐίκελλος ἤδη καλούμενος εἶχε τὴν πρώτην ἐν τοῖς ἀπελευθέροις δύναμιν.

VIII. Ἐν δὲ Ῥώμῃ Νυμφίδιος Σαβῖνος οὐκ ἠρέμα καὶ κατὰ μικρὸν, ἀλλὰ συλλήβδην ὁμοῦ, πάντα πράγματα φέρων περιήγαγεν εἰς ἑαυτὸν, ὡς Γάλβαν μὲν ὄντα πρεσβύτην, καὶ μόλις εἰς Ῥώμην ἐξαρκέσοντα φοράδην κομισθῆναι διὰ γῆρας· ἦν γὰρ ἐτῶν τριῶν καὶ ἑβδομήκοντα· τὰ δ' αὐτόθι στρατεύματα καὶ πάλαι πρὸς αὐτὸν εὐνόως ἔχοντα, καὶ νῦν ἑνὸς ἐξηρτημένα μόνου, διὰ τὸ τῆς δωρεᾶς μέγεθος εὐεργέτην ἐκεῖνον ἡγεῖσθαι, Γάλβαν δὲ χρεωφειλέτην. Εὐθὺς οὖν Πγελλίνῳ μὲν, τῷ συν-

ἄρχοντι, προσέταξεν ἀποθέσθαι τὸ ξίφος· ὑποδοχὰς δὲ ποιούμενος, ἐδείπνιζε τοὺς ὑπατικοὺς καὶ τοὺς ἡγεμονικούς, ἔτι τὸ Γάλβα προστιθεὶς ὄνομα ταῖς κλήσεσιν, ἔν τε τῷ στρατοπέδῳ πολλοὺς παρεσκεύασε λέγειν, ὡς πεμπτέον ἐστὶ πρὸς Γάλβαν, αἰτουμένους ἔπαρχον ἐσαεὶ Νυμφίδιον ἄνευ συνάρχοντος. Ἃ δ' ἡ σύγκλητος εἰς τιμὴν ἔπραττεν αὐτοῦ καὶ δύναμιν, ἀνακαλοῦσα εὐεργέτην, καὶ συντρέχουσα καθ' ἡμέραν ἐπὶ θύρας, καὶ παντὸς ἔξαρχειν δόγματος ἀξιοῦσα καὶ βεβαιοῦν, ἔτι παραιτέρω τόλμης ἀνῆγεν αὐτόν· ὥστε ὀλίγου χρόνου τοῖς θεραπεύουσι μὴ μόνον ἐπίφθονον, ἀλλὰ καὶ φοβερὸν εἶναι. Τῶν δ' ὑπάτων οἰκέτας δημοσίους προχειρισαμένων τὰ δόγματα κομίζοντας τῷ αὐτοκράτορι, καὶ τὰ καλούμενα διπλώματα σεσημασμένα δόντων, ἃ γνωρίζοντες οἱ κατὰ πόλιν ἄρχοντες ἐν ταῖς τῶν ὀχημάτων ἀμοιβαῖς ἐπιταχύνουσι τὰς προπομπὰς τῶν γραμματηφόρων, οὐ μετρίως ἠγανάκτησεν, ὅτι μὴ παρ' αὐτοῦ καὶ σφραγῖδα καὶ στρατιώτας λαβόντες ἀνέπεμψαν. Ἀλλὰ λέγεται καὶ βουλεύσασθαι περὶ τῶν ὑπάτων, εἶτα τὴν ὀργὴν ἀπολογησαμένοις καὶ δεηθεῖσιν ἀνῆκε. Τῷ δὲ δήμῳ χαριζόμενος, οὐκ ἐκώλυε τὸν παραπίπτοντα τῶν Νέρωνος ἀποτυμπανίζειν. Σπίκλον μὲν οὖν, τὸν μονομάχον, ἀνδριὰς Νέρωνος ἑλκομένους ὑποβαλόντες ἐν ἀγορᾷ διέφθειραν· Ἀπόνιον δέ τινα τῶν κατηγορμῶν ἀνατρέψαντες, ἁμάξας λιθοφόρους ἐπήγαγον, ἄλλους δὲ διέσπασαν πολλούς, ἐνίους μηδὲν ἀδικοῦντας· ὥστε καὶ Μαυρίσκον, ἄνδρα τῶν ἀρίστων καὶ ὄντα καὶ δοκοῦντα, πρὸς τὴν σύγκλητον εἰπεῖν, ὅτι φοβεῖται, μὴ ταχὺ Νέρωνα ζητήσωσιν.

IX. Οὕτω δὲ προσάγων ὁ Νυμφίδιος ἐγγυτέρω ταῖς ἐλπίσιν, οὐκ ἔφευγε Γαΐου Καίσαρος υἱὸς λέγεσθαι τοῦ μετὰ Τιβέριον ἄρξαντος. Ἐγνώκει γὰρ ὁ Γαΐος, ὡς ἔοικε, τὴν τεκοῦσαν αὐτὸν, ἔτι μειράκιον ὤν, οὐκ ἀειδῆ τὴν ὄψιν οὖσαν, ἐκ δ' ἀκεστρίας ἐπὶ μισθῷ Καλλίστῳ, Καίσαρος ἀπελευθέρῳ

γεγενημένην. Ἀλλ' ἦν ἡ πρὸς Γάϊον ἔντευξις αὐτῆς, ὡς ἔοικε, νεωτέρα τῆς Νυμφιδίου γενέσεως. Αἰτίαν δ' ἔσχεν, ἐκ Μαρτιανοῦ, τοῦ μονομάχου, γεγονέναι, τῆς Νυμφιδίας ἐρασθείσης διὰ δόξαν αὐτοῦ, καὶ μᾶλλον ἐδόκει καθ' ὁμοιότητα τῆς ἰδέας ἐκείνῳ προσήκειν. Ἀλλ' ὁμολογῶν γε Νυμφιδίας εἶναι μητρὸς, ἔργον μὲν αὐτοῦ μόνου τὴν Νέρωνος ἐποιεῖτο κατάλυσιν, ἆθλα δ' αὐτῆς οὐ νομίζων ἱκανὰ καρποῦσθαι τὰς τιμὰς καὶ τὰ χρήματα, καὶ τὸ Σπόρῳ τῷ Νέρωνος συγκαθεύδειν, ὃν εὐθὺς ἀπὸ τῆς πυρᾶς ἔτι καιομένου τοῦ νεκροῦ μεταπεμψάμενος ἐκεῖνος ἐν γαμετῆς εἶχε τάξει, καὶ Ποππαίαν 1057 προσηγόρευεν, ἐπὶ τὴν διαδοχὴν παρεδύετο τῆς ἡγεμονίας. Καὶ τὰ μὲν αὐτὸς ἐν Ῥώμῃ διὰ τῶν φίλων ὑπειργάζετο, καὶ γυναικῶν τινων αὐτῷ καὶ συγκλητικῶν ἀνδρῶν κρύφα συλλαμβανομένων· ἕνα δὲ τῶν φίλων, Γελλιανὸν, εἰς Ἰβηρίαν ἔπεμψεν — — καὶ παρείκει κατασκεψόμενον.

X. Τῷ δὲ Γάλβᾳ μετὰ τὴν Νέρωνος τελευτὴν ἐχώρει πάντα. Οὐεργίνιος δὲ Ῥοῦφος, ἀμφίβολος ὢν ἔτι, φροντίδα παρεῖχε, μὴ τῷ δυνάμεως πολλῆς καὶ μαχιμωτάτης ἄρχειν προσειληφὼς τὸ νενικηκέναι Οὐίνδικα, καὶ κεχειρῶσθαι μέγα μέρος τῆς Ῥωμαίων ἡγεμονίας, ἐν σάλῳ γενομένην ἀποστατικῶς Γαλατίαν ἅπασαν, ὑπακούσαι τοῖς παρακαλοῦσιν αὐτὸν ἐπὶ τὴν ἀρχήν. Οὐδενὸς γὰρ ἦν ὄνομα μεῖζον, οὐδ' εἶχε δόξαν οὐδεὶς, ὅσον ὁ Οὐεργίνιος, ὡς μεγίστῃ ῥοπῇ τοῖς Ῥωμαίων πράγμασι τυραννίδος ὁμοῦ χαλεπῆς καὶ Γαλατικῶν πολέμων ἀπαλλαγὴ γενόμενος. Ἀλλ' ἐκεῖνος τότε τοῖς ἐξ ἀρχῆς ἐμμένων λογισμοῖς, ἐφύλαττε τῇ συγκλήτῳ τὴν αἵρεσιν τοῦ αὐτοκράτορος. Καίτοι φανερᾶς γε τῆς Νέρωνος τελευτῆς γενομένης, τό τε πλῆθος ἐτέκειτο τῷ Οὐεργινίῳ πάλιν, καὶ τῶν χιλιάρχων τις τῶν ἐν τῇ σκηνῇ, σπασάμενος τὸ ξίφος, ἐκέλευε τὸν Οὐεργίνιον δέχεσθαι τὴν ἡγεμονίαν, ἢ τὸν σίδηρον. Ἐπεὶ δὲ Φάβιος Οὐάλης, ἄρχων ἑνὸς τάγματος, ὥρκωσε πρῶτος εἰς Γάλβαν, καὶ γράμματα ἧκεν

ἀπὸ Ῥώμης περὶ ὧν ἡ σύγκλητος ἐψηφίσατο, χαλεπῶς μὲν καὶ μόλις, ἔπεισε δ' οὖν τοὺς στρατιώτας αὐτοκράτορα τὸν Γάλβαν εἰπεῖν· καὶ πέμψαντος αὐτοῦ διάδοχον Φλάκκον Ὀρδεάνιον ἐδέξατο. Καὶ παραδοὺς ἐκείνῳ τὴν δύναμιν, αὐτὸς ἀπήντησε τῷ Γάλβᾳ πρόσω χωροῦντι, καὶ συνανέστρεφεν, οὔτ' ὀργῆς, οὔτε τιμῆς ἐπιδήλου τυγχάνων. Λίτιος δὲ τοῦ μὲν αὐτὸς ὁ Γάλβας, αἰδούμενος τὸν ἄνδρα, τοῦ δ' οἱ φίλοι· καὶ μάλιστα Ὀβίννιος Ἵτιος, ὑπὸ φθόνου τοῦ Οὐεργινίου οἰόμενος μὲν κολούειν, ἠγνόει δ' ἄρα τῷ Οὐεργινίου χρηστῷ δαίμονι συνεργῶν, ἤδη τὸν ἄνδρα πολέμων καὶ πακῶν, ὅσα τοὺς ἄλλους ἡγεμόνας κατέσχεν, ἐκτὸς εἰς βίον ἀκίνδυνα καὶ γῆρας εἰρήνης καὶ ἡσυχίας μεστὸν ὑπεκτεθεμένῳ.

XI. Γάλβαν δὲ περὶ Νάρβωνα, πόλιν Γαλατικὴν, οἱ παρὰ τῆς συγκλήτου πρέσβεις ἐντυγχάνοντες ἠσπάζοντο, καὶ παρεκάλουν ἐπιφανῆναι τῷ δήμῳ ποθοῦντι ταχέως. Ὁ δὲ τάς τ' ἄλλας παρεῖχεν ἐντεύξεις καὶ συνουσίας αὐτοῖς φιλανθρώπους καὶ δημοτικὰς, πρός τε τὰς ἐστιάσεις πολλῆς κατασκευῆς καὶ θεραπείας ἡλίκης παρούσης, ἣν ἐκ τῶν Νέρωνος ὁ Νυμφίδιος αὐτῷ προσέπεμψεν, οὐδενὶ χρώμενος ἐκείνων, ἀλλὰ τοῖς ἑαυτοῦ πᾶσιν, εὐδοκίμει, μεγαλόφρων ἀνὴρ καὶ πρᾴκτων ἀπειροπαλίας φαινόμενος. Ταχὺ μέντοι τὰ γενναῖα ταῦτα καὶ ἄτυφα καὶ πολιτικὰ δημαγωγίαν Ὀβίννιος ἀποφαίνων, καὶ παμπόνητα μεγάλων ἀπαξιοῦσαν αὐτὴν, ἔπεισε χρήμασί τε χρῆσθαι τοῖς Νέρωνος, καὶ περὶ τὰς ὑποδοχὰς μὴ φείδεσθαι τῆς βασιλικῆς πολυτελείας. Καὶ ὅλως αἴσθησιν αὐτοῦ κατὰ μικρὸν ὑπὸ τῷ Ὀβιννίῳ γενησομένου παρεῖχεν ὁ πρεσβύτης.

XII. Ἦν δ' Ὀβίννιος ἀρχυρίου μὲν ἐσχάτως καὶ παρ' ὀντινοῦν ἥττων, ἔνοχος δὲ καὶ τοῖς περὶ γυναῖκας ἁμαρτήμασιν. Ἔτι γὰρ ὢν νέος, καὶ στρατευόμενος ὑπὸ Καλβισίῳ Σαβίνῳ τὴν πρώτην στρατείαν, ἀκόλαστον οὖσαν τὴν γυναῖκα τοῦ ἡγεμόνος παρεισήγαγε νύκτωρ εἰς τὸ στρατόπεδον ἐν ἀσθῆτι στρατιωτικῇ, καὶ διέφθειρεν ἐν τοῖς ἀρχείοις,

ἃ Πρίγκιπια παλοῦσι Ῥωμαῖοι. Ἐπὶ τούτῳ δὲ Γάϊος Καῖσαρ ἔθησεν αὐτόν· ἐκείνου δ' ἀποθανόντος, εὐτυχίᾳ χρησάμενος ἀπελύθη. Δειπνῶν δὲ παρὰ 1058
Κλαυδίῳ Καίσαρι ποτήριον ἀργυροῦν ὑφείλετο. Πυθόμενος δ' ὁ Καῖσαρ, τῇ ὑστεραίᾳ πάλιν αὐτὸν ἐπὶ δεῖπνον ἐκάλεσεν· ἐλθόντι δ' ἐκέλευσεν ἐκείνῳ μηδὲν ἀργυροῦν, ἀλλὰ κεράμεια πάντα προσφέρειν καὶ παρατιθέναι τοὺς ὑπηρέτας. Τοῦτο μὲν οὖν διὰ τὴν Καίσαρος μετριότητα κωμικωτέραν γενομένην γέλωτος, οὐκ ὀργῆς, ἄξιον ἔδοξεν· ἃ δὲ τὸν Γάλβαν ἔχων ὑπ' αὐτῷ καὶ δυνάμενος μέγιστον ἐπὶ χρήμασιν ἔπραττε, τραγικῶν παθῶν καὶ συμφορῶν μεγάλων, τοῖς μὲν αἰτίαν, τοῖς δὲ πρόφασιν παρέσχεν.

XIII. Ὁ γὰρ Νυμφίδιος, εὐθὺς ἐπανελθόντος τοῦ Γελλιανοῦ πρὸς αὐτὸν, ὃν ἔπεμψε τοῦ Γάλβα τρόπον τινὰ κατάσκοπον, ἀκούσας, τῆς μὲν αὐλῆς καὶ τῶν δορυφόρων ἔπαρχον ἀποδεδεῖχθαι Κορνήλιον Λάκωνα, τὸ δὲ σύμπαν εἶναι τοῦ Ὀβιννίου κράτος, αὐτῷ δὲ μηδέποτε τοῦ Γάλβα στῆναι πλησίον ἐγγεγονέναι, μηδ' ἐντυχεῖν ἰδίᾳ, πάντων αὐτὸν ὑφορωμένων καὶ διαφυλαττόντων, ἐθορυβήθη· καὶ συναγαγὼν τοὺς ἡγεμόνας τοῦ στρατεύματος, ἔφη, Γάλβαν μὲν αὐτὸν εἶναι πρεσβύτην ἐπιεικῆ καὶ μέτριον, ἐλάχιστα δὲ τοῖς αὐτοῦ χρώμενον λογισμοῖς, ὑπὸ δ' Ὀβιννίου καὶ Λάκωνος οὐκ εὖ διοικεῖσθαι. Πρὶν οὖν λαθεῖν αὐτοὺς ἦν ἔσχε Τιγελλῖνος ἰσχὺν ἐν τοῖς πράγμασι κτησαμένους, πομπτέον εἶναι πρὸς τὸν ἡγεμόνα πρέσβεις ἀπὸ στρατοπέδου, τοὺς διδάξοντας, ὅτι τῶν φίλων δύο μόνους τούτους ἀποσκευασάμενος, ἡδίων παρέσται πᾶσι καὶ ποθεινότερος. Ἐπεὶ δὲ ταῦτα λέγων οὐκ ἔπειθεν, ἀλλ' ἄτοπον ἐδόκει καὶ ἀλλόκοτον, ἡγεμόνα πρεσβύτην, ὥσπερ ἄρτι γενόμενον ἐξουσίας μειράκιον, οἷς χρήσεται φίλοις, ἢ μὴ, ῥυθμίζειν, ἑτέραν ὁδὸν τραπόμενος, ἔγραφε τῷ Γάλβᾳ δεδεκτόμενος, νῦν μὲν, ὡς ὕπουλα καὶ μετέωρα πολλὰ τῆς πόλεως ἐχούσης, νῦν δὲ, Κλώδιον Μάκρον ἐν Λιβύῃ τὰ σιτηγὰ κατάσχειν, αὖθις

δὲ, παρακινεῖν τὰ Γερμανικὰ τάγματα, καὶ περὶ τῶν ἐν Συρίᾳ καὶ Ἰουδαίᾳ δυνάμεων ὁμοια πυνθάνεσθαι. Τοῦ δὲ Γάλβα μὴ πάνυ τὸν νοῦν προσέχοντος αὐτῷ, μηδὲ πιστεύοντος, ἔγνω προεπιχειρεῖν· καίτοι Κλώδιος Κέλσος Ἀντιοχεὺς, ἀνὴρ ἔμφρων, εὔνους δ' ἐκείνῳ καὶ πιστὸς, ἀπηγόρευε, λέγων, οὐκ ἂν οἴεσθαι μίαν ἐν Ῥώμῃ συνοικίαν Καίσαρα προσεπεῖν Νυμφίδιον. Ἀλλὰ πολλοὶ κατεγέλων, καὶ Μιθριδάτης, ὁ Ποντικὸς, ἐπισκώπτων τὴν φαλακρότητα καὶ ὑσσότητα τοῦ Γάλβα, νῦν ἔφη τινὰ δοκεῖν εἶναι Ῥωμαίοις, ὀφθέντα δὲ φανεῖσθαι τῶν ἡμερῶν τούτων, ἃς καλεῖται Καῖσαρ, ὄνειδος.

XIV. Ἔδοξεν οὖν περὶ μέσας νύκτας εἰς τὴν παρεμβολὴν παραγαγόντας ἀναδεικνύειν αὐτοκράτορα τὸν Νυμφίδιον. Πρῶτος δὲ τῶν χιλιάρχων, Ἀντώνιος Ὀνωράτος, ἐσπέρας γενομένης, τοὺς ὑφ' ἑαυτῷ στρατιώτας συναγαγὼν, ἐκάκιζε μὲν αὐτὸν, ἐκάκιζε δ' ἐκείνους ἐν ὀλίγῳ χρόνῳ τροπὰς τοσαύτας τρεπομένους, κατ' οὐδένα λογισμὸν, οὐδ' αἵρεσιν ἀμεινόνων, ἀλλὰ δαίμονός τινος αὐτοὺς ἐκ προδοσίας εἰς προδοσίαν ἐλαύνοντος. „Καὶ τὰ μὲν πρῶτα προφάσεις ἔχει τὰ Νέρωνος ἐγκλήματα· νῦν δὲ Γάλβαν προδιδόναι, τίνα φόνον μητρὸς ἐγκαλοῦντας; ἢ σφαγὴν γυναικός; ἢ ποίαν αἰδουμένους θυμέλην, ἢ τραγῳδίαν τοῦ αὐτοκράτορος; Ἀλλ' οὐδ' ἐκεῖνον ἐπὶ τούτοις ὑπεμείναμεν ἐγκαταλιπεῖν, ἀλλὰ Νυμφιδίῳ πεισθέντες, ὅτε πρῶτος ἡμᾶς ἐγκατέλιπε, καὶ πέφευγεν εἰς Αἴγυπτον. Πότερον οὖν Νέρωνι Γάλβαν ἐπιθυσώμεθα, καὶ τὸν ἐκ Νυμφιδίας ἑλόμενοι Καίσαρα, τὸν ἐκ Λιβίας ἀνείλωμεν, ὡς τὸν ἐξ Ἀγριππίνης ἀνείλομεν; ἢ τούτῳ δίκην ἐπιθέντες ὧν δέδρακε, τιμωροὶ μὲν Νέρωνος, Γάλ-
1069 βα δὲ φύλακες ἀγαθοὶ καὶ πιστοὶ φανῶμεν;" Ταῦτα λέγοντι τῷ χιλιάρχῳ προσέθεντο πάντες οἱ στρατιῶται, καὶ τοὺς ἄλλους προσιόντες ἐμμένειν παρεκάλουν τῇ πρὸς τὸν αὐτοκράτορα πίστει· καὶ τοὺς πλείους μετέστησαν. Ἀρθείσης δὲ βοῆς, εἴτε πεισθεὶς ὁ Νυμφίδιος, ὡς φασιν ἔνιοι, καλεῖν αὐτὸν

ἤδη τοὺς στρατιώτας, εἴτε προλαβεῖν σπεύδων τὸ θορυβοῦν ἔτι καὶ διστάζον, ὑπὸ φωτὶ πολλῷ πρᾳεῖ λόγον τινὰ νομίζων ἐν βιβλίῳ γεγραμμένον ὑπὸ Κιγγωνίου Βάρρωνος, ὃν ἐκμεμελετήκει πρὸς τοὺς στρατιώτας εἰπεῖν. Ἰδὼν δὲ κεκλεισμένας τοῦ στρατοπέδου τὰς πύλας, καὶ περὶ τὰ τείχη πολλοὺς ὡπλισμένους, ἔδεισε· καὶ προσιὼν ἠρώτα, τί βούλονται, καὶ τίνος κελεύσαντος ἐν ὅπλοις γεγόνασιν. Ἀπαντώσης δ' αὐτῷ παρὰ πάντων μιᾶς φωνῆς, Γάλβαν αὐτοκράτορα γινώσκειν, κἀκεῖνος ὁμόσε χωρῶν ἐπευφήμει, καὶ τοὺς ἑπομένους ἐκέλευσε. Τῶν δὲ παρὰ τὰς πύλας παρέντων αὐτὸν εἰσελθεῖν μετ' ὀλίγων, αὐτὸς ἀκοντίζεται λόγχῃ· καὶ αὐτὴν μὲν ἔδεξατο πρὸ αὐτοῦ θυρεῷ Σεπτίμιος· ἄλλων δὲ γυμνοῖς ξίφεσιν ἐπιφερομένων, φυγὼν καὶ διωχθεὶς, ἐν οἰκήματι στρατιώτου σφάττεται. Καὶ τὸν νεκρὸν εἰς μέσον ἐλκύσαντες, καὶ περιβαλόντες κυνηγίδα, θέαμα τοῖς βουλομένοις μετ' ἡμέραν παρέσχον.

XV. Οὕτω δὲ τοῦ Νυμφιδίου καταστρέψαντος, ὁ Γάλβας πυθόμενος, καὶ τῶν συνωμοτῶν αὐτοῦ κελεύσας ἀποθανεῖν, ὅσοι μὴ δι' αὐτῶν εὐθὺς ἀπέθανον, ἐν οἷς ἦν καὶ Κιγγώνιος, ὁ τὸν λόγον γράψας, καὶ Μιθριδάτης, ὁ Ποντικὸς, ἔδοξε μὴ νομίμως, εἰ καὶ δικαίως, μηδὲ δημοτικῶς, ἀνῃρηκέναι πρὸ κρίσεως ἄνδρας οὐκ ἀσήμους. Ἕτερον γὰρ ἡγεμονίας σχῆμα προσεδέχοντο πάντες, ἐξαπατώμενοι συνήθως ὑπὸ τῶν ἐν ἀρχῇ λεγομένων. Ἔτι δὲ μᾶλλον ᾠήσαν αὐτοὺς ἀνὴρ ὑπατικὸς καὶ Νέρωνι πιστὸς ἀποθανεῖν κελευσθεὶς, Πετρώνιος Τερτουλιανός. Μάκρωνα γὰρ ἐν Λιβύῃ διὰ Τρεβωνιανοῦ, καὶ Φροντῆνον ἐν Γερμανίᾳ διὰ Οὐάλεντος ἀνελὼν, πρόφασιν εἶχεν ἐν ὅπλοις καὶ στρατοπέδοις ὄντας φοβηθῆναι. Τερτουλιανὸν δὲ, γέροντα γυμνὸν καὶ ἄνοπλον, λόγου μεταλαβεῖν οὐδὲν ἐκώλυεν, εἴ τις ἦν ἐπαγγέλλεται μετριότητα τοῖς πράγμασιν ἔργῳ φυλάξειν ἔμελλε. Ταῦτα μὲν οὖν τοιαύτας ἔσχε μέμψεις. Ἐπεὶ δὲ προσιὼν ἀπεῖχε τῆς πό-

λεως περὶ πέντε καὶ εἴκοσι σταδίους, ἐνεύγχανεν ἀκοσμίᾳ καὶ θορύβῳ τῶν ἐρετῶν τὴν ὁδὸν προκατεχόντων καὶ περικεχυμένων πανταχόθεν. Οὗτοι δ' ἦσαν, οὓς εἰς ἓν τάγμα ὁ Νέρων συλλοχίσας, ἀπέφηνε στρατιώτας· καὶ τότε παρόντος ἐκβεβαιώσασθαι τὴν στρατιὰν, οὔτ' ὀφθῆναι τοῖς ἀπαντῶσιν, οὔτ' ἀκουσθῆναι, παρίεσαν τὸν αὐτοκράτορα, ἀλλ' ἐθορύβουν βοῇ, σημεῖα τῷ τάγματι καὶ χώραν αἰτοῦντες. Ἐκείνου δ' ὑπερτιθεμένου, καὶ πάλιν εἰπεῖν κελεύσαντος, ἀρνήσεως σχῆμα τὴν ἀναβολὴν εἶναι φάσκοντες, ἠγανάκτουν καὶ παρείποντο, μὴ φειδόμενοι βοῆς. Ἐνίων δὲ καὶ τὰς μαχαίρας σπασαμένων, ἐκέλευσε τοὺς ἱππεῖς ἐμβαλεῖν αὐτοῖς ὁ Γάλβας. Ὑπέστη δ' οὐδεὶς ἐκείνων, ἀλλ' οἱ μὲν εὐθὺς ἀνατραπέντες, οἱ δὲ φεύγοντες διεφθάρησαν, οὐ χρηστὸν, οὐδ' αἴσιον ποιοῦντες τῷ Γάλβᾳ τὸν οἰωνὸν, εἰσιόντι διὰ πολλοῦ φόνου καὶ νεκρῶν τοσούτων εἰς τὴν πόλιν. Ἀλλ' εἰ καί τις αὐτοῦ κατεφρόνει πρότερον, ἀσθενοῦς καὶ γέροντος ὁρωμένου, τότε πᾶσι φρικώδης καὶ φοβερὸς ἐγένετο.

XVI. Βουλόμενος δὲ τῆς περὶ τὰς δωρεὰς ἀμετρίας καὶ πολυτελείας τοῦ Νέρωνος ἀποδεικνύναι μεγάλην μεταβολὴν, ἀστοχεῖν ἐδόκει τοῦ πρέποντος. Κάνου γὰρ αὐλήσαντος αὐτῷ παρὰ δεῖπνον, (ἀκρόαμα δ' ἦν ὁ Κάνος εὐδοκιμούμενος,) ἐπαινέσας καὶ ἀποδεξάμενος, ἐκέλευσεν αὐτῷ κομισθῆναι τὸ γλωσσόκομον, καὶ λαβὼν χρυσοῦς τινας, ἐπέδωκε τῷ Κάνῳ, φήσας, ἐκ τῶν ἰδίων, οὐκ ἐκ τῶν δημοσίων, χαρίζεσθαι. Τὰς δὲ δωρεὰς, ἃς Νέρων ἔδωκε τοῖς περὶ σκηνὴν καὶ παλαίστρας, ἀπαιτεῖσθαι συντόνως κελεύσας, πλὴν τοῦ δεκάτου μέρους· εἶτα μικρὰ καὶ γλίσχρα νομιζόμενος (ἀνηλώκεσαν γὰρ οἱ πλεῖστοι τῶν λαβόντων, ἐφήμεροι καὶ σατυρικοὶ τοῖς βίοις ἄνθρωποι) τοὺς πριαμένους παρ' αὐτῶν ἢ λαβόντας ὅτιοῦν ἀνεζήτει, καὶ παρ' ἐκείνων ἐξέπραττε. Τοῦ δὲ πράγματος ὅρον οὐκ ἔχοντος, ἀλλὰ πόρρω νεμομένου καὶ προϊόντος ἐπὶ πολλοὺς, αὐτὸς μὲν ἠδέσθη, φθόνον δὲ καὶ μῖσος

μῖχεν Ὀβίννιος, ὡς τοῖς μὲν ἄλλοις ἅπασιν ἀνελεύθερον παρέχων τὸν ἡγεμόνα καὶ μικρολόγον, αὐτὸς δὲ χρώμενος ἀσώτως, καὶ λαμβάνων πάντα καὶ πιπράσκων. Ὁ μὲν γὰρ Ἡλιόδης

Ἀρχομένου τε πίθου καὶ λήγοντος κορέσασθαι

φησὶ δεῖν· ὁ δ' Ὀβίννιος, ὁρῶν ἀσθενῆ καὶ γέροντα τὸν Γάλβαν, ἐναπέπλατο τῇ τύχῃ, ὡς ἅμα μὲν ἀρχομένῃ, ἅμα δὲ φθινούσῃ.

XVII. Ὁ δὲ πρεσβύτης ἠδικεῖτο, τὰ μὲν πρῶτα τοῦ Ὀβιννίου κακῶς διοικοῦντος, ἃ δ' αὐτὸς ὀρθῶς προηρεῖτο διαβάλλοντος, ἢ κωλύοντος· οἷον ἦν τὸ περὶ τὰς κολάσεις τῶν Νερωνιανῶν. Ἀπέκτεινε γὰρ τοὺς πονηροὺς, ἐν οἷς ἦν ὁ Ἡλιόδης, καὶ Πολύκλειτος, καὶ Πετῖνος, καὶ Πατρόβιος. Ὁ δὲ δῆμος ἐκρότει, καὶ δι' ἀγορᾶς αὐτῶν ἀγομένων, ἐβόα, καλὴν μὲν εἶναι καὶ θεοφιλῆ πομπήν· ἀπαιτεῖν δὲ καὶ θεοὺς καὶ ἀνθρώπους τὸν δεδάσκαλον καὶ παιδαγωγὸν τῆς τυραννίδος, Τιγελλῖνον. Ἐφθάκει δ' ὁ γενναῖος προειληφὼς ἀρράβωσι μεγάλοις τὸν Ὀβίννιον. Εἶτα Τερτυλλιανὸς μὲν, ὅτι μὴ προεῖδον, μηδ' ἐμίσει τὸν ἡγεμόνα, τοιοῦτον ὄντα, μισούμενος, ἄλλο δὲ μηδὲν ἐν μέγα συναδικήσας, ἀπέθανεν· ὁ δὲ καὶ ποιήσας ἄξιον θανάτου Νέρωνα, καὶ γενόμενον τοιοῦτον ἐγκαταλιπὼν καὶ προδούς, περιῆν μέγα δίδαγμα τοῦ μηδὲν ἄπρακτον εἶναι παρ' Ὀβιννίῳ, μηδ' ἀνέλπιστον τοῖς διδοῦσιν. Οὐδενὸς γὰρ οὕτω θεάματος ἐρασθεὶς ὁ Ῥωμαίων δῆμος, ὡς τοῦ Τιγελλῖνον ἰδεῖν ἀπαγόμενον, οὐδὲ παυσάμενος ἐν πᾶσι θεάτροις καὶ σταδίοις αἰτούμενος ἐκεῖνον, ἐπεπλήχθη διαγράμματι τοῦ αὐτοκράτορος, Τιγελλῖνον μὲν οὐ πολὺν ἔτι βιώσεσθαι φάσκοντος χρόνον, ὑπὸ φθινάδος νόσου δαπανώμενον, ἐκείνους δὲ παραιτουμένου μὴ διαγρυπνεῖν, μηδὲ τυραννικὴν ποιεῖν τὴν ἡγεμονίαν. Ἀχθομένου δὲ τοῦ δήμου καταγελῶντες, ὁ μὲν Τιγελλῖνος ἔθυσε σωτήρια, καὶ παρεσκεύασε λαμπρὰν ἑστίασιν· ὁ δ' Ὀβίννιος ἀναστὰς παρὰ τοῦ αὐτοκράτορος μετὰ δεῖπνον, ἐκώμαζεν ὡς ἐκεῖνον, ὅπου

τὴν θυγατέρα χήραν οὖσαν. Καὶ προὔπιεν ὁ Τιγελλῖνος αὐτῇ πέντε καὶ εἴκοσι μυριάδας ἀργυρίου· καὶ τῶν παλλακίδων τὴν ἀγελαρχοῦσαν ἐκέλευσε τὸν περιδέρραιον κόσμον ἀφελομένην ἐκείνῃ περιάψαι, πεντεκαίδεκα μυριάδων εἶναι λεγόμενον.

XVIII. Ἐκ δὲ τούτου καὶ τὰ μετρίως πραττόμενα διαβολὴν εἶχεν, ὡς τὰ πρὸς τοὺς Γαλάτας Οὐΐνδικι συναραμένους. Ἐδόκουν γὰρ οὐ φιλανθρωπίᾳ τοῦ αὐτοκράτορος, ἀλλ' ὠνούμενοι παρ' Ὀβιννίου, τυγχάνειν ἀνέσεώς τε δασμῶν καὶ πολιτείας. Οἱ μὲν οὖν πολλοὶ διὰ ταῦτα πρὸς τὴν ἡγεμονίαν ἀπηχθάνοντο· τοὺς δὲ στρατιώτας, τὴν δωρεὰν μὴ κομιζομένους, ἐν ἀρχῇ μὲν ἐλπὶς παρῆγεν, ὡς, εἰ καὶ μὴ τοσοῦτον, ἀλλ' ὅσον Νέρων ἔδωκεν, ἀποδώσοντος. Ἐπεὶ δὲ, μεμφομένους ἀκούσας, ἀφῆκε φωνὴν ἡγεμόνι μεγάλῳ πρέπουσαν,
106 εἰπὼν, εἰωθέναι καταλέγειν στρατιώτας, οὐκ ἀγοράζειν, πυθομένοις τοῦτο δεινὸν εἰσῆλθε μῖσος καὶ ἄγριον πρὸς αὐτόν. Ἐδόκει γὰρ οὐκ αὐτὸς ἀποστερεῖν μόνος, ἀλλὰ νομοθετεῖν καὶ διδάσκειν τοὺς μεθ' αὑτὸν αὐτοκράτορας. Ἀλλὰ τὸ μὲν ἐν Ῥώμῃ τυφλὸν ἦν ἔτι κίνημα, καί τις αἰδὼς ἅμα πρὸς παρόντα τὸν Γάλβαν ἀμβλύτητα καὶ μέλλησιν ἐνεποίει τῶν νεωτερισμῶν, καὶ τὸ μηδεμίαν ἀρχὴν ἐμφανῆ μεταβολῆς ὁρᾶσθαι, συνέστελλε καὶ συνέκρυπτεν ἀμωσγέπως τὴν δυσμένειαν αὐτῶν. Οἱ δὲ πρότερον ὑπὸ Οὐεργινίῳ γενόμενοι, τότε δ' ὄντες ὑπὸ Φλάκκῳ περὶ Γερμανίαν, μεγάλων μὲν ἀξιοῦντες αὑτοὺς διὰ τὴν μάχην, ἣν ἐμαχέσαντο πρὸς Οὐΐνδικα, μηδενὸς δὲ τυγχάνοντες, ἀπαρηγόρητοι τοῖς ἄρχουσιν ἦσαν. Αὐτὸν δὲ τὸν Φλάκκον, ὑπὸ συντόνου ποδάγρας ἀδύνατον ὄντα τῷ σώματι, καὶ πραγμάτων ἄπειρον, ἐν οὐδενὶ λόγῳ τοπαράπαν ἐποιοῦντο. Καί ποτε θέας οὔσης, καὶ τῶν χιλιάρχων καὶ λοχαγῶν τὸ Ῥωμαίοις σύνηθες εὐτυχίαν ἐπευχομένων τῷ αὐτοκράτορι Γάλβᾳ, διεθορύβησαν οἱ πολλοὶ τὸ πρῶτον, εἶτα ταῖς εὐχαῖς ἐπιμενόντων ἐκείνων, ἀντεφώνουν· „Εἰ ἄξιος."

XIX. Τοιαῦτα δ' ἕτερα καὶ τῶν ὑπὸ Τιγελλίνῳ ταγμάτων ὑβριζόντων πολλάκις, ἐπέμπετο γράμματα τῷ Γάλβᾳ παρὰ τῶν ἐπιτρόπων· ὁ δὲ φοβηθεὶς, ὡς μὴ μόνον διὰ τὸ γῆρας, ἀλλὰ καὶ διὰ τὴν ἀπαιδίαν, καταφρονούμενος, ἐβουλεύετο παῖδα θέσθαι τῶν ἐπιφανῶν τινα νεανίσκον, καὶ διάδοχον ἀποδεῖξαι τῆς ἀρχῆς. Ἦν δὲ Μάρκος Ὄθων, ἀνὴρ γένει μὲν οὐκ ἀφανὴς, τρυφῇ δὲ καὶ φιληδονίαις εὐθὺς ἐκ παίδων ἐν ὀλίγοις Ῥωμαίων διεφθαρμένος. Ὡς δὲ τὸν Ἀλέξανδρον Ὅμηρος, Ἑλένης πόσιν ἠϋκόμοιο, μηδὲν ἔχοντα πρὸς δόξαν ἄλλο, σεμνύνων, ἀπὸ τῆς γυναικὸς ὀνομάζει πολλάκις, οὕτως γεγονὼς περιβόητος ἐν Ῥώμῃ διὰ τὸν Ποππαίας γάμον, ἧς ἦρα μὲν ὁ Νέρων Κρισπίνῳ συνούσης, ἔτι δ' αἰδούμενος τὴν ἑαυτοῦ γυναῖκα, καὶ τὴν μητέρα φοβούμενος, ὑφῆκε τὸν Ὄθωνα πειρῶντα τὴν Ποππαίαν. Φίλῳ δὲ τῷ Ὄθωνι καὶ συμβιωτῇ διὰ τὴν ἀσωτίαν ἐχρῆτο· καὶ σκωπτόμενος ὑπ' αὐτοῦ πολλάκις εἰς μικρολογίαν καὶ ἀνελευθερίαν ἔχαιρε. Λέγεται δέ ποτε μύρῳ τῶν πολυτελῶν χρισαμένου τοῦ Νέρωνος, καὶ τὸν Ὄθωνα καταβρέξαντος, ἐκεῖνος πάλιν τῇ ὑστεραίᾳ δεχόμενος αὐτὸν ἅμα πολλαχόθεν ἀργυροῦς καὶ χρυσοῦς προβάλλειν ἄφνω σωλῆνας, ὥσπερ ὕδωρ τὸ μύρον ἐκχέοντας καὶ κατακλύζοντας. Ἀλλὰ τήν γε Ποππαίαν, προμοιχεύσας τῷ Νέρωνι, καὶ διαφθείρας ταῖς εἰς ἐκεῖνον ἐλπίσιν, ἔπεισεν ἀποστῆναι τοῦ ἀνδρός. Ἐλθούσης δὲ παρ' αὐτὸν, ὡς γαμετῆς, οὐκ ἠγάπα μετέχων, ἀλλ' ἠσχάλλε μεταδιδούς· οὐδ' αὐτῆς ἀχθομένης, ὡς φασι, τῇ ζηλοτυπίᾳ τῆς Ποππαίας. Καὶ γὰρ ἀποκλείσαι τὸν Νέρωνα λέγεται, μὴ παρόντος τοῦ Ὄθωνος, εἴτε τῆς ἡδονῆς ἀφαιροῦσα τὸ πλήσμιον, εἴτε, ὡς φασιν ἔνιοι, βαρυνομένη τὸν Καίσαρος γάμον, ἐραστῇ δὲ μὴ φεύγουσα χρῆσθαι διὰ τὸ φιλακόλαστον. Ἐκινδύνευσεν οὖν ὁ Ὄθων ἀποθανεῖν· καὶ παράλογον ἦν, ὅτι, τὴν γυναῖκα καὶ ἀδελφὴν ἀποκτείνας διὰ τὸν Ποππαίας γάμον, ἐφείσατο τοῦ Ὄθωνος.

XX. Σὺν ἐκείνῳ δ' εἶχεν εὔνουν κἀκεῖνῳ τὸν Νέρωνα πείσαντος καὶ παραινέσαντος, ἐξεπέμφθη Λυσιτανῶν στρατηγὸς ἐπὶ τὸν Ὠκεανόν. Καὶ παρέσχεν ἑαυτὸν οὐκ ἄχαριν, οὐδ' ἐπαχθῆ τοῖς ὑπηκόοις, εἰδὼς φυγῆς ὑποκόρισμα καὶ παρακάλυμμα τὴν ἀρχὴν αὐτῷ δεδομένην. Ἀποστάντος δὲ Γάλβα, πρῶτος αὐτὸς προσεχώρησε τῶν ἡγεμόνων, καὶ φέρων, ὅσον εἶχεν ἐν ἐκπώμασι καὶ τραπέζαις, ἄργυ-
1062 ρον καὶ χρυσὸν, ἔδωκε κατακόψαι ποιουμένῳ νόμισμα· καὶ τῶν οἰκετῶν ἐθωρήσατο τοὺς εἰθισμένους περὶ δίαιταν ἡγεμόνι ἐμμελῶς ὑπουργεῖν. Καὶ τὰ ἄλλα πιστὸς ἦν αὐτῷ, καὶ διδοὺς πεῖραν, οὐδενὸς ἧττον ἐδόκει πραγμάτων ἔμπειρος εἶναι· καὶ βαδίζοντι τὴν ὁδὸν ἅπασαν ἐφ' ἡμέρας πολλὰς συνοχούμενος διετέλεσεν. Ἐν δὲ τῇ συνοδίᾳ καὶ συνηθείᾳ τὸν Ὀβίννιον ἐξεθεράπευσεν ὁμιλίᾳ καὶ δώροις, μάλιστα δὲ, τῶν πρατείων ὑφιέμενος αὐτῷ. Τὸ δὲ μετ' ἐκεῖνον δύνασθαι, δ' ἐκεῖνον εἶχε βεβαίως. Τῷ δ' ἀνεπιφθόνῳ περιῆν, προῖκα συμπράττων πάντα τοῖς δεομένοις, καὶ παρέχων ἑαυτὸν εὐπροσήγορον καὶ φιλάνθρωπον ἅπασι. Πλεῖστα δὲ τοῖς στρατιωτικοῖς συνελάμβανε, καὶ προῆγε πολλοὺς ἐφ' ἡγεμονίας, τὰ μὲν αἰτούμενος ἀπὸ τοῦ αὐτοκράτορος, τὰ δὲ τὸν Ὀβίννιον καὶ τοὺς ἀπελευθέρους παρακαλῶν, Σικέλιον καὶ Ἀσιατικόν· οὗτοι γὰρ ἦσαν ἐν δυνάμει μάλιστα τῶν περὶ τὴν αὐλήν. Ὅσάκις δὲ τὸν Γάλβαν εἰστία, τὴν παραφυλάττουσαν αἰεὶ σπεῖραν ἐδέκαζε, χρυσοῦν ἑκάστῳ διανέμων, οἷς τιμᾶν αὐτὸν ἐδόκει, καταπολιτευόμενος καὶ δημαγωγῶν τὸ στρατιωτικόν.

XXI. Ἀλλ' οὖν βουλευομένου γε τοῦ Γάλβα περὶ διαδόχου, τὸν Ὄθωνα παρεισῆγεν ὁ Ὀβίννιος· οὐδὲ τοῦτο προῖκα πράσσων, ἀλλ' ἐπὶ γάμῳ τῆς θυγατρὸς, ὁμολογίας γενομένης, γαμεῖν αὐτὴν τὸν Ὄθωνα, παῖδα τοῦ Γάλβα καὶ διάδοχον ἀποδειχθέντα τῆς ἡγεμονίας. Ὁ δὲ Γάλβας ἀεὶ μὲν ἦν ἥδιλος πρὸ τοῦ ἰδίου τὸ κοινὸν τιθέμενος, καὶ ζητῶν οὐχ αὑτῷ θέσθαι τὸν ἥδιστον, ἀλλὰ Ῥωμαίοις

τὸν ὠφελιμώτατον. Δοκεῖ δὲ μηδ' ἂν ἐπὶ τοῖς ἰδίοις χρήμασι μόνον ἐλέσθαι τὸν Ὄθωνα κληρονόμον, ἀκόλαστον εἰδὼς καὶ πολυτελῆ, καὶ πεντακισχιλίων μυριάδων ὀφλήμασι βεβαπτισμένον. Ὄθην ἀκούσας τοῦ Ὀβιννίου, σωπῇ καὶ πρᾴως ὑπερέθετο τὴν διάθεσιν. Ἀποδείξας δ' αὐτὸν ὕπατον καὶ συνάρχοντα τὸν Ὀβίνιον, ἐπίδοξος ἦν ἔτους ἀρχῆ τὸν διάδοχον ἀναγορεύσειν. Καὶ τὸ στρατιωτικὸν ἡδέως εἶχε τὸν Ὄθωνα παρ' ὀντινοῦν ἄλλον ἀναγορευθῆναι.

XXII. Καταλαμβάνει δ' αὐτὸν ἔτι μέλλοντα καὶ βουλευόμενον ἐκραγέντα τὰ Γερμανικά. Κοινῇ γὰρ ἅπαντες οἱ στρατευόμενοι τὸν Γάλβαν ἐμίσουν, οὐκ ἀποδιδόντα τὴν δωρεάν· ἰδίας δ' ἐκεῖνοι προφάσεις ἐποιοῦντο, Ὀὐεργίνιόν τε Ῥοῦφον ἀπερριμμένον ἀτίμως, καὶ Γαλατῶν τοὺς πολεμήσαντας αὐτοῖς δωρεῶν τυγχάνοντας, ὅσοι δὲ μὴ προσέθεντο Ὀὐίνδικι, κολαζομένους, ᾧ μόνῳ τὸν Γάλβαν χάριν εἰδέναι, καὶ τιμᾶν τεθνηκότα καὶ γεραίρειν δημοσίοις ἐναγισμοῖς, ὡς ὑπ' ἐκείνου Ῥωμαίων ἀποδεδειγμένον αὐτοκράτορα. Τοιούτων ἀναφανδὸν ἤδη λόγων ἐν τῷ στρατοπέδῳ περιφερομένων, ἐπῆλθεν ἡ νουμηνία τοῦ πρώτου μηνὸς, ἣν καλάνδας Ἰανουαρίας καλοῦσι· τοῦ δὲ Φλάκκου συναγαγόντος αὐτοὺς ἐπὶ τὸν ὅρκον, ὃν ἔθος ἐστὶν ὀμνύειν ὑπὲρ τοῦ αὐτοκράτορος, τὰς μὲν εἰκόνας τοῦ Γάλβα προσελθόντες ἀνέτρεψαν καὶ κατέσπασαν· αὐτοὶ δ' ὀμόσαντες ὑπὲρ συγκλήτου καὶ δήμου Ῥωμαίων διελύθησαν. Εἶτα τοῖς ἡγεμονικοῖς παρίστατο δεδοικέναι τὴν ἀναρχίαν, ὡς ἀπόστασιν. Λέγει δέ τις ἐν αὐτοῖς· „Τί πάσχομεν, ᾧ συστρατιῶται, μήτ' ἄλλην ἡγεμόνα ποιούμενοι, μήτε τὸν νῦν ὄντα φυλάττοντες, ὥσπερ οὐ Γάλβαν, ἀλλ' ὅλως ἄρχοντα καὶ τὸ ἄρχεσθαι φεύγοντες; Φλάκκον μὲν οὖν Ὀρδεώνιον, οὐδὲν ἄλλο ἢ σκιὰν ὄντα Γάλβα καὶ εἴδωλον, ἐατέον· ἡμέρας δὲ μιᾶς ὁδὸν ἀφέστηκεν ἡμῶν Οὐϊτέλλιος, ὁ τῆς ἑτέρας Γερμανίας ἡγούμενος, πατρός τε τιμητοῦ καὶ πρὶς ὑπάτου γενομένου,

63 καὶ Κλαυδίῳ Καίσαρι τρόπον τινὰ συνάρξαντος αὐτὸς τε τὴν λοιδορουμένην ὑπ' ἐνίων πενίαν δεῖγμα λαμπρὸν ἔχων χρηστότητος καὶ μεγαλοφροσύνης. Φέρε, τοῦτον ἑλόμενοι, δείξωμεν ἀνθρώποις πᾶσιν, ὡς Ἥβήρων καὶ Λυσιτανῶν ἀμείνους ἐσμὲν αὐτοκράτορα αἱρεῖσθαι." Ταῦτα τῶν μὲν ἤδη προσιεμένων, τῶν δ' οὐ προσιεμένων, εἷς ὑπεξελθὼν σημαιοφόρος, ἀπήγγειλε τῷ Οὐϊτελλίῳ νυκτὸς, ἑστιωμένων πολλῶν παρ' αὐτῷ. Ἐκ δὲ τούτου λόγου διαπεσόντος εἰς τὰ στρατεύματα, πρῶτος Φάβιος Οὐάλης, ἡγεμὼν ἑνὸς τάγματος, τῇ ὑστεραίᾳ μεθ' ἱππέων συχνῶν ἐλάσας, αὐτοκράτορα τὸν Οὐϊτέλλιον προσεῖπεν. Ὁ δὲ τὰς μὲν ἔμπροσθεν ἡμέρας ἐδόκει διωθεῖσθαι καὶ ἀναδύεσθαι, τὸ μέγεθος τῆς ἀρχῆς φοβούμενος· τότε δέ φασιν, οἴκου διαπλέων καὶ τροφῆς ἅπτα μεσημβρινῆς, προελθεῖν καὶ ὑπακοῦσαι, Γερμανικὸν ὄνομα θεμένων αὐτῷ, τὸ δὲ Καίσαρος οὐ προσδεξάμενον. Εὐθὺς δὲ καὶ τὸ μετὰ Φλάκκου στράτευμα τοὺς καλοὺς ἐκείνους καὶ δημοκρατικοὺς εἰς σύγκλητον ὅρκους ἀφέντες, ὤμοσαν Οὐϊτελλίῳ τῷ αὐτοκράτορι ποιήσειν τὸ προστασσόμενον.

XXIII. Οὕτω μὲν ἀνηγορεύθη Οὐϊτέλλιος αὐτοκράτωρ ἐν Γερμανίᾳ. Πυθόμενος δὲ τὸν ἐκεῖ νεωτερισμὸν ὁ Γάλβας, οὐκέτι τὴν εἰσποίησιν ἀνεβάλλετο. Γινώσκων δὲ, τῶν φίλων ἐνίους μὲν ὑπὲρ Δολαβέλλα, τοὺς δὲ πλείστους ὑπὲρ Ὄθωνος ἀρχαιρεσιάζοντας, ὧν αὐδέτερον ἐδοκίμαζεν αὐτὸς, ἄφνω μηδὲν προσιπὼν μετεπέμψατο Πείσωνα, Κράσσου καὶ Κρητίωνος ἔκγονον, οὓς Νέρων ἀνῄρηκει, νεανίαν ἐν τῇ πρὸς πᾶσαν ἀρετὴν εὐφυΐᾳ τὸ κόσμιον καὶ αὐστηρὸν ἐμφανέστατα ἔχοντα· καὶ κατέβαινεν εἰς τὸ στρατόπεδον, ἐκεῖνον ἀποδεξόμενος Καίσαρα καὶ διάδοχον. Καίτοι μεγάλαι μὲν εὐθὺς ἐξιόντι διοσημεῖαι παρηκολούθουν· ἀρξαμένου δὲ τὰ μὲν λέγειν ἐν τῷ στρατοπέδῳ, τὰ δ' ἀναγινώσκειν, τοσαυτάκις ἐβρόντησε καὶ κατέστραψε, καὶ τοσοῦτος ὗαβρος καὶ ζόφος ἐξεχύθη εἰς τὸ στρατόπεδον καὶ τὴν πόλιν, ὡς καταδηλον εἶναι μὴ προσιέμενον

μηδ' ἐπαινοῦν τὸ δαιμόνιον γενομένην οὐκ ἐν ἀγαθῷ τὴν ἀσποίησιν. Ἦν δὲ καὶ τὰ τῶν στρατιωτῶν ὕπουλα καὶ σκοθρωπὰ, μηδὲ τότε δωρεᾶς αὐτοῖς δοθείσης. Τοῦ δὲ Πείσωνος οἱ παρόντες ἐθαύμασαν, τῇ τε φωνῇ τεκμαιρόμενοι καὶ τῷ προσώπῳ, τὸ τηλικαύτην χάριν ἀνεμπλήκτως, οὐ μὴν ἀναισθήτως, δεχόμενον· ὥσπερ αὖ τοῦ Ὄθωνος ἐπεφαίνετο πολλὰ σημεῖα τῇ μορφῇ πικρῶς καὶ σὺν ὀργῇ τῆς ἐλπίδος τὴν ἀπότευξιν φέροντος, ἧς πρῶτος ἀξιωθεὶς, καὶ τοῦ τυχεῖν ἐγγυτάτω γενόμενος, τὸ μὴ τυχεῖν ἐποιεῖτο σημεῖον ἔχθους ἅμα καὶ κακονοίας τοῦ Γάλβα πρὸς αὐτόν. Ὅθεν οὐδ' ἀφοβὸς ἦν περὶ τοῦ μέλλοντος, ἀλλὰ καὶ τὸν Πείσωνα δεδιὼς, καὶ τὸν Γάλβαν προβαλλόμενος, καὶ τῷ Ὀβιννίῳ χαλεπαίνων, ἀπῄει πολλῶν παθῶν πλήρης. Οὐδὲ γὰρ τὸ ἐλπίζον ἐκλιπεῖν, οὐδ' ἀπαγορεῦσαι παντάπασιν, εἴων οἱ περὶ αὐτὸν ὄντες ἀεὶ μάντεις καὶ Χαλδαῖοι· εἰς τὰ μάλιστα δὲ Πτολεμαῖος, ἰσχυριζόμενος τῷ προειπεῖν πολλάκις, ὡς οὐκ ἀποκτενεῖ Νέρων αὐτὸν, ἀλλὰ τεθνήξεται πρότερος, αὐτὸς δὲ περιέσται καὶ ἄρξει Ῥωμαίων· ἐκεῖνο γὰρ ἀληθὲς ἀποδείξας, ἠξίου μηδὲ ταῦτα ἀπελπίζειν· οὐχ ἥκιστα δ' οἱ συναχθόμενοι κρύφα καὶ συνεπιστένοντες ὡς ἀχάριστα πεπονθότι· πλεῖστοι δὲ τῶν περὶ Τιγελλῖνον καὶ Νυμφίδιον ἐν τιμῇ γεγονότων, ἀπερριμμένοι τότε καὶ ταπεινὰ πράττοντες, ἐφθείροντο πρὸς αὐτὸν, καὶ συνηγανάκτουν καὶ παρώξυνον.

XXIV. Ἐν δὲ τούτοις Ἰτούριος καὶ Βάρβιος, ὁ μὲν ὀπτίων, ὁ δὲ τεσσεράριος· οὕτω γὰρ καλοῦνται οἱ διαγγέλων καὶ διοπτήρων ὑπηρεσίας τελοῦντες. Μεθ' ὧν Ὄθωνος ἀπελεύθερος, Ὀνομαστὸς, ἐπιφοιτῶν, τοὺς μὲν ἀργυρίῳ, τοὺς δ' ἐλπίσι διέφθειρεν, ἤδη σαθροὺς ὄντας καὶ δεομένους προφάσεως. Οὐ γὰρ ἦν ἡμερῶν τεσσάρων ἔργον, ὑγιαίνοντος στρατοπέδου, μεταστῆσαι πᾶσιν, ὅσαι μεταξὺ τῆς εἰσποιήσεως ἐγένοντο καὶ τῆς σφαγῆς. Ἕκτῃ γὰρ ἀνῃρέθησαν, ἣν ἄγουσι Ῥωμαῖοι πρὸ δεκαοκτὼ

καλανδῶν Φεβρουαρίων. Ἐκείνη γὰρ ἴωθεν εὐθὺς ὁ μὲν Γάλβας ἔθυεν ἐν Παλατίῳ, τῶν φίλων παρόντων· ὁ δὲ θύτης, Ὀμβρίκιος, ἅμα τῷ λαβεῖν εἰς τὰς χεῖρας τοῦ ἱερείου τὰ σπλάγχνα, καὶ προσιδὼν, οὐ δι' αἰνιγμῶν, ἀλλ' ἄντικρυς, ἔφη σημεῖα μεγάλης ταραχῆς, καὶ μετὰ δόλου κίνδυνον ἐκ κεφαλῆς ἐπικείμενον τῷ αὐτοκράτορι· μονονουχὶ τὸν Ὄθονα τοῦ θεοῦ χειρὶ ληπτὸν παραδιδόντος. Παρῆν γὰρ ὄπισθεν τοῦ Γάλβα, καὶ προσεῖχε τοῖς λεγομένοις καὶ δεικνυμένοις ὑπὸ τοῦ Ὀμβρικίου. Θορυβουμένῳ δ' αὐτῷ, καὶ χρόας ἀμείβοντι παντοδαπὰς ὑπὸ δέους, παραστὰς Ὀνομαστὸς ἀπελεύθερος, ἥκειν ἔφη καὶ περιμένειν αὐτῷ οἴκοι τοὺς ἀρχιτέκτονας. Ἦν δὲ σύμβολον καιροῦ, πρὸς ὃν ἔδει ἀπαντῆσαι τὸν Ὄθωνα τοῖς στρατιώταις. Εἰπὼν οὖν, ὅτι παλαιὰν ἐωνημένος οἰκίαν βούλεται τὰ ὕποπτα δεῖξαι τοῖς πωληταῖς, ἀπῆλθε, καὶ διὰ τῆς Τιβερίου καλουμένης οἰκίας καταβὰς, ἐβάδιζεν εἰς ἀγορὰν, οὗ χρυσοῦς εἱστήκει κίων, εἰς ὃν αἱ τετμημέναι τῆς Ἰταλίας ὁδοὶ πᾶσαι τελευτῶσιν.

XXV. Ἐνταῦθα τοὺς πρώτους ἐκδεξαμένους αὐτὸν καὶ προσειπόντας αὐτοκράτορα φασὶ μὴ πλείους τριῶν καὶ εἴκοσι γενέσθαι. Διὸ, καίπερ οὐ κατὰ τὴν τοῦ σώματος μαλακίαν καὶ θηλύτητα τῆς ψυχῆς διατεθρυμμένος, ἀλλ' ἰταμὸς ὢν πρὸς τὰ δεινὰ καὶ ἄτρεπτος, ἀπεδειλίασεν. Οἱ δὲ παρόντες οὐκ εἴων, ἀλλὰ τοῖς ξίφεσι γυμνοῖς περιϊόντες αὐτοῦ τὸ φορεῖον, ἐκέλευον αἵρεσθαι, παραφθεγγομένου πολλάκις ἀπολωλέναι, καὶ τοὺς φορειαφόρους ἐπιταχύνοντος. Ἐξήκουον γὰρ ἔνιοι θαυμάζοντες μᾶλλον, ἢ ταραττόμενοι διὰ τὴν ὀλιγότητα τῶν ἀποτετολμημένων. Φερομένῳ δὲ οὕτω δι' ἀγορᾶς ἀπήντησαν ἕτεροι τοσοῦτοι, καὶ πάλιν κατὰ τρεῖς καὶ τέτταρας ἄλλοι προσεπέλαζον. Εἶτα συνανέστρεφον ἅπαντες ἀνακαλούμενοι Καίσαρα, καὶ γυμνὰ τὰ ξίφη προϊσχόμενοι. Τῶν δὲ χιλιάρχων ὁ τὴν φυλακὴν ἔχων τοῦ στρατοπέδου, Μαρτιάλιος, ὥς φασι, μὴ συνειδὼς, ἐκπλαγεὶς δὲ τῷ ἀπροσδοκήτῳ καὶ φοβη-

θεὶς, ἀφῆκεν εἰσελθεῖν. Γενομένου δ' ἐντὸς οὐδεὶς ἀντέπεσεν. Οἱ γὰρ ἀγνοοῦντες τὰ πραττόμενα, τοῖς εἰδόσι καὶ συνεστῶσιν ἐκ παρασκευῆς ἐμπεριεχόμενοι, καθ' ἕνα καὶ δύο σποράδες ὑπὸ δέους τὸ πρῶτον, εἶτα πεισθέντες ἐπηκολούθησαν. Εἰς δὲ τὸ Παλάτιον εὐθὺς μὲν ἀπηγγέλη τῷ Γάλβᾳ, παρόντος ἔτι τοῦ θύτου, καὶ τῶν ἱερῶν ἐν χερσὶν ὄντων· ὥστε καὶ τοὺς πάνυ πρὸς τὰ τοιαῦτα δυσπειθῶς καὶ ἀγεννῶς ἔχοντας ἐκπλήττεσθαι καὶ θαυμάζειν τὸ θεῖον. Ὄχλου δὲ παντοδαποῦ συρρέοντος ἐξ ἀγορᾶς, αὐτῷ μὲν Ὀβίννιος καὶ Λάκων καὶ τῶν ἀπελευθέρων ἔνιοι γυμνὰ τὰ ξίφη προϊσχόμενοι παρέστησαν· ὁ δὲ Πείσων προελθὼν τοῖς φυλάττουσι τὴν αὐλὴν δορυφόροις ἐνετύγχανε. Τοῦ δ' Ἰλλυρικοῦ τάγματος ἐν τῇ καλουμένῃ παστάδι Βιψανίᾳ στρατοπεδεύοντος, ἀπέστάλη Μάριος Κέλσος, ἀνὴρ ἀγαθὸς, προκαταληψόμενος.

XXVI. Βουλομένου δὲ τοῦ Γάλβα προελθεῖν, καὶ Ὀβιννίου μὲν οὐκ ἐῶντος, Κέλσου δὲ καὶ Λάκωνος παρορμώντων, καὶ σφοδρότερον τοῦ Ὀβιννίου καθαπτομένων, θροῦς διῆλθε πολὺς, ὡς ἀνῃρημένου τοῦ Ὄθωνος ἐν τῷ στρατοπέδῳ· καὶ μετὰ μικρὸν ὤφθη Ἰούλιος Ἀττίκιος τῶν οὐκ ἀσήμων ἐν τοῖς δορυφόροις στρατευόμενος, γυμνῷ τῷ ξίφει προσφερόμενος, καὶ βοῶν, ἀνῃρηκέναι τὸν Καίσαρος πολέμιον· ὡσάμενος δὲ διὰ τῶν προε- 1065
στώτων, ἔδειξε τῷ Γάλβᾳ τὸ ξίφος ἡμαγμένον. Ὁ δὲ βλέψας πρὸς αὐτόν· „Τίς σε, εἶπεν, ἐκέλευσε;“ Τοῦ δ' ἀνθρώπου τὴν πίστιν εἰπόντος, καὶ τὸν ὅρκον, ὃν ὤμοσε, καὶ τοῦ πλήθους ἐπιβοῶντος, ὡς εὖ, καὶ προτοῦντος, ἐμβὰς εἰς τὸ φορεῖον ἐκομίζετο, τῷ τε Διὶ θῦσαι καὶ φανῆναι τοῖς πολίταις βουλόμενος. Ἐμβαλόντος δ' εἰς τὴν ἀγορὰν, ὥσπερ τροπαία πνεύματος, ἀπήντησε φήμη, κρατεῖν τὸν Ὄθωνα τοῦ στρατεύματος. Οἷα δ' ἐν πλήθει τοσούτῳ, τῶν μὲν ἀναστρέφειν, τῶν δὲ προϊέναι, τῶν δὲ θαρρεῖν, τῶν δ' ἀπιστεῖν βοώντων, καὶ τοῦ φορείου, καθάπερ ἐν κλύδωνι, θεῦρο κἀκεῖσε δια-

φερομένου, καὶ πυκνὸν ἀπονεύοντος ἐφαίνοντο πρῶτον ἱππεῖς, εἶτα ὁπλῖται, διὰ τῆς Παύλου βασιλικῆς προσφερόμενοι, μιᾷ φωνῇ μέγα βοῶντες, ἐκποδὼν ἵστασθαι τὸν ἰδιώτην. Τῶν μὲν οὖν πολλῶν δρόμος ἦν, οὐ φυγῇ σκιδναμένων, ἀλλ' ἐπὶ τὰς στοὰς καὶ τὰ μετέωρα τῆς ἀγορᾶς, ὥσπερ θέαν καταλαμβανόντων. Ἰτιλλίου δὲ Σερκέλλωνος εἰκόνα Γάλβα προσουδίσαντος, ἀρχὴν τοῦ πολέμου ποιησάμενοι, περιηκόντισαν τὸ φορεῖον· ὡς δ' οὐκ ἔτυχον αὐτοῦ, προσῆγον ἐσπασμένοις τοῖς ξίφεσιν. Ἤμυνε δ' οὐδεὶς, οὐδ' ὑπέστη, πλὴν ἑνὸς ἀνδρὸς, ὃν μόνον ἥλιος ἐπεῖδεν ἐν μυριάσι τοσαύταις ἄξιον τῆς Ῥωμαίων ἡγεμονίας, Σεμπρώνιος Ἴνδιστρος, ἑκατοντάρχης, οὐδὲν ἰδίᾳ χρηστὸν ὑπὸ Γάλβα πεπονθὼς, τῷ δὲ καλῷ καὶ τῷ νόμῳ βοηθῶν προέστη τοῦ φορείου. Καὶ τὸ κλῆμα πρῶτον, ᾧ κολάζουσιν ἑκατοντάρχαι τοὺς πληγῶν δεομένους, ἐπαράμενος, τοῖς ἐπιφερομένοις ἐβόα καὶ διεκελεύετο φείδεσθαι τοῦ αὐτοκράτορος. Ἔπειτα συμπλεκομένων αὐτῷ, σπασάμενος τὸ ξίφος ἠμύνατο πολὺν χρόνον, ἕως τυφθεὶς τὰς ἰγνύας ἔπεσε.

XXVII. Τὸν δὲ Γάλβαν, ἀποκλινθέντος τοῦ φορείου περὶ τὸν Κουρτίου καλούμενον λάκκον, ἐκκυλισθέντα τεθωρακισμένον ἔτυπτον ἐπιδραμόντες. Ὁ δὲ τὴν σφαγὴν προτείνας· „Ἰρᾶτε, εἶπεν, εἰ τοῦτο τῷ δήμῳ Ῥωμαίων ἄμεινόν ἐστι.“ Πολλὰς μὲν οὖν ἔλαβε πληγὰς εἴς τε τὰ σκέλη καὶ τοὺς βραχίονας· ἀπέσφαξε δ' αὐτὸν, ὡς οἱ πλεῖστοι λέγουσι, Καμούριός τις ἐκ τοῦ πεντεκαιδεκάτου τάγματος. Ἔνιοι δὲ Τερέντιον, οἱ δ' Ἀρκάδιον ἱστοροῦσιν, οἱ δὲ Φάβιον Φάβουλον· ὃν καὶ φασὶν ἀποκόψαντα τὴν κεφαλὴν, κομίζειν τῷ ἱματίῳ συλλαβόντα, διὰ τὴν ψιλότητα δυσπερίληπτον οὖσαν· ἔπειτα τῶν σὺν αὐτῷ κρύπτειν οὐκ ἐώντων, ἀλλ' ἐκφανῆ πᾶσι ποιεῖν τὴν ἀνδραγαθίαν, περιπείραντα περὶ λόγχην καὶ ἀναπήλαντα πρεσβύτου πρόσωπον, ἄρχοντός τε κοσμίου, καὶ ἀρχιερέως, καὶ ὑπάτου, δρόμῳ χωρεῖν, ὥσπερ αἱ βάκχαι, πολλάκις

μεταστρεφόμενον, καὶ κραδαίνοντα τὴν λόγχην αἵματι καταῤῥεομένην. Τὸν δ' Ὄθωνα, τῆς κεφαλῆς κομισθείσης, ἀνακραγεῖν λέγουσιν· „Οὐδέν ἐστι τοῦτο, ὦ συστρατιῶται, τὴν Πείσωνός μοι κεφαλὴν δείξατε." Μετ' ὀλίγον δ' ἧκε κομιζομένη· τρωθεὶς γὰρ ἔφευγεν ὁ νεανίσκος, καὶ καταδιωχθεὶς ὑπὸ Μούρκου τινὸς ἀπεσφάγη πρὸς τῷ ἱερῷ τῆς Ἑστίας. Ἀπεσφάττετο δὲ καὶ Ὀβίννιος, ὁμολογῶν κοινωνὸς γεγονέναι τῆς ἐπὶ τὸν Γάλβαν συνωμοσίας· ἐβόα γὰρ, ἀποθνήσκειν παρὰ τὴν Ὄθωνος γνώμην. Ἀλλὰ γὰρ καὶ τούτου τὴν κεφαλὴν ἀποτεμόντες καὶ Λάκωνος, ἐκόμισαν πρὸς τὸν Ὄθωνα δωρεὰς αἰτοῦντες. Ὥσπερ δέ φησιν Ἀρχίλοχος·

Ἑπτὰ γὰρ νεκρῶν πεσόντων, οὓς ἐμάρψαμεν ποσὶ,
Χίλιοι φονῆες ἐσμέν·

οὕτω τότε πολλοὶ, τοῦ φόνου μὴ συνεφαψάμενοι, χεῖρας δὲ καὶ ξίφη καθαιμάσσοντες ἐπεδείκνυντο, καὶ τὰς δωρεὰς ᾔτουν, βιβλία διδόντες τῷ Ὄθωνι. Εἴκοσι γοῦν καὶ ἑκατὸν εὑρέθησαν ὕστερον ἐκ τῶν γραμματείων, οὓς ὁ Οὐϊτέλλιος ἀναζητήσας ἅπαντας ἀπέκτεινεν. Ἧκε δὲ καὶ Μάριος Κέλσος εἰς τὴν παρεμβολήν. Καὶ πολλῶν αὐτοῦ κατηγορούντων, ὅτι τοὺς στρατιώτας ἔπειθε τῷ Γάλβᾳ βοηθεῖν, καὶ τοῦ πλήθους ἀποκτιννύειν βοῶντος, Ὄθων οὐκ ἐβούλετο· φοβούμενος δ' ἀντιλέγειν, οὐχ οὕτως ἔφη ταχέως ἀποκτενεῖν αὐτόν· εἶναι 66
γὰρ, ἃ δεῖ πρότερον ἐκπυθέσθαι παρὰ τοῦ ἀνδρός. Ἐκέλευσεν οὖν δήσαντας φυλάττειν, καὶ παρέδωκε τοῖς μάλιστα πιστευομένοις.

XXVIII. Εὐθὺς δὲ βουλὴ συνεκαλεῖτο. Καὶ καθάπερ ἄλλοι γεγονότες, ἢ θεῶν ἄλλων γεγονότων, συνελθόντες ὤμνυον ὅρκον ὑπὲρ τοῦ Ὄθωνος, ὃν αὐτὸς ὀμόσας οὐκ ἐτήρησε· καὶ Καίσαρα καὶ Σεβαστὸν ἀνηγόρευον, ἔτι τῶν νεκρῶν ἀκεφάλων ἐν ταῖς ὑπατικαῖς ἐσθῆσιν ἐῤῥιμμένων ἐπὶ τῆς ἀγορᾶς. Ταῖς δὲ κεφαλαῖς ὡς οὐδὲν εἶχον ἔτι χρῆσθαι, τὴν μὲν Ὀβιννίου τῇ θυγατρὶ δισχιλίων καὶ πεντακοσίων δραχμῶν ἀπέδοντο, τὴν δὲ Πείσωνος ἡ γυνὴ ἐλα-

βεν Οὐερονία δεηθεῖσα· τὴν δὲ Γάλβα τοῖς Πατροβίου καὶ Οὐϊτελλίου δούλοις ἐδωρήσαντο. Λαβόντες δ' ἐκεῖνοι, καὶ πάντα τρόπον αἰκισάμενοι καὶ καθυβρίσαντες, ἔῤῥιψαν, ᾗ τοὺς ἀπὸ τῶν Καισάρων κολαζομένους θανατοῦσιν· ὁ δὲ τόπος Σηστέρτιον καλεῖται. Τὸ δὲ σῶμα τοῦ Γάλβα Πρίσκος Ἐλβίδιος ἀνείλετο, τοῦ Ὄθωνος ἐπιτρέψαντος· ἔθαψε δὲ νυκτὸς Ἀργεῖος ἀπελεύθερος.

XXIX. Τοιαῦτα τὰ κατὰ τὸν Γάλβαν, ἄνδρα μήτε γένει, μήτε πλούτῳ, πολλῶν ἀπολειφθέντα Ῥωμαίων, ὁμοῦ δὲ πλούτῳ καὶ γένει πρωτεύσαντα πάντων τῶν καθ' αὑτὸν, πέντε αὐτοκρατόρων ἡγεμονίαις ἐμβιώσαντα μετὰ τιμῆς καὶ δόξης· ὥστε τῇ δόξῃ μᾶλλον, ἢ τῇ δυνάμει, καθελὼν Νέρωνα, τῶν συνεπιτιθεμένων τότε τοὺς μὲν οὐδεὶς ἠξίωσε τῆς ἡγεμονίας, οἱ δ' ἑαυτοὺς ἠξίωσαν· Γάλβας δὲ καὶ κληθεὶς καὶ ὑπακούσας αὐτοκράτωρ, καὶ τῇ Οὐΐνδικος ἐμπαρασχὼν ὄνομα τόλμῃ, κίνημα καὶ νεωτερισμὸν αὐτοῦ λεγομένην τὴν ἀπόστασιν, ἐποίησε πόλεμον ἐμφύλιον, ἀνδρὸς ἡγεμονικοῦ τυχοῦσαν. Ὅθεν οὐχ ἑαυτῷ τὰ πράγματα λαμβάνειν, ἀλλὰ μᾶλλον ἑαυτὸν οἰόμενος διδόναι τοῖς πράγμασιν, ἄρχειν ἠξίου τῶν ὑπὸ Τιγελλίνου καὶ Νυμφιδίου τετιθασσευμένων, ὡς Σκιπίων ἦρχε καὶ Φαβρίκιος καὶ Κάμιλλος τῶν τότε Ῥωμαίων. Ὑπερειπόμενος δὲ τῷ γήρᾳ, ἄχρι τῶν ὅπλων καὶ τῶν στρατευμάτων ἄκρατος ἦν καὶ ἀρχαῖος αὐτοκράτωρ. Ὀβιννίῳ δὲ καὶ Λάκωνι καὶ τοῖς ἀπελευθέροις πάντα τὰ πράγματα πωλοῦσι παρέχων ἑαυτὸν, οἷον Νέρων παρεῖχε τοῖς ἀπληστοτάτοις, οὐδένα ποθοῦντα τὴν ἀρχὴν, οἰκτείραντας δὲ τοὺς πολλοὺς τὸν θάνατον ἀπέλιπεν.

ΟΘΩΝ.

Ὁ δὲ νεώτερος αὐτοκράτωρ ἅμ' ἡμέρᾳ προελθὼν εἰς τὸ Καπιτώλιον ἔθυσε, καὶ κελεύσας Μάριον Κέλσον ἀχθῆναι πρὸς αὑτὸν, ἠσπάσατο καὶ διελέχθη φιλανθρώπως, καὶ παρεκάλεσε τῆς αἰτίας ἐπιλαθέσθαι μᾶλλον, ἢ τῆς ἀφέσεως μνημονεῦσαι. Τοῦ δὲ Κέλσου μήτ' ἀγεννῶς ἀποκριναμένου, μήτ' ἀναισθήτως, ἀλλὰ φήσαντος, αὐτῷ τοῦ τρόπου διδόναι τὸ ἔγκλημα πίστιν· ἐγκαλῆσθαι γὰρ, ὅτι Γάλβᾳ βέβαιον ἑαυτὸν παρέσχεν, ᾧ χάριν οὐδεμίαν ὤφειλεν· ἠγάσθησαν οἱ παρόντες ἀμφοτέρων, καὶ τὸ στρατιωτικὸν ἐπήνεσεν. Ἐν δὲ συγκλήτῳ πολλὰ δημοτικὰ καὶ φιλάνθρωπα διαλεχθεὶς, ὧν μὲν αὐτὸς ὑπατεύειν χρόνον ἤμελλε, τούτου μέρος ἔνειμεν Οὐεργινίῳ Ῥούφῳ, τοῖς δ' ἀποδεδειγμένοις ὑπὸ Νέρωνος, ἢ Γάλβα, πᾶσιν ἐτήρησε τὰς ὑπατείας. Ἱερωσύναις δὲ τοὺς καθ' ἡλικίαν πρόσηκοντας, ἢ δόξαν, ἐπόσημησε. Τοῖς δ' ἐπὶ Νέρωνος φυγοῦσι, καὶ κατελθοῦσιν ἐπὶ Γάλβα, συγκλητικοῖς πᾶσιν 1067 ἀπέδωκεν, ὅσα μὴ πεπραμένα τῶν κτημάτων ἕκαστου ἐξεύρισκεν. Ὅθεν οἱ πρῶτοι καὶ κράτιστοι πεφρικότες πρότερον, ὡς οὐκ ἀνδρὸς, ἀλλά τινος ἢ Ποινῆς, ἢ παλαμναίου δαίμονος, ἄφνω τοῖς πράγμασιν ἐπιπεπτωκότος, ἠθίους ἐγένοντο ταῖς ἐλπίσι πρὸς τὴν ἡγεμονίαν, ὥσπερ διαμειδιῶσαν.

II. Ὁμοῦ δὲ Ῥωμαίους πάντας οὐδὲν εὔφρανεν οὕτως, οὐδ' ὠκειώσατο πρὸς αὐτὸν, ὡς τὰ περὶ

Τιγελλῖνον. Ἐλελήθει μὲν γὰρ ἤδη κολαζόμενος αὐτῷ τῷ φόβῳ τῆς κολάσεως, ἣν ὡς χρέος ἀπῄτει δημόσιον ἡ πόλις, καὶ νοσήμασιν ἀνηκέστοις σώματος· αὐτοῦ τε τὰς ἀνοσίους καὶ ἀῤῥήτους ἐν γυναιξὶ πόρναις καὶ ἀκαθάρτοις ἐγκυλινδήσεις, αἷς ἔτι προσέσπαιρε δυσθανατοῦντος αὐτοῦ τὸ ἀκόλαστον ἐπιδραττόμενον, ἐσχάτην τιμωρίαν ἐποιοῦντο καὶ πολλῶν ἀντιξίαν θανάτων οἱ σωφρονοῦντες. Ἡνία δὲ τοὺς πολλοὺς ὅμως τὸν ἥλιον ὁρῶν μετὰ τοσούτους καὶ τοιούτους δι' αὐτὸν οὐχ ὁρῶντας. Ἔπεμψεν οὖν ἐπ' αὐτὸν ὁ Ὄθων εἰς τοὺς περὶ Σινόεσσαν ἀγρούς· ἐκεῖ γὰρ διῃτᾶτο, πλοίων παρορμούντων, ὡς φευξόμενος ἀπωτέρω. Καὶ τόν γε πεμφθέντα χρυσίῳ πολλῷ πείθειν ἐπεχείρησε παρεῖναι· μὴ πεισθέντα δὲ, δῶρα μὲν ἔδωκεν οὐδὲν ἧττον, ἐδεήθη δ' ὑπομεῖναι, ἕως ἂν ἀποξύρηται τὸ γένειον, καὶ λαβὼν αὐτὸς ἑαυτὸν ἐλαιμοτόμησεν.

ΙΗ. *Οὕτω δὲ τῷ δήμῳ τὴν δικαιοτάτην ἡδονὴν ἀποδοὺς ὁ Καῖσαρ, αὐτὸς ἰδίας ἔχθρας οὐδενὶ τοπαράπαν ἐμνησικάκησε· τοῖς δὲ πολλοῖς χαριζόμενος οὐκ ἔφευγε τὸ πρῶτον ἐν τοῖς θεάτροις Νέρων προσαγορεύεσθαι· καί τινων εἰκόνας Νέρωνος εἰς τοὐμφανὲς προθεμένων, οὐκ ἐκώλυσε. Κλαύδιος δὲ Ῥοῦφος εἰς Ἰβηρίαν φησὶ κομισθῆναι διπλώματα, οἷς ἐκπέμπουσι τοὺς γραμματηφόρους, τὸ τοῦ Νέρωνος θεῖον ὄνομα προσγεγραμμένον ἔχοντα τῷ τοῦ Ὄθωνος. Οὐ μὴν ἀλλὰ τοὺς πρώτους καὶ κρατίστους αἰσθόμενος ἐπὶ τούτῳ δυσχεραίνοντας, ἐπαύσατο. Τοιαύτην δὲ τῆς ἡγεμονίας κατάστασιν αὐτῷ λαμβανούσης, οἱ μισθοφόροι χαλεποὺς παρεῖχον ἑαυτοὺς, ἀπιστεῖν παρακελευόμενοι καὶ φυλάττεσθαι καὶ κωλύειν τοὺς ἀξιολόγους, εἴτ' ἀληθῶς φοβούμενοι δι' εὔνοιαν, εἴτε προφάσει χρώμενοι ταύτῃ τοῦ ταράττειν καὶ πολεμοποιεῖν. Κρισπῖνον δὲ πέμψαντος αὐτοῦ, τὴν ἑπτακαιδεκάτην σπεῖραν ἐξ Ὠστίας ἄξοντα, κἀκείνου νυκτὸς ἔτι συσκευαζομένου, καὶ τὰ ὅπλα ταῖς ἁμάξαις ἐπιτιθέντος, οἱ*

θρασύτατοι πάντες ἐβόων, οὐδὲν ὑγιὲς τὸν Κρισπῖνον ἥκειν διανοούμενον, ἀλλὰ τὴν συγκλητον ἐπιχειρεῖν πράγμασι νεωτέροις, καὶ τὰ ὅπλα κατὰ Καίσαρος, οὐ Καίσαρι, παρακομίζεσθαι. Τοῦ δὲ λόγου πολλῶν ἁπτομένου καὶ παροξύνοντος, οἱ μὲν ἐπελαμβάνοντο τῶν ἁμαξῶν, οἱ δὲ τοὺς ἐνισταμένους ἑκατοντάρχας δύο καὶ τὸν Κρισπῖνον αὐτὸν ἀπέκτειναν. Πάντες δὲ διασπευασάμενοι καὶ παρακαλέσαντες ἀλλήλους Καίσαρι βοηθεῖν, ἤλαυνον εἰς τὴν Ῥώμην· καὶ πυθόμενοι, παρ' αὐτῷ δειπνεῖν ὀγδοήκοντα συγκλητικοὺς, ἐφέροντο πρὸς τὰ βασίλεια, νῦν καιρὸν εἶναι λέγοντες, ἐν ταὐτῷ πάντας ἀνελεῖν τοὺς Καίσαρος πολεμίους. Ἡ μὲν οὖν πόλις, ὡς αὐτίκα διαπαγησομένη, θόρυβον εἶχε πολύν· ἐν δὲ τοῖς βασιλείοις ἦσαν διάδρομαι, καὶ τὸν Ὄθωνα δεινὴ κατελάμβανεν ἀπορία. Φοβούμενος γὰρ ὑπὲρ τῶν ἀνδρῶν, αὐτὸς ἦν φοβερὸς ἐκείνοις, καὶ πρὸς αὐτὸν ἀνηρτημένους ἑώρα ταῖς ὄψεσιν ἀναίδους καὶ περιδεεῖς, ἐνίους καὶ μετὰ γυναικῶν ἥκοντας ἐπὶ τὸ δεῖπνον. Ἅμα δὲ τοὺς ἐπάρχους ἀπέστελλε, τοῖς στρατιώταις διαλέγεσθαι καὶ πραΰνειν κελεύσας, ἅμα δὲ τοὺς κεκλημένους ἄνδρας ἀναστήσας, καθ' ἑτέρας θύρας ἀφῆκε· καὶ μικρὸν ἔφθησαν ὑπεκφυγόντες διὰ τῶν μισθοφόρων, ὠθουμένων εἰς τὸν ἀνδρῶνα, καὶ πυνθανομένων, τί γεγόνασιν οἱ Καίσαρος πολέμιοι. Τότε μὲν οὖν ὀρθὸς ἀπὸ τῆς κλίνης πολλὰ παρηγορήσας, καὶ δεη- 1068
θεὶς, καὶ μηδὲ δακρύων φεισάμενος, μόλις ἀπέπεμψεν αὐτούς· τῇ δ' ὑστεραίᾳ δωρησάμενος ἅπαντας κατ' ἄνδρα χιλίαις καὶ διακοσίαις καὶ πεντήκοντα δραχμαῖς, εἰσῆλθεν εἰς τὸ στρατόπεδον, καὶ τὸ μὲν πλῆθος ἐπῄνεσεν, ὡς πρὸς αὐτὸν εὔνουν καὶ πρόθυμον, ὀλίγους δέ τινας οὐκ ἐπ' ἀγαθῷ φήσας ὑποικουρεῖν, διαβάλλοντας αὐτοῦ τὴν μετριότητα, καὶ τὴν ἐκείνων εὐστάθειαν, ἠξίου συναγανακτεῖν καὶ συγκολάζειν. Ἐπαινούντων δὲ πάντων καὶ κελευόντων, δύο μόνους παραβαλὼν, οἷς οὐδεὶς ἔμελλεν ἄχθεσθαι πολασθεῖσιν, ἀπηλλάγη.

IV. Ταῦτα οἱ μὲν ἀγαπῶντες ἤδη καὶ πιστεύοντες ἐθαύμαζον τὴν μεταβολήν· οἱ δ' ἀναγκαῖα πολιτεύματα πρὸς τὸν καιρὸν ἡγοῦντο, δημαγωγοῦντος αὐτοῦ διὰ τὸν πόλεμον. Ἤδη γὰρ ἐγγέλλετο βεβαίως Οὐϊτέλλιος ἀξίωμα καὶ δύναμιν αὐτοκράτορος ἀνειληφώς· καὶ πτεροφόροι συνεχῶς ἐφοίτων, ἀεὶ τὰ προσχωρεῖν ἐκείνῳ φράζοντες, καὶ ἕτεροι τὰ Πάννονικα καὶ τὰ Δαλματικὰ καὶ τὰ περὶ Μυσίαν στρατεύματα δηλοῦντες ἥρῆσθαι μετὰ τῶν ἡγεμόνων Ὄθωνα. Ταχὺ δ' ἀφίκετο καὶ παρὰ Μουκιανοῦ γράμματα καὶ παρὰ Οὐεσπασιανοῦ φίλια, τοῦ μὲν ἐν Συρίᾳ, τοῦ δ' ἐν Ἰουδαίᾳ, μεγάλας δυνάμεις ἐχόντων. Ὑφ' ὧν ἐπαιρόμενος, ἔγραψεν Οὐϊτελλίῳ, παραινῶν στρατιωτικὰ φρονεῖν, ὡς χρήματα πολλὰ δώσοντος αὐτοῦ, καὶ πόλιν, ἐν ᾗ βιώσεται ῥᾷστον καὶ ἡδιστον βίον μεθ' ἡσυχίας. Ἀντέγραψε δὲ κἀκεῖνος αὐτῷ κατειρωνευόμενος ἡσυχῇ πρῶτον· ἐκ δὲ τούτου διερεθιζόμενοι πολλὰ βλάσφημα καὶ ἀσελγῆ χλευάζοντες ἀλλήλους ἔγραφον, οὐ ψευδῶς μέν, ἀνοήτως δὲ καὶ γελοίως θατέρου τῷ ἑτέρῳ ἃ πρόσθεν ἀμφοτέροις ὠνείδη λοιδηροῦντος. Ἀσωτίας γὰρ καὶ μαλακίας καὶ ἀπειρίας πολέμων καὶ τῶν πρόσθεν ἐπὶ πενίᾳ καὶ χρεῶν πλήθους, ἔργον ἦν εἰπεῖν, ὁποτέρῳ μεῖον αὐτῶν μέτεστι. Σημείων δὲ καὶ φαντασμάτων πολλῶν λεγομένων, τὰ μὲν ἄλλα φήμας ἀδεσπότους καὶ ἀμφιβόλους εἶχεν, ἐν δὲ Καπιτωλίῳ Νίκης ἐφεστώσης ἅρματι τὰς ἡνίας πάντες εἶδον ἀφειμένας ἐκ τῶν χειρῶν, ὥσπερ κρατεῖν μὴ δυναμένης· καὶ τὸν ἐν μεσοποταμίᾳ νῆσον Γαΐου Καίσαρος ἀνδριάντα, μήτε σεισμοῦ γεγονότος, μήτε πνεύματος, ἀφ' ἑσπέρας μεταστραφέντα πρὸς τὰς ἀνατολάς· ὃ φασι συμβῆναι περὶ τὰς ἡμέρας ἐκείνας, ἐν αἷς οἱ περὶ Οὐεσπασιανὸν ἐμφανῶς ἤδη τῶν πραγμάτων ἀντελαμβάνοντο. Καὶ τὸ περὶ τὸν Θύμβριν δὲ συμπτωμα σημείων ἐποιοῦντο οἱ πολλοὶ μοχθηρόν. Εἰν μὲν γὰρ ὥρᾳ, περὶ ἣν μάλιστα οἱ ποταμοὶ πληθουσιν· ἀλλ' οὕπω τοιοῦτος ἦρθη πρότερον, οὐδ' ἀπώλεσε τοσαῦ-

τα καὶ διέφθειρεν, ὑπερχυθεὶς καὶ κατακλύσας πολὺ μέρος τῆς πόλεως· πλεῖστον δ', ἐν ᾧ τὸν ἐπὶ πράσει διαπωλοῦσι σῖτον, ὡς δεινὴν ἀπορίαν ἡμερῶν συχνῶν κατασχεῖν.

V. Ἐπεὶ δὲ τὰς Ἄλπεις κατέχοντες ἤδη προσηγγέλλοντο Κεκίνας καὶ Οὐάλης, Οὐϊτελλίῳ στρατηγοῦντες, ἐν Ῥώμῃ Πολοβέλλας, εὐπατρίδης ἀνὴρ, ὑποψίαν παρεῖχε τοῖς μισθοφόροις νεώτερα φρονεῖν. Ἐκεῖνον μὲν οὖν, εἴτ' αὐτὸν, εἴτ' ἄλλον δεδοικώς, εἰς πόλιν Ἀκύνιον παρέπεμψε παραθαρρύνας. Καταλέγων δὲ τῶν ἐν τέλει συνεκδήμους, ἔταξεν ἓν τούτοις καὶ Λεύκιον, τὸν Οὐϊτελλίου ἀδελφόν· οὔτε προσθεὶς οὐδὲν, οὔτ' ἀφελὼν, ἧς εἶχε τιμῆς. Ἰσχυρῶς δὲ καὶ τῆς μητρὸς ἐπεμελήθη τοῦ Οὐϊτελλίου καὶ τῆς γυναικὸς, ὅπως μηδὲν φοβήσονται περὶ αὐτῶν. Τῆς δὲ Ῥώμης φύλακα, Φλαούϊον Σαβῖνον, ἀδελφὸν Οὐεσπασιανοῦ, κατέστησεν, εἴτε καὶ τοῦτο πράξας ἐπὶ τιμῇ Νέρωνος, (παρ' ἐκείνου γὰρ εἰλήφει τὴν ἀρχὴν ὁ Σαβῖνος, ἀφείλετο δὲ Γάλβας αὐτὸν,) εἴτε μᾶλλον εὔνοιαν ἐνδεικνύμενος Οὐεσπασιανῷ καὶ πίστιν, αὔξων Σαβῖνον. Αὐτὸς μὲν οὖν ἐν Βενξίλλῳ, πόλει τῆς Ἰταλίας, περὶ τὸν Ἠριδανὸν ἀπελείφθη· στρατηγοὺς δὲ τῶν δυνάμεων ἐξέ- 1069
πεμψε Μάριόν τε Κέλσον καὶ Σουϊτώνιον Παυλῖνον, ἔτι τε Γάλλον καὶ Σπουρίναν, ἄνδρας ἐνδόξους, χρήσασθαι δὲ μὴ δυνηθέντας ὑπὸ τῶν πραγμάτων, ὡς προηροῦντο, τοῖς ἑαυτῶν λογισμοῖς, δι' ἀπειρίαν καὶ θρασύτητα τῶν στρατιωτῶν. Οὐ γὰρ ἠξίουν ἑτέρων ἀκούειν, ὡς παρ' αὐτῶν τοῦ αὐτοκράτορος τὸ ἄρχειν ἔχοντος. Ἦν μὲν οὖν οὐδὲ τὰ τῶν πολεμίων ὑγιαίνοντα παντάπασιν, οὐδὲ χειροήθη τοῖς ἡγεμόσιν, ἀλλ' ἔμπληκτα καὶ σοβαρὰ διὰ τὴν αὐτὴν αἰτίαν. Οὐ μὴν ἀλλ' ἐκείνοις ἐμπειρία τε παρῆν τοῦ μάχεσθαι, καὶ τοῦ κάμνειν ἐθάδες ὄντες οὐκ ἔφευγον. Οὗτοι δὲ μαλακοὶ μὲν ἦσαν ὑπὸ σχολῆς καὶ δυαίτης ἀπολέμου, πλεῖστον χρόνον ἐν θεάτροις καὶ πανηγύρεσι καὶ παρὰ σκηνὴν βεβιωκότες, ὕβρει δὲ καὶ κόμπῳ ἐκαμπέχειν ἐβούλοντο προσποιεῖσθαι

τὰς λειτουργίας, ὡς πρείττονας ἀπωλεσοῦντες, οὐχ ὡς ἀδύνατοι φέρειν. Ὁ δὲ Σπουρίνας προσβιαζόμενος αὐτοὺς ἐπικινδύνευσε μικρὸν ἐλθόντας ἀνελεῖν αὐτόν. Ὕβρεως δὲ καὶ βλασφημίας οὐδεμιᾶς ἐφείσαντο, προδότην καὶ λυμεῶνα τῶν Καίσαρος καιρῶν καὶ πραγμάτων λέγοντες. Ἔνιοι δὲ καὶ μεθυσθέντες ἤδη νυκτὸς ἦλθον ἐπὶ τὴν σκηνὴν ἐφοδιον εἰτοῦντες· εἶναι γὰρ αὐτοῖς πρὸς Καίσαρα βαδιστέον, ἅπως ἐκείνου κατηγορήσουσιν.

VI. Ὤνησε δὲ τὰ πράγματα καὶ Σπουρίναν ἐν τῷ παραυτίκα λοιδορίᾳ περὶ Πλακεντίαν γενομένῃ τῶν στρατιωτῶν. Οἱ γὰρ Οὐϊτελλίου τοῖς τείχεσι προσβάλλοντες, ἐχλεύαζον τοὺς Ὄθωνος ἑστῶτας παρὰ τὰς ἐπάλξεις, σκηνικοὺς καὶ πυρριχιστὰς καὶ Πυθίων καὶ Ὀλυμπίων θεωροὺς, πολέμου δὲ καὶ στρατείας ἀπείρους καὶ ἀθεάτους ἀποκαλοῦντες, καὶ μέγα φρονοῦντας ἐπὶ τῷ γέροντος ἀνύπλου κεφαλὴν ἀποτεμεῖν, τὸν Γάλβαν λέγοντες, εἰς δ' ἀγῶνα καὶ μάχην ἀνδρῶν οὐκ ἂν ἐκφανῶς καταβάντας. Οὕτω γὰρ ἐθαρρύνθησαν ὑπὸ τούτων τῶν ὀνειδῶν καὶ διεκάησαν, ὥστε προσπεσεῖν τῷ Σπουρίνᾳ, δεόμενοι χρῆσθαι καὶ προστάττειν αὐτοῖς, οὐδένα κίνδυνον, συδὲ πόνον, ἀπολογούμενοι. Ἰσχυρᾶς δὲ συστάσης τειχομαχίας, καὶ μηχανημάτων πολλῶν προσαχθέντων, ἐκράτησαν οἱ τοῦ Σπουρίνα, καὶ φόνῳ πολλῷ τοὺς ἐναντίους ἀποκρουσάμενοι, διετήρησαν ἔνδοξον πόλιν καὶ τῶν Ἰταλῶν οὐδεμιᾶς ἧττον ἀνθοῦσαν. Ἦσαν δὲ καὶ τἆλλα τῶν Οὐϊτελλίου στρατηγῶν οἱ Ὄθωνος ἐντυχεῖν ἀλυπότεροι καὶ πόλεσι καὶ ἰδιώταις. Ἐκείνων δὲ Κεκίνας μὲν, οὔτε φωνὴν, οὔτε σχῆμα, δημοτικὸς, ἀλλ' ἐπαχθὴς καὶ ἀλλόκοτος σώματος μεγάλου, Γαλατικῶς ἀναξυρίσι καὶ χειρίσιν ἐνεσκευασμένος, σημείοις καὶ ἄρχουσι Ῥωμαϊκοῖς διαλεγόμενος. Καὶ τὴν γυναῖκα παρέπεμπον αὐτῷ λογάδην ἱππεῖς ὀχουμένην ἵππῳ, κεκοσμημένῃ ἐπιφανῶς. Φάβιον δὲ Οὐάλεντα, τὸν ἕτερον στρατηγὸν, οὔτε ἁρπαγαὶ πολεμίων, οὔτε κλοπαὶ καὶ δωροδοκίαι παρὰ συμμάχων,

ἐνεπίμπλασαν χρηματιζόμενον· ἀλλὰ καὶ ἐδόκει διὰ τοῦτο βραδέως ὁδεύων ὑστερῆσαι τῆς προτέρας μάχης. Οἱ δὲ τὸν Κεκίναν αἰτιῶνται, σπεύδοντα τὴν νίκην ἑαυτοῦ γενέσθαι, πρὶν ἐκεῖνον ἐλθεῖν, ἄλλοις τε μικροτέροις περιπεσεῖν ἁμαρτήμασι, καὶ μάχην οὐ κατὰ καιρὸν, οὐδὲ γενναίως, συνάψαι, μικροῦ πάντα τὰ πράγματα διαφθείρασαν αὐτοῖς.

VII. Ἐπεὶ γὰρ ἀποκρουσθεὶς τῆς Πλακεντίας ὁ Κεκίνας ἐπὶ Κρεμώνην ὥρμησεν, ἑτέραν πόλιν εὐδαίμονα καὶ μεγάλην, πρῶτος μὲν Ἄννιος Γάλλος, πρὸς Πλακεντίαν Σπουρίνᾳ βοηθῶν, ὡς ἤκουσε καθ' ὁδὸν, τοὺς Πλακεντίνους περιγεγονέναι, κινδυνεύειν δὲ τοὺς ἐν Κρεμώνῃ, μετῆγαγεν ἐκεῖ τὸ στράτευμα, καὶ κατεστρατοπέδευσε πλησίον τῶν πολεμίων· ἔπειτα καὶ τῶν ἄλλων ἕκαστος ἐβοήθει τῷ στρατηγῷ. Τοῦ δὲ Κεκίνα λοχίσαντος εἰς λάσια χωρία καὶ ὑλώδη πολλοὺς ὁπλίτας, ἱππεῖς δὲ προεξελάσαι κελεύσαντος, κἂν συνάψωσιν οἱ πολέμιοι, κατὰ μικρὸν ἀναχωρεῖν, καὶ ἀναφεύγειν, 1070
ἄχρις ἂν ὑπάγοντες οὕτως ἐμβάλωσιν αὐτοὺς εἰς τὴν ἐνέδραν, ἐξηγγειλαν αὐτόμολοι τῷ Κέλσῳ. Καὶ τοῖς μὲν ἱππεῦσιν ἀγαθοῖς ἀντεξελάσας, πεφυλαγμένως δὲ χρώμενος τῇ διώξει, καὶ τὴν ἐνέδραν περισχὼν καὶ συνταράξας, ἐκάλει τοὺς ὁπλίτας ἐκ τοῦ στρατοπέδου. Καὶ δοκοῦσιν ἂν ἐπελθόντες ἐν καιρῷ μηδένα λιπεῖν τῶν πολεμίων, ἀλλὰ πᾶν τὸ μετὰ Κεκίνα στράτευμα συντρίψαι καὶ ἀνελεῖν, ἐπισπόμενοι τοῖς ἱππεῦσι· νυνὶ δ' ὁ Παυλῖνος ὀψὲ καὶ σχολῇ προσβοηθήσας, αἰτίαν ἔσχεν ἐνδεεστέρου τῆς δόξης στρατηγῆσαι δι' εὐλάβειαν. Οἱ δὲ πολλοὶ τῶν στρατιωτῶν καὶ προδοσίαν ἐνεκάλουν αὐτῷ, καὶ παρῳξυναν τὸν Ὄθωνα μεγαληγοροῦντες, ὡς νενικηκότων αὐτῶν, τῆς δὲ νίκης οὐκ ἐπίπαν προελθούσης κακίᾳ τῶν στρατηγῶν. Ὁ δ' Ὄθων οὐχ οὕτως ἐπίστευεν αὐτοῖς, ὡς ἐβούλετο μὴ δοκεῖν ἀπιστεῖν. Ἔπεμψεν οὖν Τιτιανὸν ἐπὶ τὰ στρατεύματα, τὸν ἀδελφὸν, καὶ Πρόκλον, τὸν ἔπαρχον, ὃς εἶχεν ἔργῳ τὴν πᾶσαν ἀρχὴν, πρόσχημα δ' ἦν ὁ Τι-

τιανός. Οἱ δὲ περὶ τὸν Κέλσον καὶ Παυλῖνον ἄλλως ἐφείλκοντο συμβούλων ὄναμα καὶ φίλων, ἐξουσίαν καὶ δύναμιν ἐν τοῖς πράγμασι μηδεμίαν ἔχοντες. Ἦν δὲ θορυβώδη καὶ τὰ παρὰ τοῖς πολεμίοις, μάλιστα δὲ τοῖς ὑπὸ τῷ Οὐάλεντι· καὶ τῆς περὶ τὴν ἐνέδραν μάχης ἀπαγγελθείσης, ἐχαλέπαινον, ὅτι μὴ παρεγένοντο, μηδ' ἤμυναν, ἀνδρῶν τοσούτων ἀποθανόντων. Μόλις δὲ πείσας καὶ παραιτησάμενος ὡρμημένους αὐτοὺς βάλλειν, ἀνέζευξε, καὶ συνῆψε τοῖς περὶ Κεκίναν.

VIII. Ὁ δ' Ὄθων παραγενόμενος εἰς τὸ Βητριακὸν εἰς τὸ στρατόπεδον, (ἔστι δὲ πολίχνη πλησίον Κρεμώνης τὸ Βητριακὸν,) ἐβουλεύετο περὶ τῆς μάχης. Καὶ Πρόκλῳ μὲν ἐδόκει καὶ Τιτιανῷ, τῶν στρατευμάτων ὄντων προθύμων καὶ προσφάτου τῆς νίκης, διαγωνίσασθαι, καὶ μὴ καθῆσθαι τὴν ἀκμὴν ἀμβλύνοντα τῆς δυνάμεως, καὶ περιμένοντα Οὐϊτέλλιον αὐτὸν ἐκ Γαλατίας ἐπελθεῖν. Παυλῖνος δὲ τοῖς μὲν παλεμίοις ἔφη πάντα, μεθ' ὧν μαχοῦνται, παρεῖναι, καὶ μηδὲν ἐνδεῖν, Ὄθωνι δὲ τῆς ἤδη παρούσης οὐκ ἐλάττονα προσδόκιμον εἶναι δύναμιν ἐκ Μυσίας καὶ Παννονίας, ἂν τὸν αὐτοῦ περιμένῃ καιρὸν, ἀλλὰ μὴ στρατηγῇ πρὸς τὸν τῶν πολεμίων. Οὐ γὰρ ἀμβλυτέροις γε χρήσεσθαι τότε τοῖς νῦν θαρροῦσιν ἀπ' ἐλαττόνων, ἂν πλείονας τοὺς ἀγωνιζομένους προσλάβωσιν, ἀλλ' ἐκ περιουσίας ἀγωνιεῖσθαι. Καὶ χωρὶς δὲ τούτου τὴν διατριβὴν εἶναι πρὸς αὐτῶν ἐν ἀφθόνοις πᾶσιν ὄντων· ἐκείνοις δὲ τὸν χρόνον ἀπορίαν παρέξειν τῶν ἀναγκαίων ἐν πολεμίᾳ καθεζομένοις. Ταῦτα λέγοντι Παυλίνῳ Μάριος Κέλσος ἐγένετο σύμψηφος. Ἄννιος δὲ Γάλλος οὐ παρῆν μὲν, ἀλλ' ἐθεραπεύετο πεπτωκὼς ἀφ' ἵππου· γράψαντος-δ' Ὄθωνος αὐτῷ, συνεβούλευε μὴ σπεύδειν, ἀλλὰ τὴν ἐκ Μυσίας περιμένειν δύναμιν, ἤδη καθ' ὁδὸν οὖσαν. Οὐ μὴν ἐπείθετο τούτοις, ἀλλ' ἐκράτησαν οἱ πρὸς τὴν μάχην παρορμῶντες.

IX. Αἰτίαι δὲ πλείονες ἄλλαι ὑπ' ἄλλων λέγονται· προδήλως δ' οἱ στρατηγικοὶ προσαγορευ-

ὁμενοι καὶ τάξιν ἔχοντες θορυφόρων, τότε μᾶλλον ἀληθινῆς γευόμενοι στρατείας, καὶ τὰς ἐν Ῥώμῃ διατριβὰς καὶ διαίτας ἀπολέμους καὶ πανηγυρικὰς πεθοῦντες, οὐκ ἦσαν καθεκτοὶ σπεύδοντες ἐπὶ τὴν μάχην, ὡς εὐθὺς ἐξ ἐπιδρομῆς ἀναρπασόμενοι τοὺς ἐναντίους. Δοκεῖ δὲ μηδ' αὐτὸς Ὄθων ἐξαναφέρειν ἔτι πρὸς τὴν ἀδηλότητα, μηδ' ὑπομένειν ἀηθείᾳ καὶ μαλακότητι τοὺς περὶ τῶν δεινῶν ἐκλογισμούς· ἐκπονούμενος δὲ ταῖς φροντίσι, σπεύδειν ἐγκαλυψάμενος, ὥσπερ ἀπὸ κρημνοῦ, μεθεῖναι τὰ πράγματα πρὸς τὸ συντυχόν. Καὶ τοῦτο μὲν διηγεῖτο Σεκοῦνδος, ὁ ῥήτωρ, ἐπὶ τῶν ἐπιστολῶν γενόμενος τοῦ Ὄθωνος. Ἕτερον δ' ἦν ἀκούειν, ὅτι τοῖς στρατεύμασιν ἀμφοτέροις παρίσταντο ὁρμαὶ πολλαὶ, ὡς εἰς ταὐτὸ συνελθεῖν· καὶ μάλιστα μὲν, 1071
αὐτοὺς ὁμοφρονήσαντας ἐκ τῶν παρόντων ἡγεμονικῶν ἑλέσθαι τὸν ἄριστον· εἰ δὲ μὴ, τὸν εὐγκλητον ὁμοῦ καθίσαντες, ἐφεῖναι τὴν αἵρεσιν ἐπεῖνῃ τοῦ αὐτοκράτορος. Καὶ οὐκ ἀπεικὸς ἐστι, μηδετέρου τότε τῶν προσαγορευομένων αὐτοκρατόρων εὐδοκιμοῦντος, ἐπιπίπτειν τοιούτους διαλογισμοὺς γνησίοις καὶ διαπόνοις καὶ σωφρονοῦσι τῶν στρατιωτῶν, ὡς ἔχθιστον εἴη καὶ δεινὸν, ἃ πάλαι διὰ Σύλλαν καὶ Μάριον, εἶτα Καίσαρα καὶ Πομπήϊον, ᾠκτείροντο θρῶντες ἀλλήλους καὶ πάσχοντες οἱ πολῖται, ταῦτα τὸν ὑπομένειν, ἢ Οὐϊτελλίῳ λαιμαργίας καὶ σίνοψλυρίας, ἢ τρυφῆς καὶ ἀκολασίας Ὄθωνι τὴν ἡγεμονίαν χορήγημα προθεμένους. Ταῦτ' οὖν ὑπενοοῦσι τοὺς τε περὶ τὸν Κέλσον αἰσθανομένους ἐμβαλεῖν διατριβὴν, ἐλπίζοντας, ἄνευ μάχης καὶ πόνων κριθήσεσθαι τὰ πράγματα, καὶ τοὺς περὶ τὸν Ὄθωνα φοβουμένους ἐπιταχῦναι τὴν μάχην.

X. Αὐτὸς δὲ πάλιν εἰς Βριξίλον ἀνεχώρησε, καὶ τοῦτο προσεξαμαρτὼν, οὐχ ὅτι τοῦτο μόνον τὴν ἐν ὀφθαλμοῖς αὐτοῦ παρόντος αἰδῶ καὶ φιλοτιμίαν ἀφεῖλε τῶν ἀγωνιζομένων, ἀλλὰ καὶ τοὺς ἐρρωμενεστάτους καὶ προθυμοτάτους δὲ αὐτὸν ἰπ-

πεῖν καὶ πεζοὺς ἀπαγαγὼν, φυλακὴν τοῦ σώματος, ὥσπερεί τι σῶμα τῆς δυνάμεως ἀπέκοψε. Συνέβη δὲ ταῖς ἡμέραις ἐκείναις καὶ περὶ τὸν Ἠριδανὸν ἀγῶνα γενέσθαι, τοῦ μὲν Κεκίνα ζευγνύντος τὴν διάβασιν, τῶν δ' Ὄθωνος διεγόντων καὶ προσμαχομένων. Ὡς δ' οὐδὲν ἐπέραινον, ἐνθεμένων εἰς τὰ ὅπλα δᾷδας, θείου καὶ πίττης ἀνάπλεω, διὰ τοῦ πόρου πνεῦμα προσπεσὸν ἄφνω τὴν παρεσκευασμένην ὕλην ἐπὶ τοὺς πολεμίους ἐξερρίπιζε. Καπνοῦ δὲ πρῶτον, εἶτα λαμπρᾶς φλογὸς ἐκπεσούσης, ταραττόμενοι καὶ ἀποπηδῶντες εἰς τὸν ποταμὸν, τάς τε ναῦς ἀνέτρεπον, καὶ τὰ σώματα τοῖς πολεμίοις μετὰ γέλωτος παρεῖχον. Οἱ δὲ Γερμανοὶ, τοῖς Ὄθωνος μονομάχοις περὶ νησίδα τοῦ ποταμοῦ προσμίξαντες, ἐκράτησαν καὶ διέφθειραν αὐτῶν οὐκ ὀλίγους.

XI. Γενομένων δὲ τούτων, καὶ τῶν ἐν Βητριακῷ στρατιωτῶν τοῦ Ὄθωνος ἐκφερομένων μετ' ὀργῆς ἐπὶ τὴν μάχην, προήγαγεν αὐτοὺς ὁ Πρόκλος ἐκ τοῦ Βητριακοῦ, καὶ κατεστρατοπέδευσεν ἀπὸ πεντήκοντα σταδίων οὕτως ἀπείρως καὶ καταγελάστως, ὥστε, τῆς μὲν ὥρας ἐαρινῆς οὔσης, τῶν δὲ κύκλῳ πεδίων πολλὰ νάματα καὶ ποταμοὺς ἀενάους ἐχόντων, ὕδατος σπάνει πιέζεσθαι. Τῇ δ' ὑστεραίᾳ βουλόμενον προάγειν ἐπὶ τοὺς πολεμίους, ὁδὸν οὐκ ἐλάττονα σταδίων ἑκατὸν, οἱ περὶ τὸν Παυλῖνον οὐκ εἴων, ἀλλ' ὤοντο δεῖν περιμένειν, καὶ μὴ προπονεῖν ἑαυτοὺς, μηδ' εὐθὺς ἐκ πορείας μάχην τίθεσθαι πρὸς ἄνδρας ὡπλισμένους καὶ παρατεταγμένους καθ' ἡσυχίαν, ἐν ὅσῳ χρόνῳ προῆσαν αὐτοὶ τοσαύτην ὁδὸν, ἀναμεμιγμένων ὑποζυγίων καὶ ἀκολούθων. Οὔσης δὲ περὶ τούτων ἀντιλογίας ἐν τοῖς στρατηγοῖς, ἦλθε παρ' Ὄθωνος ἱππεὺς τῶν καλουμένων Νομάδων, γράμματα κομίζων, κελεύοντα μὴ μένειν, μηδὲ διατρίβειν, ἀλλ' ἄγειν εὐθὺς ἐπὶ τοὺς πολεμίους. Ἐκεῖνοι μὲν οὖν ἤραντες ἐχώρουν. Ὁ δὲ Κεκίνας πυθόμενος τὴν ἔφοδον αὐτῶν ἐθορυβήθη, καὶ κατὰ σπουδὴν ἀπο-

λιπὼν τὰ ἔργα καὶ τὸν ποταμὸν, ἦκεν εἰς τὸ στρατόπεδον. Ἀσπισμένων δ' ἤδη τῶν πολλῶν, καὶ τὸ σύνθημα παραλαμβανόντων παρὰ τοῦ Οὐάλεντος, ἐν ὅσῳ τὴν τάξιν διελαγχανε τὰ τάγματα, τοὺς ἀρίστους τῶν ἱππέων προεξέπεμψαν.

XII. Ἐμπίπτει δὲ τοῖς προτεταγμένοις τῶν Ὄθωνος ἐκ δή τινος αἰτίας δόξα καὶ λόγος, ὡς μεταβαλουμένων τῶν Οὐϊτελλίου στρατηγῶν πρὸς αὐτούς. Ὡς οὖν ἐγγὺς ἦσαν, ἠσπάσαντο φιλίως, συστρατιώτας προσαγορεύσαντες. Ἐκείνων δὲ τὴν προσαγόρευσιν οὐκ εὐμενῶς, ἀλλὰ μετὰ θυμοῦ καὶ φωνῆς πολεμικῆς, ἀμειψαμένων, τοῖς μὲν ἀσπασαμένοις ἀθυμία, τοῖς δὲ λοιποῖς ὑπόνοια κατὰ τῶν ἀσπασαμένων, ὡς προδιδόντων, παρέστη. Καὶ 1072 τοῦτο πρῶτον αὐτοὺς ἐτάραξεν, ἤδη τῶν πολεμίων ἐν χερσὶν ὄντων. Εἶτα τῶν ἄλλων οὐδὲν ἦν κόσμῳ γινόμενον, ἀλλὰ πολλὴν μὲν ἀταξίαν τὰ σκευοφόρα τοῖς μαχομένοις ἐμπλέκοντα παρεῖχε, πολλοὺς δὲ τὰ χωρία διασπασμοὺς ἐποίει, τάφροις ὄντα μεστὰ καὶ ὀρυγμάτων, ἃ φοβούμενοι καὶ περιϊόντες, ἠναγκάζοντο φύρδην καὶ κατὰ μέρη πολλὰ συμπλέκεσθαι τοῖς ἐναντίοις. Μόναι δὲ δύο λεγεῶνες, (οὕτω γὰρ τὰ τάγματα Ῥωμαῖοι καλοῦσιν,) ἐπέκλησαν, ἡ μὲν Οὐϊτελλίου Ἅρπαξ, ἡ δὲ Ὄθωνος Βοηθός, εἰς πεδίον ἐξελίξασαι ψιλὸν καὶ ἀναπεπταμένον, ὁμίμων τινα μάχην, συμπεσοῦσαι φαλαγγηδὸν, ἐμάχοντο πολὺν χρόνον. Οἱ μὲν οὖν Ὄθωνος ἄνδρες ἦσαν εὐρωστοι καὶ ἀγαθοὶ, πολέμου, δὲ καὶ μάχης τότε πρῶτον πεῖραν λαμβάνοντες· οἱ δὲ Οὐϊτελλίου πολλῶν ἀγώνων ἐπάθλους ἤδη γηραιοὶ καὶ παρακμάζοντες. Ὁρμήσαντες οὖν ἐπ' αὐτοὺς οἱ Ὄθωνος, ἐείσαντο, καὶ τὸν ἀπὸν ἀφείλοντο, πάντας ὁμοῦ τι τοὺς προμάχους ἀποκτείναντες· οἱ δ' ὑπ' αἰσχύνης καὶ ὀργῆς ἐμπεσόντες αὐτοῖς, τόν τε πρεσβευτὴν τοῦ τάγματος, Ὀρφίδιον, ἔκτειναν, καὶ πολλὰ τῶν σημείων ἥρπασαν. Τοῖς δὲ μονομάχοις, ἔμπειρόν τε καὶ θάρσος ἔχειν πρὸς τὰς συμπλοκὰς δοκοῦσιν, ἐπῆγαγεν Οὐάρος

Ἀλπηνὸς τοὺς καλουμένους Βαστάρνους. Εἰσὶ δὲ Γερμανῶν ἱππεῖς ἄριστοι, νῆσον οἰκοῦντες ὑπὸ τοῦ Ῥήνου περιῤῥεομένην. Τούτους ὀλίγοι μὲν τῶν μονομάχων ὑπέστησαν, οἱ δὲ πλεῖστοι, φεύγοντες ἐπὶ τὸν ποταμὸν, ἐμπίπτουσιν εἰς ἀκείρως τῶν πολεμίων αὐτοῦ τεταγμένας, ὑφ' ὧν ἀμυνόμενοι πάντες ὁμαλῶς διεφθάρησαν. Αἴσχιστα δ' ἠγωνίσαντο πάντων οἱ στρατηγικοὶ, μηδ' ὅσον ἐν χερσὶ γενέσθαι τοὺς ἐναντίους ὑπομείναντες, ἀλλὰ καὶ τοὺς αἰτητὴτους ἔτι φόβου καὶ ταραχῆς ἀνεπιπλήστους, φεύγοντες δὲ αὐτῶν. Οὐ μὴν ἀλλὰ πολλοί γε τῶν Ὀθωνος νενικηκότες τοὺς παῤ αὐτοὺς, ἐβιάσαντο καὶ διεξέπεσον διὰ τῶν πολεμίων κρατοῦντων εἰς τὸ στρατόπεδον.

XIII. Τῶν δὲ στρατηγῶν οὔτε Πρόκλος, οὔτε Παυλῖνος, συνεισελθεῖν ἐτόλμησαν, ἀλλ' ἐξέκλιναν, φοβούμενοι τοὺς στρατιώτας ἤδη τὴν αἰτίαν ἐπὶ τοὺς στρατηγοὺς τρέποντας. Ἄννιος δὲ Γάλλος ἀνελάμβανεν ἐν τῇ πόλει καὶ παρεμυθεῖτο τοὺς ἐκ τῆς μάχης συλλεγομένους, ὡς ἀγχωμάλου γεγενημένης, καὶ πολλοῖς κεκρατηκότας μέρεσι τῶν πολεμίων. Μάριος δὲ Κέλσος, τοὺς ἐν τέλει συναγαγών, ἐκέλευσε σκοπεῖν τὰ κοινὰ, ὡς ἐπὶ συμφορᾷ τηλικαύτῃ καὶ φάνῳ τοσούτῳ πολιτῶν μηδ' Ὄθωνος, εἴπερ ἀνὴρ ἀγαθὸς ἐστιν, ἐθελήσοντος ἔτι πειρᾶσθαι τῆς τύχης, ὅπου καὶ Κάτων καὶ Σκιπίων, Καίσαρι κρατοῦντι μετὰ Φάρσαλον εἶξαι μὴ θελήσαντες, αἰτίαν ἔχουσιν, οἷς πολλοὺς καὶ ἀγαθοὺς ἄνδρας ἐν Λιβύῃ παραπολέσαντες οὐκ ἀναγκαίως, καίπερ ἀγωνιζόμενοι περὶ τῆς Ῥωμαίων ἐλευθερίας. Τὰ γὰρ ἄλλα κοινὴν ἡ τύχη παρέχουσα πᾶσιν ἑαυτὴν, ἐν οὐκ ἀφαιρεῖται τῶν ἀγαθῶν, τὸ, καὶ πταίσασιν, εὐλογιστεῖν πρὸς τὰ συμπεσόντα. Ταῦτα λέγων ἔπεισε τοὺς ἡγεμονικούς. Ἔμπειρος δὲ πειρώμενος τοὺς στρατιώτας ἑώρων εἰρήνης δεομένους, καὶ Τετιανὸς ἐπέλευε πρεσβεύειν ὑπὲρ ὁμολογίας, ἔδοξε Κέλσῳ καὶ Γάλλῳ βαδίζειν καὶ διαλέγεσθαι τοῖς περὶ τὸν Κεκίναν καὶ Οὐάλεντα. Βα-

δεξιοῦσθαι δ' αὐταῖς ἀπήντησαν ἑκατοντάρχαι, τὴν μὲν δύναμιν ἤδη κεκινημένην λέγοντες ἐρχομένην ἐπὶ τὸ Βητριακόν, αὐτοὶ δ' ὑπὸ τῶν στρατηγῶν ἀπεστάλθαι περὶ ὁμονοίας. Ἐπαινέσαντες οὖν οἱ περὶ τὸν Κέλσον ἐκέλευσαν αὐτοὺς ἀναστρέψαντας πάλιν, ἅπαντᾶν μετ' αὐτῶν τοῖς περὶ τὸν Κεκίναν. Ἐπεὶ δ' ἐγγὺς ἦσαν, ἐκινδύνευσεν ὁ Κέλσος. Ἔσχυον γὰρ οἱ περὶ τὴν ἐνέδραν ἡττημένοι πρότερον ἱππεῖς προεξελαύνοντες. Ὡς οὖν προσιόντα τὸν Κέλσον κατεῖδον, εὐθὺς βοήσαντες ὥρμησαν ἐπ' αὐτόν. Οἱ δ' ἑκατοντάρχαι προέστησαν ἀνείργοντες καὶ τῶν ἄλλων λοχαγῶν φειδεσθαι βοώντων, οἱ περὶ τὸν Κεκίναν πυθόμενοι καὶ προσελάσαντες, τὴν 1073
ἀκοσμίαν ταχὺ τῶν ἱππέων ἔπαυσαν, τὸν δὲ Κέλσον ἀσπασάμενοι φιλοφρόνως, ἐβάδιζον μετ' αὐτῶν εἰς τὸ Βητριακόν. Ἐν δὲ τούτῳ μετάνοια Τετιανὸν ἔσχεν ἐκπέμψαντα τοὺς πρέσβεις, καὶ τῶν στρατιωτῶν τοὺς θρασυνομένους αὖθις ἀνεβίβαζεν ἐπὶ τὰ τείχη, καὶ τοὺς ἄλλους παρεκάλει βοηθεῖν. Τοῦ δὲ Κεκίνα προσελάσαντος τῷ ἵππῳ, καὶ τὴν δεξιὰν ὀρέγοντος, οὐδεὶς ἀντέσχεν· ἀλλ' οἱ μὲν ἀπὸ τῶν τειχῶν ἠσπάζοντο τοὺς στρατιώτας, οἱ δὲ τὰς πύλας ἀνοίξαντες ἐξῆεσαν καὶ ἀνεμίγνυντο τοῖς προσήκουσιν. Ἡδέως δ' οὐδεὶς, ἀλλὰ καὶ φιλοφροσύναι καὶ δεξιώσεις ἦσαν. Ὡμοσαν δὲ πάντες περὶ τοῦ Οὐϊτελλίου· καὶ προσεχώρησαν.

XIV. Οὕτω μὲν οἱ πλεῖστοι τῶν παραγενομένων ἀπαγγέλλουσι γενέσθαι τὴν μάχην, οὐδ' αὐτοὶ σαφῶς ὁμολογοῦντες εἰδέναι τὰ καθ' ἕκαστα διὰ τὴν ἀταξίαν καὶ τὴν ἀνωμαλίαν. Ἡμοὶ δ' ὕστερον ὁδεύοντι διὰ τοῦ πεδίου Μέστριος Φλῶρος, ἀνὴρ ὑπατικὸς, τῶν τότε μὴ κατὰ γνώμην, ἀλλ' ἀνάγκῃ, μετὰ τοῦ Ὄθωνος γενομένων, νεὼν ὄντα παλαιὸν ἐπιδείξας, διηγεῖτο μετὰ τὴν μάχην ἐπελθὼν ἰδεῖν νεκρῶν σωρὸν τηλικοῦτον, ὥστε τοὺς ἐπιπολῆς ἅπτεσθαι τῶν ἐναντίων. Καὶ τὴν αἰτίαν ἔφη ζητῶν οὔτ' αὐτὸς εὑρεῖν, οὔτε παρ' ἄλλου του πυθέσθαι. Θνήσκειν μὲν γὰρ παρὰ τοῖς ἐμφυλίοις πολέμοις,

ὅταν τροπὴ γένηται, πλείονας εἰκὸς ἐστι, τῷ μηδένα ζωγρεῖν· χρῆσθαι γὰρ οὐκ ἐστι τοῖς αἱλισκομένοις. Ἡ δ' ἐπὶ τούτου σωρεία καὶ συμφόρησις οὐκ ἔχει τὴν αἰτίαν εὐσυλλόγιστον.

XV. Τῷ δ' Ὄθωνι πρῶτον μὲν ἀσαφὴς, ὥσπερ εἰώθει, περὶ τῶν τηλικούτων προσέπεσε λόγος· ἐπεὶ δὲ καὶ τετρωμένοι τινὲς ἦκον ἐκ τῆς μάχης ἀπαγγέλλοντες, τοὺς μὲν φίλους ἧττον ἄν τις ἐθαύμασεν οὐκ ἐῶντας ἀπαγορεύειν, ἀλλὰ θαρρεῖν παρακελευομένους· τὸ δὲ τοῦ στρατιωτικοῦ πάθος ἅπασαν ὑπερέβαλε πίστιν, ὡς οὐδ' ἀπῆλθεν, οὐδὲ μετέστη πρὸς τοὺς κρατοῦντας, οὐδ' ὤφθη τὸ καθ' αὑτὸ ζητοῦν, ἀπεγνωσμένου τοῦ ἡγεμόνος, πάντες δ' ὁμαλῶς ἐπὶ θύρας ἦλθον, ἐκείλουν αὐτοκράτορα προσελθόντες, ἐγίνοντο τρόπαιον, μετὰ βοῆς καὶ ἱκεσίας χειρῶν ἥπτοντο, προσέπιπτον, ἐδάκρυον, ἐδέοντο μὴ σφᾶς ἐγκαταλιπεῖν, μὴ προδοῦναι τοῖς πολεμίοις, ἀλλὰ χρῆσθαι, μέχρις ἂν ἐμπνέωσι, καὶ ψυχαῖς καὶ σώμασιν ὑπὲρ αὐτοῦ. Ταῦτα ὁμοῦ πάντες ἱκέτευον. Εἷς δὲ τῶν ἀφανεστέρων ἀνατείνας τὸ ξίφος, καὶ εἰπών, „Ἄθι, Καῖσαρ, οὕτως ὑπὲρ σοῦ παρατεταγμένους ἅπακτας," ἀπέσφαξεν ἑαυτόν. Ἀλλὰ τούτων οὐδὲν ἐπέκλασε τὸν Ὄθωνα· φαιδρῷ δὲ καὶ καθεστῶτι προσώπῳ πανταχόσε τὰς ὄψεις περιαγαγών, „Ταύτην," εἶπεν, „ἣ συστρατιῶται, τὴν ἡμέραν ἐκείνης, ἐν ᾗ με πρῶτον ἐποιήσατε αὐτοκράτορα, μακαριωτέραν ἡγοῦμαι, τοιούτους ὁρῶν ὑμᾶς, καὶ τηλικούτων ἀξιούμενος. Ἀλλὰ μὴ μείζονος ἀποστερεῖτε, τοῦ καλῶς ἀποθανεῖν ὑπὲρ τοσούτων καὶ τοιούτων πολιτῶν. Εἰ τῆς Ῥωμαίων ἡγεμονίας ἄξιος γέγονα, δεῖ με τῆς ἐμῆς ψυχῆς ὑπὲρ τῆς πατρίδος ἀφειδεῖν. Οἶδα τὴν νίκην τοῖς ἐναντίοις οὐδὲ βεβαίαν, οὐδ' ἰσχυρὰν οὖσαν. Ἀπαγγέλλουσι, τὴν ἐκ Μυσίας ἡμῶν δύναμιν οὐ πολλῶν ἡμερῶν ὁδὸν ἀπέχειν. Ἤδη καταβαίνουσιν ἐπὶ τὸν Ἀδρίαν Ἀσία καὶ Συρία καὶ Αἴγυπτος, καὶ τὰ πολεμοῦντα Ἰουδαίους στρατεύματα μεθ' ἡμῶν, ἥ τε σύγκλητος παρ' ἡμῖν, καὶ

τέκνα τῶν ἐναντίων, καὶ γυναῖκες. Ἀλλ' οὐκ ἔστι πρὸς Ἀννίβαν, οὐδὲ Πύρρον, οὐδὲ Κίμβρους, ὦ πόλεμος ὑπὲρ τῆς Ἰταλίας, ἀλλὰ Ῥωμαίοις πολεμοῦντες ἀμφότεροι τὴν πατρίδα καὶ νικῶντες ἀδικοῦμεν καὶ νικώμενοι. Καὶ γὰρ τὸ ἀγαθὸν τοῦ κρατοῦντος ἐκείνῃ κακὸν ἐστιν. Πιστεύσατε πολλάκις, ὅτι δύναμαι κάλλιον ἀποθανεῖν, ἢ ἄρχειν. Οὐ γὰρ ὁρῶ, τί τηλικοῦτον Ῥωμαίοις ὄφελος ἔσομαι κρατήσας, ἡλίκον ἐπιδοὺς ἐμαυτὸν ὑπὲρ εἰρήνης καὶ 1074 ὁμονοίας, καὶ τοῦ μὴ πάλιν ἡμέραν τοιαύτην ἐπιδεῖν τὴν Ἰταλίαν."

XVI. Τοιαῦτα διαλεχθεὶς, καὶ πρὸς τοὺς ἑστασθαι καὶ παρακαλεῖν ἐπιχειροῦντας ἀπισχυρισάμενος, τοῖς τε φίλοις ἐκέλευεν ἀπαλλάττεσθαι, καὶ τῶν συγκλητικῶν τοῖς παροῦσι· τοῖς δὲ μὴ παροῦσιν ἐπέστελλε, καὶ γράμματα πρὸς τὰς πόλεις, ὅπως παρακομισθῶσιν ἐντίμως καὶ μετ' ἀσφαλείας. Προσαγόμενος δὲ τὸν ἀδελφιδοῦν, Κοκκηΐον, ἔτι μειράκιον ὄντα, θαῤῥεῖν παρεκάλει, καὶ μὴ δεδιέναι Οὐϊτέλλιον, οὗ καὶ μητέρα καὶ γενεὰν καὶ γυναῖκα αὐτὸς, ὥσπερ οἰκείων κηδόμενος, διαφυλάξαι. Διὰ τοῦτο γὰρ οὐδὲ θέσθαι παῖδα βουλόμενον αὐτὸν, ἀλλ' ἀναβαλέσθαι· μνημονεύειν, ὅτι Καῖσαρ ἀθετεῖ τὴν εἰσποίησιν, ὅπως συνάρχοι, κρατήσαντος αὐτοῦ, μὴ προαπόλοιτο πταίσαντος. „Ἐκεῖνο δ', εἶπεν, ὦ παῖ, παρεγγυῶμαί σοι τελευταῖον, μήτ' ἐπιλαθέσθαι παντάπασι, μήτ' ἄγαν μνημονεύειν, ὅτι Καίσαρα θεῖον ἔσχες." Γενόμενος δ' ἀπὸ τούτων, μετὰ μικρὸν ἤκουσε θορύβου καὶ βοῆς ἐπὶ θύραις. Οἱ γὰρ στρατιῶται, τῶν συγκλητικῶν τοῖς ἀπιοῦσι διηπείλουν ἀποσφάξειν, εἰ μὴ παραμενοῦσιν, ἀλλ' οἰχήσονται τὸν αὐτοκράτορα καταλιπόντες. Πάλιν οὖν προῆλθεν ὑπὲρ τῶν ἀνδρῶν φοβηθείς, καὶ τοὺς στρατιώτας οὐκέτι δεητικὸς, οὐδὲ πρᾷος, ἀλλὰ τραχὺς ὀφθεὶς καὶ μετ' ὀργῆς εἰς τὸ θορυβοῦν μάλιστα διαβλέψας, ἀπελθεῖν ἐποίησεν εἴξαντας καὶ διατρέσαντας.

XVII. Ἤδη δ' ἑσπέρας οὔσης, ἐδίψησε, καὶ πιὼν ὀλίγον ὕδατος, δυεῖν ὄντων αὐτῷ ξιφῶν, ἑκα-

τέρου κατεμάνθανε τὸ σπάσμα πολὺν χρόνον, καὶ τὸ ἕτερον ἀπέδωκε, θάτερον δ' εἰς τὰς ἀγκάλας ἀναλαβὼν, τοὺς οἰκέτας προσεκαλεῖτο. Καὶ φιλοφρονούμενος διένεμε τῶν χρημάτων, τῷ μὲν πλέον, τῷ δ' ἔλαττον· οὐχ ὥσπερ ἀλλοτρίων ἀφειδῶν, ἀλλὰ τὸ κατ' ἀξίαν καὶ τὸ μέτριον ἐπιμελῶς φυλάττων. Ἀποπέμψας δὲ τούτους, ἤδη τὸ λοιπὸν ἀνεπαύετο τῆς νυκτὸς, ὥστε τοὺς κατευναστὰς αἰσθάνεσθαι βαθέως αὐτοῦ καθευδοντος. Ὄρθρου δὲ καλέσας ἀπελεύθερον, ᾧ συνδιῴκησε τὰ περὶ τοὺς συγκλητικοὺς, μαθεῖν προσέταξε· καὶ πυθόμενος, γεγονέναι τοῖς ἀπερχομένοις, ὧν ἕκαστος ἔχρῃζεν· „Ἴθι τοίνυν, ἔφη, σὺ, καὶ ποίει τοῖς στρατιώτας ἐμφανῆ σεαυτὸν, εἰ μὴ θέλεις κακῶς ὑπ' αὐτῶν ἀποθανεῖν, ὡς ἐμοὶ συμπράξας τὸν θάνατον.“ Ἐξελθόντος δὲ τοῦ ἀνθρώπου, τὸ ξίφος ὑποστησας ὀρθὸν ἀμφοτέραις ταῖς χερσὶ, καὶ περιπεσὼν ἄνωθεν, ὅσον ἅπαξ στενάξαι μόνον, ἤσθετο τοῦ πόνου, καὶ τοῖς ἐκτὸς αἴσθησιν παρέσχε. Ἀραμένων δὲ τῶν παίδων οἰμωγὴν, εὐθὺς ἅπαν τὸ στρατόπεδον καὶ τὴν πόλιν ἐπεῖχε κλαυθμὸς· καὶ μετὰ βοῆς οἱ στρατιῶται εἰσέπεσον ἐπὶ τὰς θύρας, καὶ ὠλοφύροντο, περιπαθοῦντες καὶ λοιδοροῦντες ἑαυτοὺς μὴ φυλάξαντας τὸν αὐτοκράτορα, μηδὲ κωλύσαντας ἀποθανεῖν ὑπὲρ αὐτῶν. Ἀπέστη δ' οὐδεὶς τῶν καθ' ἑαυτὸν, ἐγγὺς ὄντων τῶν πολεμίων, ἀλλὰ κοσμήσαντες τὸ σῶμα, καὶ πυρὰν κατασκευάσαντες, ἐξεκόμιζον ἐν τοῖς ὅπλοις οἱ φθάσαντες ὑποδῦναι· καὶ βαστάσαι τὸ λέχος ἐπιγαυρούμενοι. Τῶν δ' ἄλλων οἱ μὲν τὸ τραῦμα τοῦ νεκροῦ κατεφίλουν προσπίπτοντες, οἱ δ' ἥπτοντο τῶν χειρῶν, οἱ δὲ προσεκύνουν πόρρωθεν. Ἔνιοι δὲ τῇ πυρᾷ λαμπάδας ἐφέντες, ἑαυτοὺς ἀπέσφαξαν, οὐδὲν ἐκθήλως οὔτε πεπονθότες χρηστὸν ὑπὸ τοῦ τεθνηκότος, οὔτε πεισεσθαι δεινὸν ὑπὸ τοῦ κρατοῦντος δεδιότες. Ἀλλ' ἔοικε μηδενὶ τῶν πώποτε τυράννων ἢ βασιλέων δεινὸς οὕτως ἔρως ἐγγενέσθαι καὶ περιμανὴς τοῦ ἄρχειν, ὡς ἐκεῖνος τοῦ ἄρχεσθαι καὶ ὑπακούειν Ὄθωνος ἠράσθησαν· οὓς

γε μηδ' ἀποθανόντος ὃ πόθος προὔλιπεν, ἀλλὰ παρέμεινεν εἰς ἀνήκεστον ἔχθος Οὐϊτελλίῳ τελευτήσας.

XVIII. Τὰ μὲν οὖν ἄλλα καιρὸν οἰκεῖον ἔχει λεχθῆναι· κρύψαντες δὲ τῇ γῇ τὰ λείψανα τοῦ Ὄθωνος, οὔτε μεγέθει σήματος, οὔτ' ἐπιγραφῆς ὄγκῳ, τὸν τάφον ἐποίησαν ἐπίφθονον. Εἶδον δ' ἐν Βριξιάλῳ γενόμενος καὶ μνῆμα μέτριον, καὶ τὴν ἐπιγραφὴν οὕτως ἔχουσαν, εἰ μεταφρασθείη· „Δηλώσει Μάρκου Ὄθωνος." Ἀπέθανε δ' Ὄθων ἔτη μὲν ἑπτὰ καὶ τριάκοντα βιώσας, ἄρξας δὲ τρεῖς μῆνας· ἀπολιπὼν δὲ μὴ χείρονας, μηδ' ἐλάττους, τῶν τὸν βίον αὐτοῦ ψεγόντων τοὺς ἐπαινοῦντας τὸν θάνατον. Βιώσας γὰρ οὐδὲν ἐπιεικέστερον Νέρωνος, ἀπέθανεν εὐγενέστερον. Οἱ δὲ στρατιῶται, Πολλίωνος, τοῦ ἑτέρου τῶν ἐπάρχων, ὀμνύειν εὐθὺς εἰς τὸν Οὐϊτέλλιον κελεύσαντος, ἐδυσχέραινον· καὶ πυθόμενοι, τῶν συγκλητικῶν ἐφους ἔτι παρεῖναι, τοὺς μὲν ἄλλους ἀφῆκαν, Οὐεργινίῳ δὲ Ῥούφῳ πράγματα παρεῖχον, ἅμα τοῖς ὅπλοις ἐλθόντες ἐπὶ τὴν οἰκίαν, καὶ κατακαλοῦντες αὖθις καὶ κατακελεύοντες ἄρχειν, ἢ πρεσβεύειν ὑπὲρ αὐτῶν. Ὁ δὲ τὴν ἡγεμονίαν ἡττωμένων παραλαβεῖν, νενικηκότων πρότερον μὴ θελήσας, μανικὸν ἡγεῖτο· πρεσβεύειν δὲ πρὸς τοὺς Γερμανοὺς δεδιὼς, τοὺς πολλὰ βιβιᾶσθαι παρὰ γνώμην ὑπ' αὐτοῦ δοκοῦντας, ἔλαθε δι' ἑτέρων θυρῶν ἐκποδὼν ποιήσας ἑαυτόν. Ὡς δὲ τοῦτ' ἔγνωσαν οἱ στρατιῶται, τούς τε ὅρκους ἐδέξαντο, καὶ τοῖς περὶ τὸν Κεκίναν προσέθεντο συγγνώμης τυχόντες.